Quamquam sylloge codicis *V* certo tantum a potiore, ut aiunt, inscripta est — nam continet narrationes nonnullas sub aliorum nominibus traditas — et quamquam ne tres quidem aliae (δ′—ϛ′) quae secundum locum tenent pro genuinis habendae videntur, tamen eas omnes tribus illis Libanianis[1]) subiungere non dubitavi.

E *περὶ Κανδαύλου* narratione (ιϛ′) locum sub Libanii nomine laudavit Thomas Magister. Neque alium nisi hunc narrationis *περὶ Ἀλεκτρυόνος* (κϛ′) auctorem novisse censendus est Eustathius ad Od. ϑ 302. Denique vel narrationem *περὶ Κηφέως καὶ Περσέως* (λε′) ut Libanii Tzetzae notam fuisse ex eius ad Lyc. 836 nota probabile fit. Sed uberiorem de harum narrationum forma atque origine commentationem Curtii Mosel spero mox esse prodituram.

Tres illas primas narrationes (α′—γ′) primus edidit Barbatus (= Barb), quem secutus est Camerarius (= Cam), ut hunc Morellus t. I p. 3 (= Mor), hunc Reiskia t. IV p. 855 (= Re).

Syllogam codicis *V* non ex hoc ipso, sed e Portii apographo quod codice Vat. gr. 1940 continetur, edidit Leo Allatius in Excerptis Variis Romae 1641 p. 47 sq. (= All).[2]) Cuius

1) Has quod Westermannus Nicolai esse coniecit mirandum est.

2) Hunc apographo tantum codicis *V* usum esse recte iam La Porte du Theil, Not. et Extr. t. VI p. 497 et t. VIII 2 p. 243

editionem nihil nisi repetivit Reiskia t. IV p. 1099 (= Re), valde mutavit Westermannus Mythogr. p. 359 sq. (= West). Is enim codicis auctoritate prorsus derelicta historicas narrationes praetermisit, mythologicas vero aliorum rhetorum, ut Apthonii, Nicolai, Nicephori Basilacae, Georgii Pachymeris, Nonni inseruit[1]) omnesque sub titulo 'appendicis narrationum' ordine alphabetico prodire iussit. Eandem edendi rationem e parte copiis meis usus secutus est Ioannes Iacobs fabularum selectarum editione in dissertatione supra laudata p. 15 sq. (= Iac).

Nonnulla correxerunt Fr. Iacobsius[2]) cum alibi tum 'Lectionum' libro, et qui codice Vaticano usi sunt Bastius et Hercher.

---

perspexit. Perperam vero Barberinum nominavit Io. Iacobs, De progymnasmaticorum studiis p. 8.

1) Quae res Udalricum de Wilamowitz (Nachr. der Götting. Ges. der Wiss. 1895 p. 220 not. 7) in errorem induxit.

2) Vide t. I p. 77; V p. 198.

I.

Διηγήματα corporis progymnasmatici.

α΄.

Περὶ Δηιανείρας. R IV 855

Δηιάνειραν τὴν Οἰνέως ἐβούλετο μὲν γαμεῖν Ἡρακλῆς, εἶχε δὲ καὶ τὸν ποταμὸν Ἀχελῷον ἔρως τῆς κόρης. ὁ δὲ ἀμφοτέρους δεδοικὼς οὐδετέρῳ χαρίζεται. στήσας οὖν ἆθλον τὴν θυγατέρα διαγωνίζεσθαι ἐκέλευε. καὶ Ἡρακλῆς ἐνίκα παλαίων τὸ κέρας ἀνασπάσας τοῦ ποταμοῦ. καὶ τὸ αἷμα ἔρρει καὶ ἡ Γῆ τοῦτο ἐδέχετο, ἀφ' οὗ Σειρῆνες γίνονται.

β΄.

Περὶ Ὑακίνθου.

Ἀκούεις ἄνθος ὑάκινθον; τοῦτο ἦν πάλαι μειράκιον Ἀμυκλαῖον ὡραῖόν τε καὶ καλόν. ἐρασταὶ δὲ ἐγέ-

---

8 cf. narr. λα΄ p. 53, 4 et t. IV 462, 8 sq. Io. Doxap. hom. ad Apth. ed. Walz. Rhet. gr. II 202, 14. Eustath. ad Od. μ 39 p. 1709, 40 ed. Rom. 12 cf. t. III 203, 21. Luc. dial. deor. 14. Sever. narr. 2 ed. Walz. Rhet. gr. I 357. Palaeph. 47. Tzetz. schol. ad exeg. Il. p. 138, 24 ed. Herm. Nic. Ther. 902 sq. c. schol.

---

1 *Διηγήματα. α΄*] *διήγημα BaPaVaPL* *διήγημα δραματικὸν* rubr *Li* *διήγημα α΄* edd om *Vi* 3 *Περὶ Δηιανείρας* inserui e *V* om reliqui libri edd 4 *μὲν* om *BaPaVaLiV* 5 *καὶ* om *PaVi* Barb Cam Mor Re Boissonad. Pachym. 6 not. 6 6 *ἀμφοτέρῳ Va* *ἀμφότερα PLVi* Barb Cam Mor Re qui *ἀμφοτέρους* coni *ἀμφότερον* Iacobs Lect 161 | *οὐδέτερον PLVi* Barb Cam Mor Re 7 *ἄθλῳ V* 8 *παρασπάσας* coni Iac coll p. 53, 9 9 *καὶ* (1) om *Va* | *καὶ* (2) — *ἐδέχετο* om *PLVi* Barb Cam Mor Re | *δέχεται V* Iac 10 *ἐγένοντο PLVi* Barb Cam Mor Re All West 11 *β΄* om *BaVi* *διήγημα β΄ Va* Barb Cam Mor Re *ἕτερον διήγημα PL* *ἕτερον Pa* *ἕτερον δραματικὸν* rubr *Li* 12 *Περὶ Ὑακίνθου* inserui e *V* om reliqui libri edd 13 *ὑακίνθινον Mo* et γρ in marg Mor Barb Cam *Ὑάκινθον* Mor[2] | post *πάλαι* lac 17 fere litt *Vi* 14 *ὡραῖόν* inseruit West coll Palaeph. l. l. om libri reliquae edd

νοντο αὐτοῦ δύο, Ζέφυρός τε καὶ ὁ Λητοῦς. ἐπεὶ δὲ ἐχαρίζετο τῷ θεῷ, βουλεύει φόνον ὁ Ζέφυρος ἐπ' αὐτῷ καὶ τηρήσας ἀφιέντα δίσκον, ἐπαιδεύετο γὰρ Ὑάκινθος Ἀπόλλωνι τὰ τοιαῦτα, πνεῖ τε ἀπὸ τοῦ Ταϋγέτου καὶ περιτρέπει τῷ μειρακίῳ τὴν βολήν. καὶ τὸ μὲν ἔκειτο, ἡ δὲ Γῆ ἐλεεῖ τὸ πάθος καὶ ἀνῆκε τὸ ἄνθος.

γ'.

Περὶ Ἀλφειοῦ.

Ἔρως ἅπτεται καὶ ποταμῶν. πόθον οὖν ἐμβέβληκεν Ἀλφειῷ Σικελικῆς πηγῆς Ἀρεθούσης τοὔνομα. πληγεὶς δὲ ἔρχεται δι' Ἰονίου παρ' αὐτὴν φυλάττων ἀμιγὲς καὶ ἐν θαλάττῃ τὸ ῥεῖθρον.

---

9 cf. infra λ' p. 52, 17; t. I 458, 18 sq. Luc. dial. mar. 3. Procop. ep. 3

| τε om *PLVi* Barb Cam Mor Re | ἐγένοντο αὐτοῦ scripsi e *VaV* cum All ἐγένοντο τούτου *BaPa* αὐτοῦ ἐγένοντο *Li* Iac αὐτοῦ γεγόνασι *PLVi* Barb Cam Mor Re West
2 βουλεύεται *BaPa* All 3 καὶ — δίσκον praemissis verbis τηρῶ σημαίνει τὸ παραφυλάττω ἤτοι τὸ κοινῶς λεγόμενον παρακάθημαι, ὡς καὶ Λιβάνιος citat Georg. Lacap. epimerism. in ep. 2 (cod. Mosq. 459 f. 71) p. 29, 8 ed. Lindstam | τηρήσας] ἡ γῆ *Va* | ἐπαφιέντα *V* All West Iac | τὸν δίσκον *V* All West Iac 4 ὑπ' ἀπόλλωνος *V* All West | τὴν τοιαύτην *Pa* | ἀποτοὺ *V* 5 περιτρέπει — βολήν respexit Eustathius ad Od. ι 463 τὸ περιτρέπειν καὶ παρακινεῖν τῆς εὐθείας ὡς καὶ βολὴ περιτρέπεταί τινι κατὰ τὴν τοῦ Λιβανίου χρῆσιν | ταϋγέτου in lac 8 fere litt om *Li* | μειρακίου *V* μειρακίσκῳ All West | τὸ μὲν om *Va* 6 ἐλεεῖ scripsi e *BaPaV* ἠλέει *VaLiPLVi* Barb Cam Mor Re Iac ἐλεοῦσα All West | ἀνῆκε scripsi e *BaPaVaLiPLVi* sed in hoc ἧκε ex ἥει corr, *V* cum Mor² ἀνήει *Mo* Barb Cam Mor sed in hoc γρ ἀνῆκε in marg, Re ἐπανῆκε All West 8 γ' om *BaViV* διήγημα γ' *Va* Barb Cam Mor Re ἕτερον διήγημα *PL* ἕτερον *Pa* ἕτερον δραματικὸν καὶ αὐτὸ rubr *Li* 9 Περὶ Ἀλφειοῦ inserui e *V* om reliqui libri edd 10 καὶ inserui e *BaLiV* cum All Iacobsio Lect Boisson. Pachym. 198 West om *PaVaPLVi* Barb Cam Mor Re | ποταμῶν scripsi e *Ba* cum All West ποταμοῦ reliqui libri edd | ἐμβέβηκε καὶ *Li* ἐνέβαλε τῷ *BaPa* 11 τῆς ante σικελικῆς *BaPa* 12 αὐτὸν *V* 13 ὕδωρ *Li*

II.

Διηγήματα codicum Escurialensis Ψ-IV-12 et Vaticani gr. 305.

δ'.

Περὶ τῆς Πίτυος. R IV 1108

1. *Ἤρα τῆς Πίτυος ὁ Πάν, ἀντήρα δὲ καὶ ὁ Βορέας. ἦν γὰρ κόρη πρότερον ἡ πίτυς καὶ ἐπ' αὐτῇ ποιοῦνται τὴν αἵρεσιν ὁποτέρῳ δεῖ χαρίσασθαι. τὸ δ' ἐντεῦθεν ἐδείκνυσαν τὰ ὄντα αὐτοῖς ἀγαθά, σπεύδων ἑκάτερος ἀμείνων φανῆναι. Βορέας μὲν ἔπνει λαμπρὸς καὶ ἔκαμπτε δένδρα, τὰ δὲ κατέφερεν, ὁ δὲ Πὰν ἐσκίρτα, ἐπήδα, δῶρα ἔφερε ἀπὸ τῶν ἀναθημάτων ἃ ἦν αὐτῷ παρὰ τῶν νομέων.* 2. *ἐφέλκεται δὴ τὴν Πίτυν. καὶ ὁ Βορέας ἀλγεῖ καὶ σφοδρῶς ἐπιπεσὼν ὦσέ τε κατὰ τῶν πετρῶν καὶ διέφθειρε τὴν κόρην. ἡ Γῆ δέ, καὶ γὰρ ᾤκτειρε τὸ πάθος, ἤμειψεν εἰς φυτὸν τὸ σῶμα. διὰ τοῦτο Πανὶ μὲν ἐκ πίτυος ὁ στέφανος, Βορέας δὲ*

---

4 cf. infra λβ' p. 53, 13. Choric. p. 116, 20 Boiss.

---

4 *διήγημα τὸ κατὰ τὴν πίτυν E* sed litt. initial. τ, κ, τ, κ m² | *τῆς* om West 5 *ἀντήρα* scripsi ex *E* coll p. 53, 14; 57, 16. Doxap. ad Apth. ed. Walz. Rhet. gr. II 329, 5. Io. Tzetz. schol. ad exeg. in Il. p. 138, 24 ed. Herm. *ἤρα V* edd 7 *δε E* *δὲ* edd 8 *ἐδείκνυσαν — ἀγαθά* om *E* | *αὐτοῖς V* edd 10 *τὰ*] *πὰν E* | „*malim τὰ δὲ καὶ*“ West | *ὁ* — 11 *ἔφερε* om *E* 11 *ἀπὸ* inserui ex *E* om *V* edd 12 *δὴ* inserui ex *E* om *V* edd 13 *ὁ Βορέας* scripsi ex *E* *βορρᾶς V* All Re Iac *Βορέας* West 14 *πλευρῶν E*

καὶ τὸ δένδρον λυπεῖ. καί φασι τὸν ἦχον ὃν ἡ πίτυς ποιεῖ δεχομένη τὸ πνεῦμα θρῆνον εἶναι.

ε΄.

Περὶ τοῦ Ἀγαμέμνονος.

Τῶν Ἀχαιῶν ἐν Αὐλίδι συνειλεγμένων Ἀγαμέμνων ἐν θήρᾳ τυχὼν ἐλάφου καὶ τῆς Ἀρτέμιδος ἔφη τὴν τέχνην ὑπεραίρειν τῷ ἔργῳ. λυπεῖ τὸ ῥῆμα τὴν θεόν. καὶ ἐμάχετο τῇ ἀναγωγῇ τὸ πνεῦμα καὶ ὁ Κάλχας μηνύει τὴν αἰτίαν, ὡς ἡ Ἄρτεμις ταῦτα πράττει διὰ τὸν κόμπον Ἀγαμέμνονος καὶ οὐ λήξει ποτὲ μὴ δεξαμένων αὐτῆς τῶν βωμῶν τὸ τῆς Ἰφιγενείας αἷμα, παῖς δὲ Ἀγαμέμνονος αὕτη. πείθεται ὁ πατὴρ καὶ ἄγει τὴν κόρην καὶ προσάγει τῷ βωμῷ καὶ καταθύειν ἔμελλε. ἔπειτα ἀντὶ τῆς θυγατρὸς ἐν χεροῖν ἔλαφον εἶχε τῆς Ἀρτέμιδος, οἶμαι, τὴν μὲν ἀφελομένης, τὴν δὲ ἀντιδούσης.

ϛ΄.

R IV 1106 ## Περὶ Δαναοῦ καὶ Αἰγύπτου.

1. *Ἐγένοντο Δαναῷ πεντήκοντα θυγατέρες, ὁ δὲ Αἴγυπτος, Δαναοῦ δὲ οὗτος ἀδελφός, καὶ αὐτὸς ἦν*
R IV 1107 *υἱέων πεντήκοντα πατήρ. | ἐβούλετο οὖν συνοι-*

4 cf. t. I 315, 15 sq.; IV 492, 4. Cypr. apud Procl. chrest. I ed. Kinkel, epic. fr. p. 19, 8 sq. Greg. Cypr. narr. ed. Iacobs l. l. p. 6 13 cf. t. I 316, 2 14 cf. t. I 316, 8 18 [Apollod.] bibl. II 1, 4

2 *ποιεῖ* Re West Iac 4 *διήγημα τὸ κατὰ τὸν ἀγαμέμνονα* *E* sed litt. init. *δ, τ, κ, τ, ἀ* m² 5 *ὧν* *E* 6 *ἐλάφους* *E* 9 *πράττοι* *E* 18 *διήγημα τὸ κατὰ τὸν δαναόν* *E* sed litt init *δ, τ, κ, τ, δ* m² 20 *δὲ οὗτος* inserui ex *E* coll l. 12 om *V* edd 21 *δὲ* *E* | *συνοικίσαι* scripsi ex *EV* *συνοικεῖν* edd post quod nonnulla excidisse coni West

κίσαι τὰς ἐκείνου θυγατέρας τοῖς ἑαυτοῦ παισί. καὶ τῶν γάμων δρωμένων ἐν χερσὶ διδοὺς ὁ Δαναὸς ταῖς παρθένοις ξίφη ἐκέλευσεν ἑκάστην ᾧ συζευγνύοιτο, τοῦτον κτείνειν. 2. *ταῖς μὲν οὖν ἄλλαις ἐτολμήθη τὸ ἔργον καὶ ἀπέθνησκον οἱ νυμφίοι, τῇ δὲ Ὑπερμνήστρᾳ δεινόν τι τὸ πρᾶγμα ἐφάνη καὶ ἀπειθήσασα τῷ πατρὶ φείδεται τοῦ Λυγκέως. φεύγει δὴ Δαναὸς καὶ ἥκων εἰς Πελοπόννησον κατέσχεν Ἄργος.*

1 *ἐκείνου θυγατέρας τοῖς ἑαυτοῦ* scripsi ex *E* coll [Apollod.] bibl. II 1, 4 *ἑαυτοῦ θυγατέρας τοῖς ἐκείνου V* edd 2 *ἐν χερσὶ διδοὺς ὁ* scripsi ex *E* *ἐγχειρίδια δοὺς V* edd 3 *ξίφη* inserui ex *E* om *V* edd | *ἐκέλευεν V* | *συζευγνύοιτο* scripsi ex *E* *ζευγνύοιτο V* edd 6 *δεινόν τι* scripsi e *V* *δεινὸν E* edd 7 *λυγγέως EV* edd corr West | *δὲ E* | *ἥκων* scripsi ex *E* *ἧκεν V* edd 8 *πελοπόνησον E* | *κατέσχεν Ἄργος* scripsi ex *E* *καὶ κατέσχε τὸ ἄργος V* edd

Google

III.

Διηγήματα codicis Vaticani gr. 305.

ζ'.

R IV 1099

Περὶ Ἡφαίστου.

1. *Ῥίπτει τὸν Ἥφαιστον Ἥρα ἐξ οὐρανοῦ τῇ τοῦ παιδὸς αἰσχυνομένη χωλείᾳ, ὁ δὲ τῇ τέχνῃ ἐχρῆτο. καὶ ἐν θαλάττῃ σεσωσμένος ὑπὸ δαιμόνων θαλαττίων πολλὰ μὲν καὶ ἄλλα ἐδημιούργει, τὰ μὲν Εὐρυνόμῃ, τὰ δὲ Θέτιδι, παρ' ὧν περισέσωστο, ποιεῖ δὲ καὶ θρόνον τῇ μητρὶ δῶρον ἀφανεῖς ἔχοντα δεσμοὺς καὶ πέμπει. καὶ ἡ μάλα τε ἥσθη τῷ δώρῳ καὶ καθιζάνει καὶ ἐδέθη καὶ ὁ λύσων οὐκ ἦν.* 2. *βουλὴ δὲ γίνεται θεῶν περὶ τῆς εἰς οὐρανὸν ἀναβάσεως Ἡφαίστου. μόνον γὰρ ἂν ἐκεῖνον καὶ λῦσαι. σιγώντων οὖν τῶν ἄλλων καὶ ἀπορούντων Ἄρης ὑπισχνεῖται καὶ ἐλθὼν πράττει μὲν οὐδέν, αἰσχρῶς δὲ ἀπαλλάττεται πυρσοῖς αὐτὸν δειματώσαντος Ἡφαίστου. ταλαιπωρουμένης δὲ τῆς Ἥρας ἤρχετο μετὰ οἴνου Διόνυσος καὶ διὰ μέθης εἶχεν Ἥφαιστον ἐπό-*

1 Il. σ 394 sq. Plat. rep. II p. 378. Paus. I 20, 2; III 17, 3; 18, 6. Hyg. fab. 166. Phot. Suid. s. v. *Ἥρας δεσμούς*. crater. Clit. et Ergot. (Furtwängler-Reichhold Vas. t. XI. XII) (Cf. U. de Wilamowitz, Hephaistos. Nachr. d. Gött. Ges. d. Wissensch. 1895, 217 sq). amphor. Corinth. Malten Arch. Jahrb. XXVII 247. crater. Petrop. C. R. p. 1862 t. VI. Macchioro Arch. Jahrb. XXVII 293 fig. 20 a 11 Alc. fr. 11 13 Sapph. fr. 66

6 *θαλάττῃ* scripsi cum Wilamowitzio Gött. Nachr. 1895, 220 *θαλά'η* V *θαλάσσῃ* edd 7 *ἐδημιούργησε* Wilamowitz 11 *δὴ* Wilamowitz 12 *οὐρανοὺσ* (*ὀν* supra) V 16 *τῆς Ἥρας ἤρχετο* reposui e V sed *τῆς* parum certum *τῆς Ἥρας ἔρχεται* Hercher in lac om edd

μενον. 3. ὁ *δὲ ἐλθὼν καὶ τὴν μητέρα λύσας ποιεῖ τῆς Ἥρας εὐεργέτην τὸν Διόνυσον. ἡ δὲ αὐτὸν ἀμειβομένη πείθει τοὺς οὐρανίους θεοὺς ἕνα τῶν οὐρανίων θεῶν καὶ Διόνυσον εἶναι.*

η'.

Περὶ Ἀκαλανθίδος.

Τὴν δὲ Ἀκαλανθίδα γαλῆν ἐκ γυναικὸς ἐποίησεν ἡ πρὸς τὴν Ἥραν ἀπάτη. εἰργούσης γὰρ τῆς Ἥρας τῷ Ἡρακλεῖ τὴν ἐκ τῆς γαστρὸς ἔξοδον, τοῦτο δὲ ἄρα ἐποίει ἐφ' ᾧ περὶ τὼ γόνατε συμπλέξαι τὼ χεῖρε, Ἀκαλανθὶς ὡς δὴ τεκούσης οὔπω τεκούσης Ἀλκμήνης ἐκπηδήσασα διέθει τε καὶ ἐμιμεῖτο τὰ τῆς χαιρούσης, ἡ θεὸς δὲ παρακρουσθεῖσα ἀνεπέτασεν Ἀλκμήνης τὰς ὠδῖνας. καὶ δίκην Ἀκαλανθὶς ἐδίδου τῆς ἀπάτης τὴν μεταβολήν.

θ'.

Περὶ Καπανέως. R IV 1100

Ἀπειλοῦντα τὸν Καπανέα καὶ ἄκοντος Διὸς αἱρήσειν τὰς Θήβας ὁ Ζεὺς κεραυνῷ βάλλει, τὸν δὲ Ἄδρα-

6 Nicand. Heter. fr. 60 ed. Schneid. apud Antoninum Lib. 29. Ov. met. IX 273 sq. Lact. Plac. narr. IX 5. Iulii Romani delin. Florent. 102 n. 35 (D'Arco, Sulla vita ed opere di Giulio Pippi. Append. III p. XXXVIII n. 35) 10 Ov. met. IX 298 et 311. Lact. l. l. Plin. n. XXIX 59. Alb. Winter, Alkmene und Amphitryon p. 13. 17 [Apollod.] bibl. III 6, 8. Lyc. Alex. 1066 c. scholl. Hyg. fab. 71 et 72 18 sq. Aesch. Sept. 440 sq. Soph. OC. 1319. Hyg. fab. 71

1 *λύσας* — 2 *τὸν* reposui e *V* cum Herchero in lac om edd 6 *Γαλανθίδος* ut constanter in sequentibus Schrader observ. I 3 p. 21 ed. Franeq. 1761 10 *συμπλέξασα* pro *ἐφ' ᾧ* — *συμπλέξαι* scribendum coni Hercher | *τὼ* (2) reposui e *V* *τὰ* edd 11 *τεκούσης* (1) scripsi *τεκοῦσα V* edd *ἂν τεκούσης* coni West *ὡς δὴ τεκοῦσα* glossematis loco habet Hercher 18 *τὸν* inserui e *V* om edd 19 *Ἀμφιάραον* Iacobs Philostr. im. 368 West

στον ἵπποις αὐτοῖς διαστᾶσα ἡ γῆ δέχεται. Τυδεὺς δὲ ὑπὸ Μελανίππου τρωθεὶς ἐδεῖτο τῶν ἑταίρων βοηθῆσαι τῷ τεθνεῶτι. κτείναντος δέ τινος τὸν Μελάνιππον καὶ κομίσαντος ἔτι ζῶντι Τυδεῖ τὴν κεφαλὴν ὁ μὲν λαβὼν αὐτὴν τοῖς ὀδοῦσιν ἐτιμωρεῖτο, τὴν δ' Ἀθηνᾶν αὐτῷ φέρουσαν ἀθανασίαν τοῦτο ἐκώλυσε μὴ δοῦναι. Πολυνείκης δὲ συγκατενεχθεὶς τῷ ἀδελφῷ ταφῆς ἀπεστερεῖτο μὲν παρὰ Κρέοντος, ἐτύγχανε δὲ παρὰ τῆς ἀδελφῆς. λέγεται δὲ καὶ ἡ γυνὴ Πολυνείκους Ἀργεία συνεφάψασθαι τοῦ ἄθλου.

ι'.

Περὶ Ἀδραστείας.

1. Νενικηκότες οἱ Θηβαῖοι τοὺς Πολυνείκη καταγαγόντας οὐδὲ θάπτειν οὐδενὶ τοὺς πεσόντας ἐπέτρεπον. ἧκον οὖν αἱ τούτων γυναῖκες Ἀθήναζε καὶ ἱκετεύουσαι κινοῦσι μὲν ὑπὲρ τῶν νεκρῶν τὸν Θησέα, κρατηθέντων δὲ τῶν Θηβαίων καὶ καιομένων τῶν νεκρῶν Εὐάδνην τὴν Καπανέως γυναῖκα λόγος κοινωνῆσαι τῷ ἀνδρὶ τῆς πυρᾶς. 2. τούτων οἱ παῖδες πατράσι τι-

---

5 Tzetz. ad. Lyc. l. l. 6 cf. t. IV 997, 16 R 9 Hyg. fab. 72. Stat. Theb. XII 280 sq. 12 Lib. t. I 158, 5; 255, 15. Hyg. fab. 72. [Apollod.] bibl. III 7, 1. Zenob. I 30 18 Eur. Suppl. 980 sq. 19 Eur. El. 1095. Soph. El. 399. 349

---

5 δὲ edd 6 μὴ δοῦναι scripsi e *V* cum Bastio Greg. Cor. 104 ἐκδοῦναι edd 7 Πολυνείκης reposui e *V* cum Iacobsio Lect Bastio West Πολυνείκει All Re | ἀπεστερεῖτο reposui e *V* καὶ ἀπεστέρητο edd καὶ delendum vidit Iacobs Lect 8 τοῦ ante Κρέοντος edd delevi 12 σημειοῦ ante περὶ *V* 13 νενικηκότες scripsi νενικηκότος *V* ἐκνενικηκότες edd | Πολυνείκη reposui e *V* πολυνείκην edd 14 οὐδενὶ reposui e *V* οὐδ' ὅλως edd 15 ἱκετεύουσαι reposui e *V* ἱκετεύσασαι edd 18 ὡς ante λόγος edd delevi ἐστὶ coni West

μωροῦνται καὶ ἐπελθόντες αἱροῦσι Θήβας, ἡγεῖται δὲ ὁ παῖς Ἀδράστου καὶ ἀναιρεῖται μόνος. τοῦ δὲ ἄρα ὁ πατὴρ μόνος τῶν ἑπτὰ λοχαγῶν ἀπεσώθη. ἔδοξε δὴ τοῦ δαιμονίου νεμεσήσαντος τοῦτο τῇδε γενέσθαι. καὶ αὐτίκα οἱ Ἕλληνες ἱερῷ τιμῶσι τὴν Νέμεσιν προσειπόντες Ἀδράστειαν τὴν θεόν.

ια΄.

Περὶ Πολυκράτους.

Πολυκράτους Σάμου μὲν ἄρχοντος, πάντα δὲ εὐτυχοῦντος καὶ ἐπ᾽ οὐδενὶ λυπουμένου δέος εἰσῄει μεταβολῆς. ἔπραττεν οὖν ὅπως ἂν ἰάσηται. καὶ δακτύλιον ὧν εἶχε κτημάτων κάλλιστον ἑκὼν μὲν ἔρριψεν εἰς τὴν θάλασσαν, οὐκ | ἔχων δὲ ἤλγει. γίνεται δὴ πάλιν R IV 1101 ὁ δακτύλιος τοῦ Πολυκράτους διʼ ἰχθύος, ὃν ἀνελὼν ἁλιεὺς μέγαν τε ὄντα καὶ βασιλέως ἄξιον φέρων ἔδωκεν ἐκείνῳ. ὁ δὲ ἰχθύς, ὡς ἦν χερσὶ τῶν μαγείρων ἀνασχισθείς, ἀπέδωκε Πολυκράτει τὸν δακτύλιον.

ιβ΄.

Περὶ Καλλιστοῦς.

Τὴν Ἥραν ὁ Ζεὺς ἐλύπει Καλλιστοῦς ἐρῶν καὶ ποιεῖ τὴν ἐρωμένην ἄρκτον τοῦ τὴν Ἥραν λαθεῖν. ὡς δὲ αὐτὴν ἔχοι πλησίον, μεταδίδωσι τοῦ οὐρανοῦ. καὶ ἔστι Καλλιστὼ τῶν ἀρκτῴων ἀστέρων. ἀπὸ δὲ ταύτης

2 sq. Suid. s. v. Ἀδράστεια Νέμεσις. Eustath. ad Il. β 828
3 Hyg. fab. 71 6 Strab. XIII p. 588 8 Lib. I 154, 12. Her. III 41 sq. cf. Werner, De Libanii studiis Herodoteis p. 6
19 [Apollod.] bibl. III 8, 2

22 ἔχοι scripsi e *V* cum Iacobsio Lect ἔχε All Re αὐτῆς ἔσχε πλήσμιον West 23 ἔστι Καλλιστὼ scripsi ἔστι καλλίστη *V* ἔστιν ἡ καλλίστη All Re ἔστιν ἡ Καλλιστὼ West

παῖς Ἀρκάς, ὅθεν Ἀρκάδες, οὗ τεχθέντος Ἑρμῇ τῆς σωτηρίας ἐμέλησεν.

ιγ'.

Περὶ Σιμωνίδου.

Ἐχώρει μὲν ἐπὶ Τάραντα Σιμωνίδης ὁ Κεῖος ὁ Λεωπρέπους ὁ ποιητής, νεκρὸν δὲ ἄταφον ὡς εἶδεν ἐρριμμένον, ἠλέησέ τε καὶ θάπτει. μέλλων δὲ ἡμέρᾳ τῇ μετὰ τὴν ταφὴν πλεῖν εἰς Σικελίαν ὀνείρατι εἴργεται μὴ πλεῖν. ἀγνοῶν δὲ τίς ἦν ὁ αὐτὸν ὀνείρατι κωλύων πείθεται μὲν ὁ Σιμωνίδης καὶ μένει, πλεῖ δὲ ἡ ναῦς καὶ βαπτίζεται. ἄλλου δὲ εἰς Τάραντα κομίσαντος τὸ πάθος ἐγίνετο ὅσα εἰκὸς ἐπὶ τοιούτου κακοῦ. Σιμωνίδης δὲ στεφάνους τῇ στήλῃ περιέθηκε καὶ ἐναγίσας τῷ νεκρῷ σωτῆρα αὐτοῦ τὸν κείμενον ἐκήρυξεν ἐπιγράμματι. καὶ τοῦτο ἡ στήλη δείκνυσιν.

ιδ'.

Περὶ Νεοπτολέμου.

Ἀποθνήσκει τοῖς Ἀπόλλωνος βέλεσιν Ἀχιλλεύς.

---

4 Simon. epigr. Anth. Pal. VII 77 cum lemmate. Schol. Aristid. or. de quattuor viris t. III p. 533, 7 sq. ed. Dind. Tzetz. Chil. I 625 sq. cf. Wilamowitz, De tribus carm. lat., Gotting. 1893 p. 8
17 Eur. Andr. 51 sq. 1085 sq.

---

2 ἐμέλησε edd 5 ὁ Λεωπρέπους scripsi ὁ λεωπρόπους V λεωπρόπους All Re ὁ Λεωπρόπους Iacobs Lect, ὁ Λεωπρεποῦς Anth. Pal. III 235 6 εἶδεν ἐρριμμένον scripsi e V ἐπεῖδεν ἐρριμένον All Re 7 μέλλων δὲ inserui e V om All Re 8 ὀνείρατι scripsi e V ὀνειράτων All Re | εἴργεται μὴ πλεῖν inserui e V om All Re 9 ἀγνοῶν scripsi auctore Herchero scriptura in V exceptis litteris νο parum certa om All Re | δὲ τίς ἦν ὁ inserui e V om edd | αὐτὸν elicui e V αὐτοῦ Hercher τοῦτόν γ' All Re 11 ἄλλου elicui e V in quo 5 litterae, quarum α probabilis, λ(1) certa, exstinctae ἐλθὼν Hercher om All Re 12 τοιούτῳ V corr All 14 αὐτοῦ V All Re

θρασυνόμενος δὲ Νεοπτόλεμος ᾔτει τὸν Ἀπόλλωνα δίκας τοῦ φόνου. ἔπειτα νοήσας ὡς οὐ καλῶς αὐτῷ τοῦτο ἐπεποίητο, διαλλάξων αὐτῷ τὸν θεὸν εἰς Δελφοὺς ἀπῄει καὶ ἀπέθανεν ὑπὸ τῶν ἐνοικούντων Δελφούς, οὓς ἐξηπάτησεν Ὀρέστης λέγων αὐτὸν ἐφ᾽ ἁρπαγῇ τῶν ἱερῶν ἥκειν χρημάτων.

ιε΄.

Περὶ Ἀλκήστιδος. R IV 1102

Ἐθήτευσε μὲν Ἀπόλλων Ἀδμήτῳ γνώμῃ Διός, ἐθεράπευσε δὲ Ἄδμητος τὸν Ἀπόλλωνα. ἐπεὶ δὲ ἧκον αἱ Μοῖραι καὶ ἔδει τελευτᾶν, ἀναβάλλει τὸν θάνατον αὐτοῦ ὁ θεὸς δεηθεὶς τῶν Μοιρῶν, αἳ τῷ μὲν εἶξαν, ἐζήτουν δὲ ὃς ἀντ᾽ ἐκείνου τὸν θάνατον ὑποστήσεται. διελέχθη τοῖς γονεῦσιν ὁ Ἄδμητος γήρᾳ βεβαρημένοις. οἱ δὲ ἐφιλοψύχουν καὶ οὐκ ἠνείχοντο ἀπιέναι. παρέρχεται δὴ τὴν φύσιν Ἄλκηστις ἡ γυνὴ καὶ αὐτὴ ἀποθνήσκει. πένθους δὲ κατέχοντος τὴν οἰκίαν Ἡρακλῆς ἥκων ξενίζεται καὶ μαθὼν τὴν τύχην καὶ πονέσας καὶ κρατήσας τῶν κάτω δαιμόνων ἐπανάγει τὴν ἄνθρωπον.

ις΄.

Περὶ Κανδαύλου.

Ἤρα τῆς ἑαυτοῦ γυναικὸς ὁ Κανδαύλης καὶ παρ-

8 cf. ep. 1238. Eur. Alc. cum argumento 9 cf. t. V 82, 2 21 Her. I 8 sq. Nicol. prog. 5, 3 ed. Walz. Rhet. gr. t. I p. 287, 13 sq.

2 ἔπειτα νοήσας scripsi e V ἐπινοήσας All Re ἐπινοήσας δὲ West 3 αὐτῷ V All Re 4 Δελφούς scripsi Δελφῶν V edd 12 αἳ] αἱ δὲ West 13 ἀντἐκείνου V 14 διελέχθη δὴ coni West | βεβαρημένοις scripsi e V βαρυνομένοις edd 16 ἑαυ V 18 πονήσας West 22 Ἤρα — Κανδαύλης citat Thom. Mag. loco ad p. 44 l. 10 allato

εκάλει τὸν Γύγην ἐπὶ τὴν θέαν τῆς ὥρας. ὁ δὲ τὸ πρῶτον ἀρνούμενος ἐγκειμένου τοῦ Κανδαύλου συνεχώρησεν. ὑφ' οὗ δὴ καὶ καταστὰς ὄπισθεν τῆς θύρας τὴν γυναῖκα καταγυμνουμένην ἰδὼν ἀπηλλάγη. ἡ δὲ μεταστραφεῖσα τὸ πραχθὲν οὐκ ἠγνόησεν, ἤνεγκε δὲ σιγῇ. μεταπέμπεται δὲ τὸν Γύγην, ἐπειδὴ ἡμέρα ἦν, καὶ ἐκέλευσεν ἀποθνήσκειν ἀντὶ τῆς θέας ἢ τοῦτο δρᾶν τὸν Κανδαύλην ὑπισχνουμένη συνοικήσειν αὐτῷ μετὰ τὸν φόνον. τὸν Γύγην ἤρεσκε μὲν οὐδέτερον, εἰς δὲ τὸ κτείνειν ἀπέκλινε. καὶ διαχρησάμενος καθεύδοντα τὸν δεσπότην γαμεῖ τε ἐκείνην καὶ βασιλεύει Λυδῶν.

ιζ'.

Περὶ Δάφνης.

Δάφνης τὸ κάλλος ἐγέννησε μὲν Λάδων ὁ ποταμός, ἐθαύμασε δ' Ἀπόλλων. παθὼν δέ τι πρὸς αὐτὴν ἐρωτικόν, ἐπεὶ πείθειν οὐκ εἶχεν, ἐδίωκεν. ἡ δὲ εὔχεται τῇ Γῇ μὴ ἁλῶναι καὶ τυχοῦσα τῆς εὐχῆς ἀφανίζεται. καὶ τὸ μὲν σῶμα δένδρον ἐγίνετο, δάφνη δὲ τὸ δέν-

---

13 cf. t. I 467, 4 sq.; IV 319, 8; 462, 10. t. IV 1019, 7 sq. R. Io. Chrys. Bab. 12 t. II 556 ed. Montf. Geop. XI 2 = Schol. Il. α 14. Nicol. progymn. 10 ed. Walz. Rhet. gr. t. I 73. Hyg. fab. 203. Procop. ep. 66. Nonn. narr. ad Greg. invect. 2, 16. cf. Magnus Herm. XL 199 sq.

---

2 *τὴν πρώτην Vind* 3 *καὶ* om *Vind* 4 *τὴν γυναῖκα* om *Vind* | *καὶ γυμνουμένην Vind* 5 *καὶ ἡ μεταστραφεῖσα Vind* | *ἤνεγκε δὲ* scripsi e *V* *ἤνεγκέ τε Vind* edd 6 *γε V* *δὴ Vind* 8 *αὐτῷ* scripsi e *Vind* cum Iac *αὐτῇ V* Re 9 *φόνον. τὸν Γύγην ἤρεσκε* scripsi *φόνον, τὸν Γύγην. ἤρεσκε V* All Re *φόνον. τῷ Γύγῃ δὲ ἤρεσκε Vind* Iac 10 *διαχρησάμενος τὸν δεσπότην* praemissis verbis *διαχρῶμαι τὸν δεῖνα κρεῖττον ἢ φονεύω. Λιβάνιος ἐν διηγήματι δραματικῷ τῷ· Ἥρα τῆς ἑαυτοῦ γυναικὸς ὁ Κανδαύλης* Thomas Mag. s. v. *διαχρῶμαι* p. 81, 11 R 11 *τὸν δεσπότην καθεύδοντα Vind* 15 *δὲ* edd 17 *γῇ* All Re 18 *ἐγένετο* West | *Δάφνη* All Re

δρον ἦν. ὁ θεὸς δὲ τὸν πόθον οὐ κατέλυεν, ἀλλὰ τὰ πρὸς τὴν κόρην | μετήνεγκεν ἐπὶ τοὺς κλάδους R IV 1103 καὶ ἔστιν ἐραστὴς τῶν φύλλων.

ιη΄.

Περὶ Πρόκνης καὶ Φιλομήλας.

1. Ἐξ Ἀθηνῶν Τηρεὺς Πρόκνην ἄγεται τὴν Πανδίονος, ὃς ἐβασίλευεν Ἀθηναίων, αὐτὸς δὲ Τηρεὺς ἐκράτει Θρᾴκης. χρόνου δὲ προϊόντος ἐπιθυμία λαμβάνει τὴν Πρόκνην ἰδεῖν Φιλομήλαν τὴν ἀδελφὴν καὶ διὰ Τηρέως τοῦτο ἐπράττετο, ὃς ἐλθὼν Ἀθήναζε καὶ λαβὼν ἐν τῇ πορείᾳ μίγνυται τῇ παρθένῳ βιασάμενος, οὐ πείσας. φοβούμενος δὲ τὸν ἔλεγχον τὴν γλῶτταν περιελὼν πόρρω τῆς ἀδελφῆς ἵδρυσεν ἐν κώμῃ φυλακήν τινα παρακαταστήσας. 2. ἄλλως μὲν οὖν οὐκ ἦν μηνύσαι τῇ Πρόκνῃ τὸ τολμηθέν, τῆς ἑορτῆς δὲ ἐπελθούσης ἐν ᾗ τῇ βασιλίδι τὰς Θρᾴττας δῶρα πέμπειν νόμος ἦν πέμπει πέπλον ἡ Φιλομήλα γράμματα ἐνυφήνασα. τὰ δὲ ἐδήλου τὴν βίαν. 3. ἡ δέ, ὡς ἔγνω, τὴν μὲν μεταπέμπεται, τὸν δὲ Ἴτυν ἀπέσφαξεν, ὃς ἐκ Τηρέως ἦν αὐτῇ, καὶ εἱστίασε τὸν πατέρα τῷ σώματι τοῦ παιδός. ὡς δὲ δὴ ἐκόρεσεν, ἐδίδασκεν αὐτὸν ἥτις ἦν ἡ βρῶσις τὰ ἀκρωτήρια δείξασα. ὁ

5 cf. t. VII 231, 9. Ach. Tat. V 5

1 κατέλυσεν Hercher 5 φιλο (μλ suprascr.) V Φιλομήλης All Re 8 ἐπιθυμία λαμβάνει scripsi cum Iacobsio Ach T 765 West ἐπιθυμία ἐλάμβανε Iacobs Lect ἐπεθύμει λαμβάνων V All Re 10 Τηρέως et ἐπράττετο, ὃς inserui e V om edd 11 καὶ] καιρὸν Iacobs Ach T 13 ἀδελφῆς elicui e V ut coni Hercher πόλεως edd 14 φυλακήν scripsi e V φύλακά edd 15 μηνῦσαι West fortasse recte at cf. t. II 10, 4 | κόρη V sed πρόκνη suprascr m² | τολμηθέν scripsi e V τόλμημα edd 22 ἀκρωτήρια scripsi e V cum Bastio Greg. Cor. 792 ἀκρότερα All Re ἀκρότατα West

μὲν οὖν ἐδίωκεν, ὡς ἀποκτείνειεν, αἱ δὲ ἔφευγον. καὶ ἐν τῇ διώξει μετεβλήθησαν εἰς ὄρνις αἵ τε γυναῖκες καὶ ὁ Τηρεύς, χελιδόνα μὲν ἡ Φιλομήλα, ἀηδόνα δὲ ἡ Πρόκνη, λέγεται δὲ καὶ ὁ τοῦ παιδὸς γευσάμενος ἔποψ γενέσθαι.

ιθ'.

Ἄλλως.

Πρόκνην ἐξ Ἀθηνῶν ἠγάγετο Τηρεὺς τὴν Πανδίονος, ἐρῶσα δὲ ἡ Πρόκνη τὴν ἀδελφὴν Φιλομήλαν θεάσασθαι Τηρέα ποιεῖται τῆς θέας διάκονον. ὁ δὲ παραλαβὼν ἐπόθει μὲν καθ' ὁδὸν καὶ ποθῶν ἐβιάσατο καὶ βιασάμενος ἀφεῖλε τῶν πραχθέντων τὸν ἔλεγχον τὴν γλῶσσαν ἀποτεμών. ἡ δὲ ἀφικομένη παρὰ τὴν Πρόκνην εἰπεῖν μὲν οὐκ εἶχε τὸ πάθος, διηγεῖται δὲ τὸ συμβὰν τῇ χειρὶ ἱστῷ προσυφάνασα. καὶ μαθοῦσα
R IV 1104 *τὸ πάθος ἡ | Πρόκνη τὸν παῖδα τροφὴν τῷ πατρὶ παρατίθησιν. ὁ δὲ τρέφεται μὲν οἷς ἠγνόει τὰ φίλτατα, τραφεὶς δὲ ἀνελεῖν ἐπεχείρει τὴν θρέψασαν. θεοὶ δὲ τῆς συμφορᾶς τοῦ παιδὸς οἰκτείροντες ἀμφοτέρους εἰς ὀρνίθων μεταβεβλήκασι φύσεις.*

κ'.

Περὶ Μαρσύου καὶ αὐλῶν.

Ηὔλει ἡ Ἀθηνᾶ καὶ τὸ εἴδωλον αὐτῆς ἐν τοῖς ὕδασιν ἰδοῦσα τὸν αὐλὸν ἔρριψεν ὡς οὐκ ἔχον εὐσχη-

22 Palaeph. 48. Hyg. fab. 165. Nonn. narr. ad Greg. invect. 2, 10. Cf. Sal. Reinach Rev. arch. 1912 I 390 sq.

1 *ἀποκτείνειεν* scripsi e *V* cum Bastio Greg. 604 *ἀποκτηνείων* All-Re *ἀποκτενείων* West 3 *εἰς* ante *χελιδόνα* West 4 *ἡ* om West 7 „*fort. Nicolai.*" West 15 *προσυφήνασα*, ut p. 45, 18? 19 „*immo τὸν παῖδα*" West 22 *αὐλοῦ* Hercher 23 *αὐτῆς V* All Re

μοσύνην τῷ προσώπῳ τὸ αὐλεῖν. γίνεται δὴ οὗτος Μαρσύου καὶ ἐποίησεν αὐτὸν αὐλητὴν ὀνομαστόν. ὁ δὲ ἐπείθετο ἤδη καὶ Ἀπόλλωνος εἶναι κρείττων καὶ εἰς ἔριν ἐκάλει. καὶ οἱ μὲν ἤριζον, ἐψήφιζον δὲ αἱ Μοῦσαι, καὶ ὁ θεὸς ἐνίκα, δίκην δὲ ἐπιτιθεὶς τῷ αὐλητῇ κρεμάσας ἔδειρε. καὶ τὸ αἷμα γίνεται ποταμός, τῷ δὲ ποταμῷ ὄνομα Μαρσύας.

κα΄

Περὶ Πασιφάης.

Ἐγκαλοῦσά τι τῷ Ἡλίῳ ἡ Ἀφροδίτη πλήττει τὰς ἐκείνου θυγατέρας ἔρωσι καινοῖς. ἐρᾷ δὴ καὶ Πασιφάη ταύρου καὶ καρτερεῖν οὐκ ἔχουσα φράζει πρὸς τὸν Δαίδαλον τὸ πάθος. ὁ δὲ ἦν Ἀθηναῖος καὶ φεύγων διέτριβεν ἐν Κρήτῃ. πείθεται δὴ καὶ βοηθεῖ τῇ γυναικὶ διὰ βοὸς ξυλίνης. κοίλην γὰρ αὐτὴν ἐργασάμενος καὶ κατακλείσας ταύτῃ τὴν ἐρῶσαν δέρματι βοὸς καλύψας τὸ πλάσμα κινεῖ τὸν ταῦρον ἐπὶ τὴν εἰκόνα. καὶ ἐλθὼν μίγνυται δὴ τῇ γυναικί, βοῒ δέ, ὡς ᾤετο. τότε ὁ Μινώταυρος γίνεται ταῦρος μὲν τὴν κεφαλήν, τὸ δ' ἐντεῦθεν ἄνθρωπος.

---

6 cf. t. V 142, 4 *αὐλητὴς δὲ Φρὺξ Μαρσύας οὐ κεκολασμένος αὐλεῖν δορᾷ βούλεται καὶ τοῦτο μὲν ἀδυνατεῖ, ἄλλου δὲ αὐλοῦντος ἀκούει καὶ ἀναβιώσκεται τῷ μέλει*; (ita huius loci emendatio a Meisero Herm. XLV 319 incohata perficienda est)
9 Hyg. fab. 40   11 cf. t. V 116, 18

---

4 *ἐψήφιζόν τε V* All Re   5 *τὲ V* *τε* All Re | *ἐπιθεὶς* Re   6 *ἔδ^{ει}ηρε V*   10 *ἡ* om West   11 *κενοῖς V*   13 *φεύγων* scripsi e *V* *φυγὼν* edd   19 *τὴν κεφαλὴν* scripsi *τῇ κ^{ελῆ} V* *τῇ κεφαλῇ* edd | *δὲ* edd

κβ'.

Ἄλλως.

Ἡλίου παῖς Πασιφάη γεγένηται καὶ γενομένη τοῦ καλλίστου τῶν θεῶν πάθος ὑπέστη παραλογώτατον. ταύρῳ γὰρ ἐπιμαίνεται καὶ τὸ πάθος ἀποροῦσα διενεγ-
R IV 1105 κεῖν | πρὸς τὸν Δαίδαλον ἤγγειλεν. ὁ δὲ ξυλίνην μηχανησάμενος βοῦν δορᾷ τὴν μηχανὴν περιέβαλεν, ᾗ παρὰ τὴν ἀγέλην ⟨ὁ ταῦρος⟩ συνήγετο, καὶ τὴν ἄνθρωπον ἔνδον κατακλείσας ἐργάζεται μίξιν ἣν ὁ πρότερος οὐκ ἠπίστατο χρόνος. καὶ τῆς ὁμιλίας ὑπόμνημα παῖς προελήλυθεν ἐφ' ἑνὸς σώματος ἄμφω χαρακτηρίζων τοὺς φύσαντας.

κγ'.

Περὶ Ἡρακλέους.

Ἀλκμήνη τίκτει τῷ Διὶ μὲν Ἡρακλέα, τῷ δὲ Ἀμφιτρύωνι Ἰφικλέα καὶ τὸ μέσον τοῦ σπέρματος ἐν τοῖς ἐγγόνοις ἐδείχθη. τὰ μὲν γὰρ ἔκειτο ἐσπαργανωμένα ἀρτίγονα, δράκοντες δὲ ὡς ἐπῆλθον ἐπιβουλευούσης Ἥρας τῷ Ἡρακλεῖ πτήσσει μὲν Ἰφικλῆς καὶ ὑπότρομος γίνεται, Ἡρακλῆς δὲ δέχεται τὰ ἑρπετὰ καὶ ἀποπνίγει.

2 Nicol. prog. narr. 7 ed. Walz. Rhet. gr. I 307, 10 sq. Niceph. prog. narr. 5 et 6. ed. Walz. l. l. p. 483, 24 sq. Doxap. ad Apth. homil. ed. Walz. l. l. II 202, 21 sq.

2 „*fort. Nicolai*“ West cf. Nicol. prog. 7 l. l. 3 *γενομένου V* corr All 5 *ἀποροῦσα* scripsi e *V* coll Nicol. l. l. *οὐ δυναμένη* edd *ἀποροῦσα τὸ πάθος* Iac 7 *μηχανησάμενος βοῦν δορᾷ* scripsi e *V* coll Nicol. l. l. om edd *ἄτοπον* vel simile quid ante *μηχανὴν* in *V* locum habuisse iniuria censuit Hercher 8 *παρὰ* scripsi coll Nicol. l. l. *περὶ V* edd | *ὁ ταῦρος* inserui coll. Nicol. l. l. om *V* edd | *τὸν V* 9 *μίξιν* inserui e *V* coll Nicol. l. l. cum Iacobsio Anth. Pal. III 864 et Herchero in lac om edd 10 *ὁμιλίας* scripsi cum Iacobsio l. l. coll. Doxap l. l. *ὁμολογίας V* edd *ὁμοκοιτίας* coni Iacobs Lect coll schol. ad Aesch. Cho. 583, *ὁμοζυγίας* West 16 *ἄνισον* Iac auctore E. Maassio 17 *ἐγγόνοις* scripsi e *V* *ἐκγόνοις* edd

κδ'.

Ἄλλως.

1. Θεῶν αἱ γοναὶ καὶ περὶ τὰ σπάργανα φαίνονται. δηλοῖ δὲ ἡ συνοῦσα Διὶ καὶ μετ' αὐτὸν Ἀμφιτρύωνι καὶ συνουσίας διττῆς ἐπὶ τῶν παίδων φέρουσα γνώρισμα. προῆλθε μὲν γὰρ Ἡρακλῆς τοῦ Διός, ὁ δὲ Ἰφικλῆς Ἀμφιτρύωνος. 2. καὶ κειμένων ἐν σπαργάνοις τῶν παίδων Ἥρα μὲν τοῖς παισὶν ἐπαφίησι δράκοντας, Ἡρακλῆς δὲ ἑωρακὼς ὁμοῦ τῇ θέᾳ προσιόντας ἀνῄρηκεν καὶ πρὸς αὐτὴν Ἰφικλέους καταπεπληγμένου τὴν θέαν ἄθλων προοίμιον τὴν τοῦ βίου ἀρχὴν ἐποιήσατο.

κε'.

Περὶ Λητοῦς.

Ἤπειγον αἱ ὠδῖνες τὴν Λητώ. ἐδέχετο δὲ αὐτὴν οὔτε ἤπειρος οὔτε νῆσος οὐδεμία τῶν φανερῶν. ἡ Δῆλος δὲ πρῶτον μὲν ἠφανίζετο τῇ θαλάττῃ, τότε δὲ γνώμῃ Διὸς ἀνέδυ τε καὶ ἐξεφάνη καὶ ἐδέξατο τὸν τόκον. τεχθεὶς δὲ ὁ Ἀπόλλων εὐθὺς ἦν τοξότης καὶ ἔργον αὐτῷ πρῶτον ὁ δράκων ὃς ἐπολέμει τῇ Λητοῖ βουλομένῃ τεκεῖν.

κϛ'.

Περὶ Ἀλεκτρυόνος. R IV 1106

1. Ὁ ἀλεκτρυὼν ὄρνις ἐστὶν ἐξ ἀνθρώπου τὸ πρίν. ὅτε δὲ ἦν ἄνθρωπος, Ἄρεος ἦν δορυφόρος. τούτῳ

---

19 Tzetz. Lyc. 208 22 cf. t. VI 520, 7. Luc. gall. 3. Eust. ad Od. θ 302.

---

4 συνοῦσα scripsi cum Iacobsio Lect et West συνουσία V All Re συνουσιάσασα coni Iacobs Philostr. im. 607 15 οὐδὲ μία V 16 θαλ$^{\acute{\bar{\alpha}}\eta}$ V θαλάσσῃ edd 23 Ὁ om Vind 24 Ἄρεος scripsi e V Vind Ἄρεως edd cf. t. V 418, 1; 429, 14; VI 520, 8

παρέδωκε τὰς θύρας τοῦ θαλάμου Ἄρης, ὅτε ἠδίκησεν εἰς τὴν εὐνὴν τὸν Ἥφαιστον, ἐφ' ᾧ πρὸ τοῦ περιόρθρου τὰς θύρας ἀράττειν, ὡς μὴ ἁλῴη μοιχεύων. κατεκοιμήθησαν οὖν ἀμφότεροι, καὶ ὁ θεράπων καὶ ὁ δεσπότης, καὶ τὸ ἔργον ἐγνώσθη τῆς ἡμέρας φανείσης. γίνεται οὖν ὄρνις ὁ στρατιώτης ταύτην ὑποσχὼν τὴν δίκην. 3. καὶ πολλὰ δηλοῖ τὸν πάλαι στρατιώτην, ὁ λόφος, ὁ θυμός, τὰ κέντρα. καὶ μεμνημένος γε ἐφ' ᾧ τοῦτο ἔπαθε, πρὶν Ἥλιον ζεύξασθαι τὸ ἅρμα τῶν ἀνθρώπων ἐλαύνει τὸν ὕπνον διὰ τῆς ᾠδῆς.

κζ'.

Περὶ τῆς τοῦ Πάριδος ἁρπαγῆς.

1. Θέτιν ὁ Ζεὺς ἐθαύμασε τοῦ κάλλους, παρὰ δὲ τῆς Νυκτὸς ἀκούσας ὡς ὁ τικτόμενος ἐκ Θέτιδος ἀμείνων ἔσται τοῦ πατρὸς αὐτὸς μὲν οὐ μίγνυται, Πηλεῖ δὲ δίδωσι. καὶ δέχεται μὲν τοὺς γάμους τὸ Πήλιον καὶ θεῶν ὕμνον καὶ Ἀπόλλωνος ᾠδήν. ἡ δὲ Ἔρις, οὐ γὰρ μετεῖχε τῆς θοίνης, μῆλον χρυσοῦν ἀφίησιν εἰς τὴν τράπεζαν. δῶρον εἶναι τῇ καλλίστῃ θεῶν τού-

2 cf. t. VI 519, 3 7 sq. cf. t. VI 520, 8 12 [Apollod.] bibl. III 13, 5 16 crater. Clit. et Ergot. (Furtwängler-Reichhold Vas. t. XI. XII) 19 Serv. Aen. I 27. Schol. Eur. Hec. 644

1 ἠδίκει τὸν ἥφαιστον εἰς εὐνήν. καὶ προείρητο αὐτῷ Vind 2 πρὸς Re 3 ὄρθρου Vind | ἀράττει V All Re corr West cf p. 39, 10 | ἀλώη V All Re 4 κατεκοιμήθησαν scripsi e V κατεκοιμίθησαν Vind κεκοίμηνται edd | οὖν om Vind 5 τῆς om Vind 7 καὶ — 8 κέντρα respexit Eustathius ad Od. θ 302 καὶ δηλοῦσιν ἔτι τὴν ἐκείνου στρατιωτικὴν ὁ λόφος, ὁ θυμός, τὰ κέντρα κατὰ τὸν γράψαντα ῥήτορα 8 γε om Vind 12 Περὶ Πάριδος West 17 ὕμνον scripsi cum Iacobsio Lect Anth. Pal. III 652 Ungero Elect. crit. 21 West coll [Apollod.] l. l. κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνησαν ὕπνον V All Re 19 τῆς καλλίστης V All Re corr West

τῷ ἐπεγέγραπτο. 2. γίνεται οὖν ἀμφισβήτησις τὸ μῆλον τῇ τοῦ Διὸς γυναικὶ καὶ Ἀφροδίτῃ καὶ Ἀθηνᾷ. ὁ δὲ ⟨Ζεὺς⟩ φεύγει μὲν αὐτὸς τὴν κρίσιν, ποιεῖ δὲ αὐταῖς Πάριν τὸν Πριάμου κριτήν. ὡς οὖν ἧκον παρὰ τὸν βουκόλον, νικᾷ μὲν Ἀφροδίτη τῷ τῆς Ἑλένης γάμῳ, τοῦτο γὰρ ἄμεινον ὁ Πάρις ἡγήσατο, βασιλείαν δὲ ἣν ἐδίδου τῆς Ἀσίας ἡ Ἥρα, καὶ τὸ μαχόμενον κρατεῖν, ὃ ἦν τῆς Ἀθηνᾶς ὑπόσχεσις, παρῃτήσατο. ναυπηγεῖται οὖν καὶ πλεῖ καὶ λαμβάνει τὴν Ἑλένην καὶ ἀπόλλυσι τὸ Ἴλιον.

κη΄.

Περὶ Ἰκαρίου. R IV 1107

Ἐπεφοίτησεν Ἰκαρίῳ Διόνυσος. ὁ δὲ αὐτὸν ἐδέξατο καὶ ἐθεράπευσε. καὶ λαμβάνει παρὰ τοῦ θεοῦ δῶρον τὴν ἄμπελον καὶ διδάσκει τὴν τέχνην. ὡς δὲ ἧκεν εἰς Θρᾴκην, πιόντες οἱ Θρᾷκες ἐμεθύσθησαν καὶ ἡγήσαντο φάρμακον τὸν οἶνον καὶ ἐν τούτῳ δόξης ὄντες ἀπέκτειναν τὸν Ἰκάριον.

2 cf. t. I 522, 5 6 sq. Luc. dial. deor. 20, 12 12 cf. t. IV 989, 6 sq. R. [Apollod.] bibl. III 14, 7. Nonn. narr. ad Greg. invect. 1, 68 16 cf. t. IV 990, 4 R.

1 ἐνεγέγραπτο V All Re corr West 3 Ζεὺς inserui om V edd 4 παρὰ scripsi περὶ V edd 5 Ἀφροδίτη τῷ τῆς Ἑλένης γάμῳ scripsi e V ἡ Ἀφροδίτη cum lacuna edd 6 βασιλεί (α supra) post πάρις V | βασιλείας V corr All | δὲ scripsi cum West τὲ V τε All Re 8 ναυπηγεῖται οὖν καὶ πλεῖ scripsi e V sed οὖν tantum e parte servatum est ναυπηγεῖ δὲ καὶ πλοῖον edd 10 sequitur narratio ϛ΄ (p. 36, 13) in V 12 ἰκάρου V corr All 13 ἰκαρίω V corr All 14 ἐθεράπευσεν edd | τοῦ inserui e V cum West om All Re Iac 18 ἀπέκτειναν scripsi e V (non ἀπέκτεινον ut dicit Bast. ep. crit. 81) cum Iac ut coni West ἐπέκτεινον edd | ἴκαρον V corr All

κθ'.

Περὶ Ἀρίωνος.

1. Ὁ Ἀρίων Μηθυμναῖος ὢν ἐκ Μηθύμνης ἔπλευσεν εἰς Κόρινθον καὶ δεικνὺς αὐτόθι τὴν τέχνην εὐδοκιμεῖ. βουλόμενος δὲ καὶ ἐν Ἰταλίᾳ γενέσθαι λαμπρὸς ἔπλευσε κἀκεῖσε καὶ αὖθις εὐδοκιμεῖ. γενομένων δὲ αὐτῷ χρημάτων μεγάλων νεὼς ἐπιβὰς Κορινθίας εἰς Κόρινθον ἐπαναπλεῖ. 2. καὶ οἱ ναῦται τῶν χρημάτων ἐρασθέντες κτείνειν ἐπεχείρουν. ὡς δὲ ἀφιστάμενος αὐτοῖς τῶν χρημάτων ἐπὶ τῷ σώζεσθαι οὐκ ἔπειθε, δευτέρας δεῖται συγχωρήσεως, στῆναι ἐν τῇ σκευῇ καὶ ᾆσαι καὶ ἐκπηδῆσαι εἰς τὴν θάλατταν ἐπὶ τῷ τέλει τοῦ ᾄσματος. καὶ οἱ μὲν ἐπέτρεψαν, ὁ δὲ ᾖσε καὶ ἐξεπήδησε. δελφὶς δὲ αὐτὸν ὑποθεὶς τῷ κιθαρῳδῷ πρὸς Ταίναρον ἐξεκόμισε.

λ'.

Περὶ Ἀλφειοῦ.

Ἔρως καὶ ποταμοῖς ἐνοχλεῖ. δηλοῖ δὲ Ἀλφειὸς Σικελικῆς πηγῆς Ἀρεθούσης ἐρῶν, ὃς προϊὼν ἐκ τῆς
R IV 1108 Ἤλιδος | τὸ ῥεῖθρον οὐκ ἀναμίγνυσι πολὺ διερ-

2 Her. I 24. Ael. nat. anim. XII 45. Nicol. prog. 2, 7 ed. Walz. Rhet. gr. I p. 271, 1 sq. Sever. narr. 4 ed. Walz. l. l. p. 538, 20 7 Nicol. l. l. p. 271, 3 13 sq. Nicol. l. l. p. 271, 7 17 cf. narr. γ' p. 34, 9 sq. 20 cf. t. I 459, 1 sq.

4 εὐδοκιμεῖ scripsi e *V* εὐδοκίμει All Re ηὐδοκίμει West Iac 12 ἐκπηδῆσαι scripsi auctore Herchero ἐκπηδήσειν *V* edd | θάλατταν scripsi θάλασσαν *V* edd cf. p. 34, 13; 38, 6; 55, 12 13 ἐξεπήδησεν edd 15 sequuntur narrationes β' et γ' περὶ ὑακίνθου et περὶ ἀλφειοῦ supra p. 33 et 34 editae in *V* 17 Περὶ Ἀλφειοῦ] ἄλλως *V* All Re 20 ἤλιδος *V*

χόμενος πέλαγος ὡς ἐκ τούτου δεικνὺς τῇ ποθουμένῃ φυλάττειν ἀκέραιον τὸν τοῦ ἔρωτος πόθον.

λα΄.

Περὶ Δηιανείρας.

Δηιάνειραν τὴν Οἰνέως ἐπόθει μὲν Ἡρακλῆς, ἀντεπόθει δὲ καὶ Ἀχελῷος ὁ ποταμός. εἰς ἔριν δὲ καταστάντες ἐκ πόθου ἀγῶνι μὲν τὴν ἅμιλλαν ἔκρινον καὶ ἆθλον τὸν τῆς κόρης γάμον προὐτίθεντο. καὶ προσπεσὼν Ἡρακλῆς παρασπᾷ μὲν Ἀχελῴου τοῦ κέρως, τὸ δὲ καταρρεῦσαν αἷμα τοῦ τραύματος κατεβάλετο Σειρήνων γένεσιν.

λβ΄.

Περὶ Πίτυος.

Ἤρα τῆς Πίτυος ὁ Πάν, ἀντήρα δὲ καὶ ὁ Βορέας αὐτῆς. ἑκατέρου δὲ προσαγομένου τὴν κόρην πρὸς τὸν Πᾶνα μεθίσταται. καὶ ζηλοτυπεῖ μὲν ἐπὶ τούτοις Βορέας, πνεύσας δὲ ἐπ' αὐτῇ βιαιότερος τὴν μὲν κόρην ὠθεῖ, παραλαβοῦσαι δὲ ταύτην αἱ πέτραι τῷ θανάτῳ παρέδοσαν. | Γῆ δὲ ἐλεοῦσα τὸ πάθος ἀνῆκε R IV 1109

9 sq. Eustath. ad Od. *μ* 39 p. 1790, 40 ed. Rom. 13 cf. narr. *δ΄* supra p. 35, 4

1 *δεικνὺς τῇ ποθουμένῃ φυλάττειν* scripsi e *V* lac ante *φυλάττειν* All Re *φυλάττων* West 2 sequitur narratio *α΄ περὶ δηιανείρας* p. 33, 3 edita in *V* 4 *Περὶ Δηιανείρας*] *ἄλλως V* All Re 6 *ἀχελῶος* et 9 *ἀχελῶον V* All Re | *ἔριν* scripsi auctore Iac *ἔργον V* All Re West 9 „*fort. Ἀχελῴου τὸ κέρας*" West 10 *κατεβάλετο* scripsi e *V* *κατεβάλλετο* edd 11 sequitur narratio *δ΄* (p 35) in *V* 13 *Περὶ Πίτυος*] *ἄλλως V* edd est Nicolai narratio 8 (Walz Rhet. gr. I 271; Iac p. 58) paulum mutata Geop. XI 10 15 *ἡ παῖς* ante *πρὸς* inser Iac 16 *Βορέας* scripsi cum West *βορρᾶς V* All Re 17 *βιαιότερος* scripsi e *Pa* cum West *βιαιότερον V* All Re 18 *ταύτην αἱ* om *Pa* West

δένδρον ὁμοίως περὶ τοὺς ἐραστὰς διακείμενον. τὸν μὲν γὰρ Πᾶνα στεφανοῖ τῷ θαλλῷ, θρηνεῖ δὲ τοῦ Βορέου προσπνεύσαντος.

λγ'.

Περὶ Ἀταλάντης.

1. *Πολλοὶ μὲν ἔκειντο μνηστῆρες ὑπὸ Ἀταλάντης ἡττηθέντες ποδωκείᾳ τῆς κόρης, ἔδει γὰρ ἡττώμενον μὲν ἀποθανεῖν, νικῶντα δὲ γαμεῖν, Ἱππομένης δὲ ταύτης ἐπιθυμῶν, δεδιὼς δὲ τὸν κίνδυνον δεῖται τῆς Ἀφροδίτης συμπρᾶξαι. ἡ δὲ ἔδωκε τὰ χρυσᾶ μῆλα καὶ εἶπεν ὃ χρὴ ποιεῖν ἐν τῷ δρόμῳ.* 2. *ὡς οὖν ἔθεον, ὁπότε πλησίον ἡ κόρη γένοιτο, μῆλον ἠφίει, ἡ δὲ ἐθαύμαζέ τε καὶ ὑπολειπομένη τὸ μῆλον ἀνῃρεῖτο, ἐγγιζούσης δὲ πάλιν τὸ αὐτὸ ἐδρᾶτο. καὶ διὰ τοιοῦδε σοφίσματος Ἀταλάντη μὲν εἶχε τὰ μῆλα, Ἱππομένης δὲ Ἀταλάντην.*

λδ'.

Ἄλλως.

Ἀταλάντην τὴν Σχοινέως ἔχειν μὲν ἐπόθουν πολλοί, Ἱππομένης δὲ παρ' ἑτέρους ἀπείληφε. μνωμένων γὰρ τὴν κόρην πολλῶν ἆθλον ἑαυτὴν ἡ παῖς προὐτίθει τοῖς νικῶσιν εἰς δρόμον. καὶ πάντων ἀπολειπομένων τὸ τάχος Ἀφροδίτην Ἱππομένης εὕρατο σύμ-

---

1 *ὅμοιον* All Re | *πρὸς Pa* West 2 *θαλῶ VPa* *θάλῳ* West 8 *μὲν* inserui e *V* cum Iac om All Re West | *νικῶντας* All Re 10 *συμπράξαι V* All Re West 18 est Nicolai 10 (ed. Walz p. 272, 1 sq.; Iac. p. 24) 19 *Οἰνέως Pa* Walz 20 *ἀπείληφε. μνωμένων γὰρ τὴν κόρην* om *V* All Re 21 *πολλούς V* All Re | *δὲ* post *ἆθλον V* All Re | *προὐτίθει* scripsi *περιετίθει V* All Re *παρετίθει Pa* West Iac 22 *δρόμον. καὶ* om All Re | *πάντων*] *παντὸς V* om All Re | *ἀπολειπομένου V* 23 *Ἱππομένους* All Re | *σύμπονον V* All Re

μαχον καὶ μῆλα χρυσᾶ παρ' ἐκείνης λαβὼν ᾔφίει παρὰ τὸ στάδιον. καὶ ἡ μὲν τὰ μῆλα συνέλεγεν, ὁ δὲ παρήει συλλέγουσαν καὶ τέχνῃ μᾶλλον ἢ ῥώμῃ τὸν Ἀταλάντης γάμον ἐκτήσατο.

λε'.

Περὶ Κηφέως καὶ Περσέως.

Κηφεὺς εἶχεν Αἰθιόπων τε ἀρχὴν καὶ γυναῖκα καλήν. αὕτη καὶ τὰς Νηρηίδας κάλλει νικᾶν ἐνομίζετο καὶ ἔλεγεν. αἱ δὲ δέονται τοῦ σφῶν ἄρχοντος λαβεῖν ὑπὲρ αὐτῶν δίκην. ὡς δὲ ἔπεισαν, ὁ μὲν ἐπὶ τὴν τοῦ Κηφέως γῆν κῆτος ἔπεμψε, Κηφεὺς δὲ χρησμῷ πειθόμενος πέτρας ἐπικειμένης θαλάττῃ τὴν θυγατέρα ἐκδήσας παρεῖχεν ἀπολλύναι τῷ κήτει. ταύτην σώζει τε καὶ | λύει Περσεὺς τεμὼν ἐν Λιβύῃ καὶ φέρων R IV 1110 *τὴν Μεδούσης κεφαλὴν λίθον τε ποιήσας τὸ κῆτος.*

λς'.

Ἄλλως.

Κηφεὺς Αἰθιόπων κρατῶν Κασσιέπειαν ἐκέκτητο σύνοικον, ἣ τοσοῦτον ἐπῄει διὰ κάλλος φρονεῖν ὡς αὐτὰς οἴεσθαι Νηρηίδας ὑπερβάλλειν. ἀγανακτήσας δὲ ἐπὶ τούτοις ὁ Ποσειδῶν κῆτος ἀνῆκε τὴν τῶν Αἰθιόπων γῆν λυμαινόμενον. ἀπορῶν δὲ Κηφεὺς λύσιν τοῦ

---

6 [Apollod.] bibl. II 4, 3. Tzetz. Lyc. 836. Philostr. im. I 29

---

1 *παρ' ἐκείνης λαβὼν* om *V* All Re | *ἔφερε V* *ῥίπτει* All Re | *ἐπὶ* All Re 8 *Νηρῇδας* Iac 10 *αὐτῶν* All Re West 11 *ἔπεμψεν V* sed *εν* in *ε* corr, edd | post *ἔπεμψε* de oraculo aliquid excidisse iniuria putat Iac 12 *θαλ*^{α} *V* *θαλάσσῃ* edd 17 est Nicolai narratio 6 (Walz Rhet. gr. I 270, 18; Iac p. 46) 18 *αἰθιόπας V* *Αἰθιοπίας* All Re 20 *Νηρῇδας* Iac 21 *τῶν* om *V* edd

δυστυχήματος ἤκουσεν, εἰ τὴν Ἀνδρομέδαν παραθείη τῷ κήτει. καὶ παρατυχὼν ὁ Περσεὺς ἀπολιθοῖ μὲν τῇ Γοργόνι τὸ κῆτος, σωτηρίας δὲ γέρας τῆς σωθείσης ἐκομίσατο τὸν γάμον.

λζ'.

Περὶ Ῥήνου.

Ῥῆνος ὁ βαρβαρικὸς ποταμὸς σωφροσύνης ὑπάρχων κριτὴς παραρρεῖ τοὺς Κελτούς. ἐπειδὰν γάρ τις αὐτοῖς ἄρτι γένηται παῖς, λαβόντες τῷ ῥείθρῳ παρατιθέασιν. ὁ δὲ παραλαβὼν ἀποδίδωσι μὲν τοῖς γονεῦσι τὰ γνήσια, κτείνει δὲ τὰ νόθα παρ' αὐτῷ κατασχών. καὶ διαγινώσκεται τὸ σῶφρον βίῳ τε καὶ θανάτῳ.

λη'.

Περὶ τῶν Ἀλωαδῶν καὶ περὶ Ἐλάτης.

Ὦτος καὶ Ἐφιάλτης Ἀλωέως μὲν γεγόνασι παῖδες, ἀδελφὰ δὲ εἶχον μετὰ τῶν σωμάτων τὰ βουλεύματα.

---

6 cf. t. II 26, 10 sq. Arist. pol. VII 17 p. 1336 a 16. Eliae in Arist. cat. prooem. p. 125, 30; 126, 29 ed. Busse. Nonn. Dion. XLVI 54 sq. Anth. Pal. IX 125 cum lemmate. Iul. ep. 16. or. II p. 81 D. Theophyl. Sim. ep. 10. Georg. Pis. exped. Heracl. I 41. Tzetz. ad Hes. op. prooem. p. 12, 5 ed. Gaisf. Anecd. Ox. ed. Cramer IV 247, 14; III 228. Apost. prov. XIII1[b] cum nota Leutschii (cf. C. Maurer, Über die Wasserweihe des germ. Altert. Abh. der Bayer. Akad. XV 3. Muellenhoff, Anzeig. für deutsch. Altert. VII 408. Dümmler, Forsch. z. deutsch. Gesch. XXIII 682 sq.. Marcuse, Deutsch. Vierteljahrsschr. f. öff. Gesundheitspflege vol. XXXI 15) 14 Sever. narr. 6 (ed. Walz Rhet. gr. I 539; Iac. p. 18) quae ex hac pendet. Eustath. ad Od. *ε* 239 p. 1532, 42; *λ* 308 p. 1687, 18. Anon. prog. ed. Walz l. l. p. 609, 21 sq.

---

1 *ἤκουσεν* scripsi e *V* *ἤκουεν Pa* edd | *παραθήσει Pa* Walz *προθείη* Iac 3 *τὸν τῆς σωθείσης ἐκομίσατο γάμον* Iac 11 *αὐτῷ V* All Re 14 *Ἀλωάδων* All Re West | *καὶ περὶ Ἐλάτης* om West 16 *σωμάτων τὰ βουλεύματα* scripsi *βουλευμάτων τὰ σώματα V* edd *μετὰ* delendum censuit Hercher

παραπλησίως γὰρ τῷ μεγέθει φρονοῦντες τοῦ σώματος βατὸν ἑαυτοῖς τὸν οὐρανὸν κατεσκεύαζον. καὶ θέντες ὄρος ἐπ' ὄρει προιέναι μὲν ἐπειρῶντο παρὰ τοὺς κρείττονας, ἀνακόπτει δὲ αὐτοὺς τῶν ἐγχειρημάτων ὁ Ζεὺς σκηπτῷ κατείργων τὸ πρὸς αὐτῶν μελετώμενον. Ἐλάτη δὲ ἡ τούτων ἀδελφὴ παραπλησία μὲν ὑπῆρχε τὸ μέγεθος, δακρύουσα δὲ τὸ συμβὰν δένδρου φύσιν ἠλλάξατο. καὶ μεταβαλοῦσα τὴν φύσιν μένει τὸ μέγεθος ὡς ἐτύγχανε πρότερον. ὅθεν τὸ ἔπος τὴν ἐλάτην οὐρανομήκη προσεῖπεν.

λθ'.

Περὶ Ἐνιπέως. R IV 1111

Καὶ παρὰ τοῖς ποταμοῖς τὸ σῶφρον εὐδοκιμεῖ. δῆλος δ' Ἐνιπεὺς Τυρὼ μὲν ἐρῶσαν ἀποστρεφόμενος, ἐξ ἀπάτης δὲ τῇ παιδὶ Ποσειδῶν συναπτόμενος. ἤρα μὲν γὰρ Ἐνιπέως Τυρώ, ἀντήρα δὲ καὶ Ποσειδῶν τῆς Τυροῦς. καὶ πρὸς Ἐνιπέα τῆς κόρης κλινούσης τὴν Ἐνιπέως Ποσειδῶν ὑπεκρίνετο φύσιν καὶ πείσας τὴν κόρην συνελθεῖν ἐκ τοῦ σχήματος Νηλέα καὶ Πελίαν ἐκ τῆς κόρης παῖδας προήγαγεν, ὡς τὸ ἔπος ἐδήλωσεν.

μ'.

Περὶ τοῦ τῆς Ἀμαλθείας κέρως.

Ἰστέον ὅτι περὶ τοῦ τῆς Ἀμαλθείας κέρως οὕτω φασί. τὴν αἶγα τὴν Ἀμάλθειαν τὴν γῆν τῷ κέρᾳ ἀν-

---

2 Od. λ 316 9 Od. ε 239 12 cf. t. II 76,17. Od. λ 235 sq. [Apollod.] bibl. I 9,8 20 Od. λ 254 22 cf. t. I 520,9 cum schol.

---

1 γὰρ scripsi coll Sever. l. l. cum Iac ut coni E. Maass δὲ *V* All Re West 6 παραπλησίως Iac 7 δένδρῳ All Re 10 προσέειπεν *V* All 14 δὲ edd 16 Ἐνιπεὺς All Re Iac | Τυροῦς Iac 19 Νειλέα All Re 22 σημείωσαι (non διήγημα ut ait Hercher Herm. II 150) ante περὶ *V*

ορύττουσαν θησαυρὸν κεκρυμμένον ἀποκαλύψαι, τὸν δὲ αἰπόλον πλούσιον ἀντὶ πένητος γεγενῆσθαι. καὶ οὕτως Ἀμαλθείας κέρας παρὰ παροιμιαζομένοις ἀνθρώποις ὀνομάζεται.

μα΄.

Περὶ Δανάης.

Τὴν Δανάην ὁ πατὴρ Ἀκρίσιος ἐφύλαττεν ὡς παῖδα ἐν χαλκῷ θαλάμῳ τὴν παρθένον τηρῶν. Ζεὺς δὲ ἐρασθεὶς καὶ χρυσοῦς διὰ στέγους ῥυεὶς συνεγένετο. ἡ δὲ τίκτει τὸν Περσέα, ὃν Ἀκρίσιος ἅμα τῇ μητρὶ κατακλείσας εἰς λάρνακα παρέδωκε τῇ θαλάσσῃ. Περσεὺς δὲ καὶ ἐκ τούτου σώζεται καὶ δίσκον ἀφεὶς ἐν ἀγῶνι τὸν πάππον ἄκων ἀπέκτεινε καὶ τὸ μάντευμα εἰς τέλος ἦγεν.

---

6 [Apollod.] bibl. II 4, 1. Niceph. narr. 10 (Walz. Rhet. gr. I 437, 27; ethop. 5 (ib. p. 476, 1)

---

3 *παρὰ παροιμιαζομένοις ἀνθρώποις* scripsi e *V* sed *οιμ* et *μεν* in *παροιμιαζομένοις* et *οις* in *ἀνθρώποις* parum certa *κέρας πρ...... πρὸς ἀνθρώπων* La Porte du Theil Not. VIII 2, 244 *.....όμενον πρὸς ἀνθρώπων* Hercher *παροιμιαζόμενον* coniciens 4 *ὀνομάζεσθαι* La Porte du Theil 6 *τῆς* ante *Δανάης* All Re 9 *χρυσοῦς* scripsi coll. Anth. Pal. V 31, 6; 217, 1 *χρυσὸς V* edd 13 *ἀπέκτεινεν V* 14 *ἦσε V* qui subicit quae ad *παροιμιαζομένοις* l. 3 pertinent: *πόθεν παροιμία; ἰστέον ὅτι παροιμία ὠνομάσθη ἀπὸ τῶν οἴμων. οὕτω δὲ αἱ ὁδοὶ ἐκαλοῦντο. οἱ γὰρ ἄνθρωποι ὅσα κοινωφελῆ εὕρισκον, ταῦτα κατὰ τὰς λεωφόρους ἀνέγραφον ὁδοὺς ὑπὲρ τοῦ πλείονας ἐντυγχάνοντας μεταλαμβάνειν τῆς ἐξ αὐτῶν ὠφελείας. οὕτω καὶ τὰ τῶν* ⟨*ζ΄?*⟩ *σοφῶν ἀποφθέγματα γνωσθῆναί φασι καὶ τὰ πυθαγορικὰ παραγγέλματα. ἔνιοι δὲ ἀπὸ τοῦ ὁμοίως* (non *ὅμοιόν* vel *ἀλλοίως*, ut La Porte du Theil et Hercher Herm. II 150 dicunt) *τι ἐφ' οἷς λέγονται δηλοῦν παρομοίας τινὰς οὔσας. τέλος* (= praef. Diogen. I 177 ed. Schneidew. Laur. LIX 30 fol. 148[v] *Διογενιανοῦ περὶ παροιμιῶν*)

III.

Χρεῖαι.

Tres chrias continent hi quidem 13 codices:

1. Barberinus II 61 nunc Vaticanus Barb. 240 (= Ba) saec. XIII/XIV valde lacer fol. 19ᵛ. Vide supra p. 1 sq. Correctus est manu secunda Contuli.

Ex hoc nondum mutilato descriptus est

2. Parisinus gr. 2918 (= Pa) saec. XV fol. 153. Vide supra p. 5 sq. Collatus est a Morello, Bastio, Boissonadio, denuo a me ipso.

3. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 4. Uno folio, quo etiam initium chriae *Ἀλεξάνδρου* continebatur privus verbis p. 63, 12 *ὑμνεῖν, οὐ τύχῃ μόνον* incipit. Raro correctus est manu secunda. Vide t. I p. 25 sq. Contuli.

Ex hoc initii nondum experti descriptus est

4. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) (= E) saec. XVI fol. 9. Vide t. I p. 326 sq. Examinavi.

Communem cum *B* fontem habuit codex e quo fluxit

5. Escurialensis Φ-III-19 (235 in catalogo Milleriano) (= Es) saec. XVI fol. 3ᵛ. Vide t. IV p. 325 sq. Examinavi.

Ex eodem quo *Es* fluxit codice exemplar commune duorum codicum qui sunt:

6. Vaticanus Palatinus gr. 148 (= Pal) saec. XV fol. 1. Vide t. II p. 190. Inspexi.

et

7. Vaticanus Palatinus gr. 277 (= Vat) saec. XVI fol. 228. Vide t. II p. 192. Inspexi.

8. Parisinus gr. 3014 (= P) saec. XIV fol. 2ᵛ. Vide t. II p. 375 sq. Correctus est manu secunda. Adhibitus est a Morello. Meum in usum contulit Carolus Graux.

Ex eodem atque hic exemplari descriptus est codex

9. Laurentianus LVIII 2 (= L) saec. XV fol. 100ᵛ. Vide supra p. 7 sq. Contuli.

E communi cum his duobus codicibus exemplari fluxerunt

10. Vindobonensis Phil. graec. CCLIX (= Vi) saec. XV fol. 157. Contuli.

et

11. Parisinus gr. 2961 saec. XV fol. 3. Vide t. II p. 188 sq. Examinavi.

Prope a *B* stat

12. Oxoniensis collegii Lincolniensis 25 (= Li) saec. XV fol. 2. Detrimentum nonnullorum foliorum fecit. Vide t. I p. 378 sq. et supra p. 9. Examinavi. Meum in usum gratiose contulit A. B. Poynton.

E *Vi* per editionem Barbati fluxit

13. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide supra p. 8 sq.

Primam tantum *Ἀλεξάνδρου* chriam[1]) continent codices

14. Vaticanus gr. 16 (= Va) saec. XIV/XV fol. 199ᵛ sed iam in proximo folio 200ʳ desinit verbis p. 67, 11 *οἰκείως ἔχων*. Vide supra p. 10 sq. Contuli.

et qui e Vindobonensi descriptus est

15. Monacensis gr. 480 (= Mo) saec. XVI fol. 25ᵛ sed iam verbis p. 66, 15 *καὶ τοὺς ἀδικοῦντας* desinit. Vide t. V p. 163 et supra p. 11. Contuli.

Ex his quos in censum vocandos esse duxi codices sex *BaPaBPLVi* rursus in duas discedunt familias quarum prior codicibus *BaPaB*, altera *PLVi* continetur.

---

1) Hanc etiam imitatione expressisse videtur auctor chriae inscriptae *Ἀλέξανδρος ὁ Μακεδὼν ἐρωτηθεὶς ποῦ οἱ θησαυροὶ τῶν χρημάτων οἷς τὰ ἐν χερσὶ κατορθοῖ τοὺς φίλους* (*τοῖς φίλοις* cod.) *ἔδειξεν* et incipientis *Δεῖ τὸν Ἀλέξανδρον τὸν βασιλέα τῶν Μακεδόνων μὲν κατὰ τὰ ἄλλα μὲν ἀγαθόν τε καὶ ἐπαινεῖν* quae continebatur codice anno 1744 Hagae Comitum venumdato et a Reiskio in epistula Leida d. 6. April anni 1745 ad Iacobum Philippum d'Orville data et a me (I. I. R. Briefe p. 134 sq.) edita descripto.

Necessitudinis autem vinculum quod inter singulos codices intercedit tibi reddit stemma supra p. 15 prolatum.

Prior familia alteram fide aliquantum superat et in priore codex *Ba* lectiones archetypi *b* melius servavit quam *B* qui ab autoschediasmatis minime liber est. Quo magis dolendum est quod *Ba* multis locis detrimenta cepit, eo maior auctoritas codicis *Pa* ex illo prius quam mutilatus est descripti.

Praeterea lectiones *Li* codicis cum *B* cognati, quatenus (p. 63, 1—65, 4) servatae sunt, reddidi.

Lucem primum viderunt anno 1520 editione Romana Angeli Barbati[1]) (= Barb) fol. 3—17^v e codice *Vi* profecta atque raro emendata. Hanc nonnullis locis correctam repetivit Ioach. Camerarius editione Basileensi anno 1541 (= Cam) p. 112—141. Etiam pluribus locis ab hac discessit Fed. Morellus (= Mor) in textu editionis t. I p. 4—22 constituendo codice usus Parisino gr. 3014, in 'Notatis ad Libanium' editioni praemissis etiam altero Parisino gr. 2918 quem *alterum C. R.* vel *al. C. R.* appellavit. Textum Morellianum repetivit Reiskia t. IV p. 856—875 (= Re) praeclaris mariti emendationibus in notas ablegatis.

Nonnulla ad textum corrigendum contulerunt Fr. Iacobsius cum alibi tum 'Lectionum' libro[2]), Bastius et Boissonadius qui ambo duobus illis Parisinis codicibus usi sunt, Sintenis[3]), Cobetus, Maur. Schmidtius. Sed vel sic larga messis emendationibus relicta potissimumque lectionibus prioris familiae ius suum reddendum erat.

Chriam quartam inscriptam *Θεόφραστος ἐρωτηθεὶς τί ἐστιν ἔρως ἔφησε πάθος ψυχῆς σχολαζούσης*, quae talem argumenti inopiam artisque exilitatem exhibet ut eam

---

1) Vide supra p. 15 sq.
2) Vide t. I p. 77 et t. V p. 198.
3) Vide t. I p. 78.

Libanii ingenio tribuere vix queam[1]), hi praebent quinque codices:

1. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 8^{v}. Vide t. I p. 25 sq. Contuli.

Ex hoc descriptus est

2. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) (= E) saec. XVI fol. 32. Vide t. I p. 326 sq. Contuli.

Ad exemplar cum *B* commune ratione quam supra p. 59 indicavi redeunt tres codices:

3. Escurialensis Φ-III-19 (235 in catalogo Milleriano) (= Es) saec. XVI fol. 74^{v}. Vide t. IV p. 325 sq. Collationem debeo benevolentiae Guilelmi Antolin praefecti bibliothecae.

4. Vaticanus Palatinus gr. 148 (= Pal) saec. XV fol. 69^{v}. Vide t. II p. 190.

5. Vaticanus Palatinus gr. 277 (= Vat) saec. XVI fol. 236^{v}. Vide t. II p. 192. Lectiones huius aeque atque alterius codicis Palatini gr. 148 ex eodem exemplari descripti Allatius margini codicis Barberini adscripsit, unde eas sumpsi.

Rationem quae inter hos codices intercedit hoc tibi reddet stemma:



Lucem primum vidit e *B* descripta per Leonem Allatium in Excerptis Variis Graecorum Sophistarum (= All) p. 342—352, cuius textus cum omnibus fere vitiis repetitus est et ab Ioanne Patusa, *'Εγκυκλοπαιδείας φιλολογικῆς* tomo primo (Venet. 1758) p. 417—420 (= Pat) et a Reiskia t. IV p. 1122—1124 (= Re).

---

1) Eadem fuit sententia Hermanni de Rohden, De mundi miraculis p. 42.

Χρεῖαι.

α'.

Ἀλέξανδρος ἐρωτηθεὶς παρά τινος ποῦ ἂν ἔχοι τοὺς θησαυροὺς τοὺς φίλους ὑπέδειξεν. R IV 856

1. Ὅτι μέγας μὲν καὶ θαυμαστὸς ὁ βασιλεὺς Μακεδόνων Ἀλέξανδρος καὶ τὴν ἤπειρον ἑκατέραν τῶν αὑτοῦ κατορθωμάτων ἐνέπλησε καὶ τοσοῦτον τοὺς ἔμπροσθεν καὶ τοὺς ὕστερον παρήνεγκεν ὡς πρώτην χώραν μὴ δοῦναι, πάντας ἂν ἡγοῦμαι συμφῆσαι, πλὴν εἴ τις ἢ παντάπασιν ἀναισθήτως ἢ λίαν ἀγνωμόνως ἔχοι· ἐμοὶ δὲ δοκεῖ καλὰ πρᾶξαι καὶ παραδοῦναι τοῖς ἐσομένοις ὑμνεῖν οὐ τύχῃ μόνον, ἀλλὰ καὶ συνέσει χρη-

---

3 cf. t. I 388, 4. Theon. prog. 5 ed. Walz. Rhet. t. I 208, 16 (= t. II 100, 4 Spengel.), e quo hausit Maximus loc. comm. serm. VI p. 550 Migne patrol. graec. 91, 763, Amm. Marc. XXV 4, 15. Eustath. ep. 31 ed. Tafel. opusc. p. 339, 69 6 cf. t. I 451, 5

---

1 *Χρεῖαι. α'*] *χρεία α' BaPa* edd *χρεία πραγματική Li* om *PLVi* 3 *Ἀλέξανδρος* — 4 *ὑπέδειξεν* praemisso *ἑτέρα πρακτική* laudavit Io. Doxap. ad Apth. prog. t. II 283, 22 ed. Walz | *παρά τινος* om Doxap | *ποῦ ἂν*] *π P* om *L* 4 *παρόντας* post *φίλους* Doxap | *ὑπέδειξε Pa* 6 *αὑτοῦ BaPaLiPL* Cam Mor Re 7 *τοὺς* — 8 *ὡς*] *ὡς τοῖς ἔμπροσθεν καὶ τοῖς ὕστερον BaPa* 8 *πρώτην* scripsi *πρώτω PLVi* edd *πρωτεῖον Li* om *BaPa* 9 *ἂν* inserui e *BaPaLi* om *PLVi* edd 10 *τις Vi* sed *ις* in ras *τε L* | *μὴ Pa* | *ἔχει PaLi* 11 *καλὰ* Cam sed *κἄλλα καλὰ* in marg coni, Mor sed *γρ κἄλλα καλά* in marg *ταῦτα* coni Re *τὰ καλὰ* Iacobs Lect 161 | *καταπρᾶξαι* coni Re 12 voce *ὑμνεῖν* inc *B*

σάμενος πρὸς ἅπαντα καὶ τῇ παρ' ἐκείνης ῥοπῇ καὶ τὰ παρὰ τῆς φρονήσεως ἀγαθὰ συνεισενεγκών. 2. *οὐ γὰρ ταὐτὸν ἔπαθε τοῖς ἄλλοις βασιλεῦσιν οἷς ἄχρηστος μὲν ἡ παιδεία κέκριται, τῆς δὲ εὐδαιμονίας ὅρος ἡ τρυφή, ἀλλ' ἡγησάμενος οὐδὲν τῶν ἀνδραπόδων διαφέρειν τοὺς ἀμοιροῦντας τούτου τοῦ κτήματος καὶ βουληθεὶς ἐν τῷ καλλίστῳ τῶν ὄντων ἀμείνων εἶναι τῶν ἀρχομένων Ἀριστοτέλει φέρων ἑαυτὸν συνῆψε καὶ κατέστησε τοῦ σοφωτάτου μαθητήν. καὶ τῶν μετὰ ταῦτα λαμπρῶν καὶ βεβοημένων ἡ πρὸς ἐκεῖνον συνουσία τὴν ὑπόθεσιν δέδωκε.* 3. *περὶ μὲν οὖν τῆς ἀνδρείας ἢ τῆς δεινότητος ἢ τοῦ πρὸς ἔργοις ἔχειν ἀεὶ τὸν λογισμὸν ἤ τι τῶν τοιούτων εἰ διεξίοιμι, μακροτέρων ἂν δέοι λόγων· ὡς δὲ κοινὸν ἑαυτὸν κατέστησε καὶ πρὸς τοὺς συνόντας ὁμιλητικὸν ὥστε καὶ ἐρέσθαι τοῖς βουλομένοις ἐξεῖναι καὶ τυχεῖν ἀποκρίσεως εὐμενοῦς, τοῦτο τίς οὐκ ἂν ἀγασθείη; τοῖς μὲν γὰρ ἄλλοις εἴ τις ἀντιβλέψειεν, ἀδίκημα νενόμισται· Ἀλέξανδρος δὲ εἰ μὴ πρὸς τὰς ἐντεύξεις ἡμερώτατος φαίνοιτο, πάντων αἴσχιστον ἡγεῖτο* 4. *καὶ γάρ τοι προσελθών τις ἥδιστ'*

---

1 *πρὸς ἅπαντας χρησάμενος BaPa* | *ἅπαντας Li* | *καὶ* om *B* | *καὶ* inserui e *BLi* om *BaPaPLVi* edd 5 *διαφέρειν τοὺς ἀμοιροῦντας τούτου τοῦ κτήματος τῶν ἀνδραπόδων Vi* Barb Cam 6 *μὴ* post *καὶ Li* 7 *ἐν τῷ καλλίστῳ τῶν ὄντων ἀμείνων εἶναι τῶν ἀρχομένων* scripsi e *BaPaBLiPL* *ἀμείνων εἶναι τῶν ἀρχομένων ἐν τῷ καλλίστῳ τῶν ὄντων Vi* edd 10 *βεβιωμένων BaPaLi* 11 *ἔδωκε B* | *ἀνδρίας BVi* edd 12 *ἀεὶ* scripsi cum Sinteni *δεῖν* libri edd *δεινὸν* Mor. Schmidt Philol. X 613 cf. p. 85, 16 13 *ἢ τί B* | *μικροτέρων Ba* sed *ι* in *α* corr, *Pa* 14 *ὡς*] *εἰ B* 15 *ἅπαντας* ante *τοὺς B* | *ἔρεσθαι BPVi* edd *αἵρεσθαι Pa* 18 *ἄν τις BaPa* | *ἀντιβλέψειε Pa* 19 *ἐντεύξεις Vi* sed *ς* add m² | *φαίνηται* (οιτο supra) *P* 20 *ἡγεῖτο* Mor sed γρ *ἡγεῖται* in marg *ἡγεῖτο* (αι supra) *PL* | *προσελθὼν τίς Pa* | *ἥδιστ'* scripsi e *BaPaLi* *ἥδιστα BPLVi* edd

ἄν, ἔφη, τοὺς θησαυροὺς ἴδοιμι τοὺς σούς, ὦ βασιλεῦ. καί μοι δοκεῖ τοῦτο ἐπαρθῆναι ποιῆσαι δρῶν μὲν ἅπαν ἔθνος ἤδη κατεστραμμένον, ἡγούμενος | R IV 857 *δὲ πλήθει χρημάτων ταῦτα εἰς τέλος ἥκειν. πῶς οὖν Ἀλέξανδρος; οὐχ ὑβρίζειν ὑπέλαβεν, εἴ τις ἐρωτήσειε προχείρως. ἔπειτα οὐκ ἐκέλευσε τοῖς διακόνοις λαβοῦσι τὸν ἄνθρωπον περιάγειν καὶ δεικνύναι χρυσίου πλῆθος, ἀργυρίου τάλαντα τόσα καὶ τόσα, λαφύρων ἀφθονίαν, ἀλλ' εἰς τοὺς φίλους προστάξας ἰδεῖν μὴ ζητήσῃς ἕτερον, φησίν, Ἀλεξάνδρου πλοῦτον. οὗτοι γὰρ ἐμοὶ θησαυροί.*

5. *Ὡς τοίνυν εἰκότως ταύτην ἡγήσατο πρέπειν τοῖς φίλοις τὴν προσηγορίαν, ῥᾴδιον γνῶναι, εἴπερ ἐξετάσομεν τούς τε καιροὺς οἷς ἀνάγκη χρῆσθαι τοὺς ἀνθρώπους καὶ τύχας ἀμείνους καὶ παραπλησίους καὶ χείρονας, ἔτι δὲ πρὸς τούτοις ἡλικίας καὶ ὅτε τις βουλεύεται.*

6. *Οὐκοῦν δύο μὲν καιροὶ τὰ ἀνθρώπινα διαιτῶσι*

16 cf. p. 68, 10 sq. et 69, 2 sq.

2 *τοῦτον* et *δρῶντα* *Li* 3 *ἤδη* om *BLi* | *κατεστραμμένον ἤδη* *BaPa* | *ἡγούμενον* *BLi* 4 voce *πλήθει* des *Li* 5 signum interrogationis inserui ut coni Cam Sintenis om libri edd | *ἐπέλαβεν* *Ba* sed *ἐ* del, *Pa* *ὑπελάμβανεν* *B* 6 signum interrogationis post *προχείρως* edd delendum coni Cam | *οὐκ* inserui e *BaPaB* om *PLVi* edd 7 *δεικνῦναι* libri edd *δεικνύειν* coni Sintenis | *οὐ* ante *χρυσίου* Cam Mor Re delevi 8 *καὶ* ante *ἀργυρίου* *BaPa* | „*fort. οὐκ ἀργυρίου*“ Re | *οὐ* ante *λαφύρων* Re delevi 9 *κελεύσας* *B* | *ζητήσεις* *Pa* 10 *Ἀλεξάνδρου πλοῦτον* scripsi e *BaPaB* *ἀλεξάνδρου* *P* et *γρ* in marg Mor *ἀλέξανδρον* *LVi* *Ἀλέξανδρος* edd 12 *ἄξιον* post *εἰκότως* *B* | *ἡγήσατο πρέπειν ταύτην* *B* | *τοῖς φίλοις τὴν προσηγορίαν* scripsi e *BaPaB* cum Bastio Greg. Cor. p. 836 ed. Schaef. *τὴν προσηγορίαν τῆς φιλίας* *PLVi* edd sed „*aut τοῖς φίλοις leg. aut τῇ φιλίᾳ*“ Re *τοῖς τῆς φιλίας* Iacobs Lect 13 *ἐξετάσαιμεν* *BaPa* sed in hoc *αι* ex *ο* corr 14 *τε* om *B* 15 *καὶ τύχας ἀμείνους* om *B* | „*fort. παραπλησίως*“ Re 16 *ἔτι — βουλεύεται*] „*fort. καὶ πρὸς ἡλικίας ἔστιν ὅτε τις βουλεύεται*“ Re | *βούλεται* *Pa* sed e *βουλεύεται* corr, *B* 17 *τὰ ἀνθρώπινα*

πράγματα, λέγω δὴ πόλεμον καὶ εἰρήνην. ⟨ἐν⟩ ἑκατέρῳ δὲ μέγιστον ἡ τῶν φίλων ἰσχύει μερίς. οἷον τοῖς πολεμοῦσι δεῖ μὲν χρημάτων, δεῖ δὲ ὅπλων, δεῖ δὲ συμβούλων, δεῖ δὲ συμμάχων. οὐκοῦν λύει μὲν τὴν ἀπορίαν τῶν χρημάτων εἰς μέσον τιθεὶς τὰ ὄντα ὁ φίλος οὐχ αὑτοῦ μᾶλλον ἡγούμενος εἶναι τὴν οὐσίαν ἢ τοῦ συνήθους, συμβουλὰς δὲ τὰς ἀρίστας ἀναζητῶν καὶ λέγων ἐκείναις ὀρθοῖ τὰ πράγματα. ἤδη δέ τινες ὅπλων ἀποροῦντες εἰς τοὺς φίλους ἰδόντες εὐπόρησαν. καὶ μὴν τό γε τῶν συμμάχων ἀγαθὸν τῆς φιλίας ἡγησαμένης ἂν γένοιτο. 7. τὸ δ' αὐτὸ καὶ πόλεσι καὶ τοῖς καθέκαστα χρήσιμον. καλῶ μὲν γὰρ ἐγὼ πόλεων φίλους τοὺς εὔνους τοῖς καθεστηκόσιν, οὗτοι δὲ ⟨οἱ⟩ νόμους τιθέντες καὶ ψηφίσματα γράφοντες καὶ γνώμας ἀγορεύοντες καὶ τοὺς ἀδικοῦντας ἐλέγχοντες καὶ τοὺς χρηστοὺς
R IV 858 ἀμείβεσθαι πείθοντες. ἀλλὰ | μὴν καὶ τοῖς καθέ-

---

3 Dem. Ol. I § 20 p. 15, 2 12 cf. t. VII 450, 20

διαιτῶσι πράγματα scripsi e *BaPaPL* *τὰ τῶν ἀνθρώπων διαιτῶσι πράγματα B* *πάντα διαιτῶσι τὰ ἀνθρώπινα* (*τῶν ἀνθρώπων* edd) *πράγματα Vi* edd

1 *ἐν* inserui auctore Re om libri edd 3 (2) et 4 *δεῖ δὲ* om *BaPa* et delendum censet Boisson. Anecd. nov. 180 not. 3 5 *θεὶς B* | *ὄντα ὁ φίλος*] *τῶν φίλων BaPa* 6 *οὐκ αὐτοῦ* libri edd 7 *συμβουλὰς δὲ τὰς ἀρίστας* scripsi e *BaPaB* *συμβουλίας τὰς ἀρίστους PLVi* edd sed *συμβουλίας δὲ τὰς ἀρίστας* coni Re, *συμβουλίας τὰς ἀρίστας* Iacobs Lect | *συλλέγων* coni Iacobs 8 *ἐκείναις* reposui e libris cum Iacobsio *ἐκείνας* edd sed *γρ ἐκείναις* in marg Mor *ἐκείνῳ* vel *ἐκείνου* coni Re 8 *ἐπανορθοῖ* coni Re 9 *ηὐπόρησαν PaBVi* edd 10 *τῆς*] *καὶ Vi* Barb Cam 11 *δὲ PaB* 12 *καθέκαστον Pa* | *ἔγωγε Vi* edd 13 *εὔνους* om *BaPa* | *τοῖς* om *BaPa* | *καθεστηκόσιν*] *ἐν αὐταῖς βοηθοῦντας BaPa* *ἐφεστηκόσιν B* | *οἱ* inserui coll p. 67, 2 om libri edd | *τιθέασι BaPa* 14 *γράφουσι Ba* *τρέφουσι Pa* | *ἀγορεύουσι BaPa* 15 *ἀδίκους* Re | *ἐλέγχουσι BaPa* 16 *πείθοντας L* *πείθουσιν BaPa* | *τῶ BaPa*

καστον μέγα παρὰ τῶν ἐπιτηδείων τὸ κέρδος. ἐκεῖνοι γάρ εἰσιν οἱ νουθετοῦντες ἁμαρτάνοντας ἢ σφαλλομένους ἐπὶ τὰ βελτίω μεθιστῶντες, οἱ δεομένοις ἐπικουροῦντες, οἱ ταῖς εὐπραξίαις χαίροντες, οἱ τοῖς ἀτυχοῦσι συναλγοῦντες. ἐκεῖνοι καὶ πολέμους πειρῶνται καταλύειν ὡς ἄριστα καὶ τὴν εἰρήνην ὡς ἐπιπλεῖστα φυλάττειν καὶ τὸ πρόσφορον ἑκατέρῳ τηροῦντες ⟨*καὶ*⟩ *ἀεὶ τὰ συνοίσοντα πράττοντες.* 8. *ἀλλὰ μὴν πόλεων τὰς μὲν βασιλεύεσθαι, τὰς δὲ* [*καὶ*] *δημοκρατεῖσθαι συμβέβηκεν, ἐν δὲ ταῖς ὀλιγαρχίας καθεστάναι. ὁ δὲ τοῖς ὑπάρχουσιν οἰκείως ἔχων σώζει μὲν βασιλεῖ τὴν βασιλείαν, τηρεῖ δὲ δήμοις τὴν ἐλευθερίαν, φυλάττει δὲ ταῖς ὀλιγαρχίαις τὸ σχῆμα.* 9. *ἀλλὰ μὴν τῶν ἀνθρώπων οἱ μὲν πενίᾳ συζῶσι, τοῖς δὲ πολὺς παρὰ τῆς τύχης ὁ πλοῦτος. ἑκάτερον δὲ δεῖται πρὸς ὑπερβολὴν τῆς τῶν φίλων ῥοπῆς. τοῖς μὲν γὰρ διασώζει τὰ ὄντα, τοῖς δὲ ἐπικουφίζει τὴν πενίαν.* 10. *καὶ μὴν ἅ γε δι' ἡμῶν αὐτῶν πράττειν ἀδύνατον, ταῦτα τῇ τῶν φίλων προσθήκῃ πληροῦμεν. τίς γὰρ οὐκ οἶδεν ὅτι δεῖ μὲν γυ-*

---

1 *παρὰ τῶν ἐπιτηδείων*] *παρ' αὐτῶν τυγχάνει BaPa* | *οὗτοι BaPa* 2 *ἢ* reposui e libris *οἱ* edd | *σφαλλομένοις* Cam sed *σφαλλομένους* corrigendum vidit praef., Mor Re 3 *οἱ δεομένοις ἐπικουροῦντες* om *B* 5 *ἐκεῖνοι* om *BaPa* | *καταλύειν πειρῶνται Vi* edd 6 *ὡς*(2) om *B* | *ἐπιπλεῖστον B* | *ἐκτείνειν B* 7 *ἑκατέρου P* | *τηροῦντες* reposui e libris *συντηροῦντες* edd | *καὶ* inserui om libri edd 8 *συνόντα Vi* Barb Cam | *πράττουσιν B* sed *ιν* add m^2 „*fort. πράττειν*" Re 9 *συμβασιλεύεσθαι Pa* | *καὶ* cancellavi 10 *ἐν δὲ ταῖς ὀλιγαρχίας* scripsi *ἐν δὲ ταῖς ὀλιγαρχίαις* libri *τὰς δὲ ἐν ταῖς ὀλιγαρχίαις* edd sed *γρ ἐν δὲ ταῖς* in marg Mor | *τὸ σχῆμα* ante *καθεστάναι BaPa* | *ἄρχουσιν B* 11 *τὴν* om *Vi* Barb Cam 12 *δὲ* om *BaPa* 13 *χρῆμα B* 14 *συζῶσιν BaBPLVi* edd 15 *ἑκάτερος B* 17 *ἐπικουφίζει τὴν πενίαν* scripsi e *BaPaB* *τὴν πενίαν ἐπικουφίζει PLVi* edd 18 *τῶν* inserui e *BaPaB* om *PLVi* edd 19 *δεῖ μὲν γυναικὸς ἀνδρὶ* scripsi e *B* *δεῖ μὲν ἀνδρὶ γυναικὸς BaPa* *δεῖται μὲν γυναικὸς ἀνὴρ PLVi* edd

ναικὸς ἀνδρὶ κατὰ τὸν Ἡσίοδον; αὐτοὶ δ' οἱ γαμεῖν μέλλοντες ἐρυθριάσαιεν ἂν ὑπὲρ τοῦ γάμου διαλεγόμενοι. ἐνταῦθα δὴ τὸν ἐπιτήδειον ἡ χρεία καλεῖ. ὁ δὲ πολλοὺς καὶ καλοὺς μελετήσας λόγους καὶ τὰ ὄντα ἄρας καὶ τὰ οὐκ ὄντα προσθεὶς ῥᾷστα συνάπτει τὰ γένη. 11. *ἀλλ' ἐν ταῖς ἀποβολαῖς τῶν παίδων καὶ τῶν ἀναγκαιοτάτων, οὗ πολλάκις τὸ πάθος μεῖζον ἢ φέρειν, τίνες οἱ παρόντες καὶ τῆς λύπης ἀφαιροῦντες καὶ κωλύοντες ὁρμῆσαι πρὸς ξίφος; οὐχ οὗτοι; πᾶς ἂν συμφήσειεν ὅστις οὐκ ἄπειρος φίλων. ἐπεὶ καὶ πᾶσαν ἡλικίαν ἔγωγ' ἂν φαίην μέγιστα τοῦ πράγματος ἀπολαύειν. τὸ γῆρας ἐκεῖθεν κουφότερον, τοῖς ἀκμάζουσιν ἀπὸ* R IV 859 *τούτων οἱ συνεργοί, τοῖς παισὶν | οὐχ ἑτέρωθεν οἱ τῶν ἀσκήσεων κοινωνοί. οὕτως οὐδέν ἐστιν ὃ φαίης ἂν ἔξω καθεστάναι τῆς παρὰ τῶν συνήθων χρείας.*

12. *Ἔστι μὲν οὖν οὐδὲ ταῦτα σμικρὰ παραδείγματα τοῦ σώφρονα ἀποκρίνασθαι τὸν Ἀλέξανδρον, δοκεῖ δ' ἄν μοί τις ἰδεῖν ἀκριβέστερον ἡλίκον τὸ πρᾶγμα τῶν φίλων, εἰ τοὺς ἐστερημένους ἐκείνων σκέψαιτο.* 13. *οὐκοῦν ὁ μὲν τύραννος ἐν φόβῳ βέβαιον μὲν οὐδὲν τῶν*

1 Hes. op. 702 sq.

2 *θέλοντες B* 7 *ὧν BaPa* 8 *τὴν λύπην Pa* 9 *ὅτι B* | *δὲ* post *οὗτοι L* | *πᾶς ἂν συμφήσειεν* scripsi e *BaPa* *πᾶς ἂν φήσειεν B* *πῶς ἂν φύσειεν L* *πῶς ἂν φύγειεν P* *πῶς ἂν φύγοιεν Vi* edd 10 *δὲ* ante *καὶ Vi* Barb Cam 12 comma post *κουφότερον* Barb et inserendum coni Re om libri Cam Mor Re | colon post *ἀκμάζουσιν* Mor Re qui delendum vidit 15 *ἔξω* inser *P* 16 *σμικρὰ* scripsi e *BaPaBPL* *μικρὰ Vi* edd 17 *δοκῶ Ba* 18 *με τίς PL* *τίς μοι BaPaB* | *τὸ πρᾶγμα τῶν* scripsi e *BaPaB* *τὲ πρᾶγμα τὸ τῶν PLVi* edd sed *ἡλίκον τι πρᾶγμα τὸ τῶν* coni Re 19 *συνήθων B* | *εἰ* del *P* 20 *τὸν παρόν* (τ supra) *ἀγαθὸν Ba* *τὸν παρόν* (τὲ supra) *ἀγαθὸν Pa*

παρόντων ἀγαθῶν ἡγούμενος, ἀεὶ δὲ τὸ μέλλον προσδοκῶν χαλεπόν; ᾧ γὰρ οὐκ ἔστι σύμβουλος ἀποστήσων μὲν τοῦ χείρονος, προσάξων δὲ τῷ βελτίονι καὶ πείσων τὰ μὲν φεύγειν, τὰ δὲ διώκειν, πῶς ἂν ὁ τοιοῦτος ἢ πολεμήσειεν, ὅτ' ἄμεινον, ἢ τὴν εἰρήνην, ὅτε βέλτιον, ἔχοι; παρὰ τοῦ δ' ἂν τοὺς ἐπιβουλεύοντας προμαθὼν ἀποκρούσαιτο πρὸ τῆς πείρας τὰ δυσχερῆ; τίς δ' ἂν αὐτῷ νενικηκότι συμπαιανίσειε; τίς δ' ἂν ἡττημένῳ συναχθεσθείη; τῇ πόλει δὲ κηδεμόνος ἀπορούσῃ τίς τῶν ὄντων ἀσφάλεια, τίς ὑπὲρ τοῦ μέλλοντος ἄδεια; 14. *εἶεν. τοῖς δὲ δὴ καθέκαστον οὐκ ἀλγεινότατος ὁ βίος τῆς τοιαύτης κοινωνίας ἐστερημένοις; τίς ἐπ' ἀγορᾶς διαλέξεται; τίς ὅ τι χρὴ πράττειν ὑποθήσεται; τίς ὃ φυλάξασθαι δεῖ συμβουλεύσει; τίς κουφίσει συμφοράν; τίς κρινομένῳ παρέσται;* 15. *ἀφῄρηται καὶ τῆς νεότητος ἡ τέρψις ἄνευ φίλων, καὶ γῆρας βαρύτερον, εἰ τοῦτο ἀφέλοι τις, καὶ πενία μὴ τοῦτο ἔχουσα διπλοῦν ἂν εἴη κακόν. ὁ δέ γε πλούσιος τοὺς μὲν ἐπιβουλεύοντας πολλούς, τοὺς δὲ βοηθοῦντας οὐδαμῶς ὄψεται. καὶ πολλὰ ἂν εἴη λέγειν ἃ τοῖς ἀποροῦσι φίλων συνέζευκται χαλεπά. εἰ τοίνυν τοῖς σπανίζουσι*

---

1 *ἀεὶ δὲ*] *καὶ BaPa* 3 *προσέχων BaPa* 4 *φυγεῖν BaPa* 5 *ὅτε* Re | *ποιήσειεν* ante *τὴν* edd delevi | *ὅτι* Cam Mor Re 6 *ἔχοι* scripsi e *BaPaBPL* *ἔχει Vi* edd 8 *αὐτῷ νενικηκότι* scripsi e *BaPa* *αὐτῶν νενικηκότι B* *αὐτοῦ νενικηκότος PLVi* edd | *συμπαιανίσειεν ἢ τίς ἂν B* | *ἡττημένῳ* scripsi *ἡττωμένῳ* libri edd 10 *ἄδει BaPa* | signum interrogationis inserui om libri edd | *ἃ δεῖ BaPa* 11 *δὴ καθέκαστον* om *BaPa* | *δὴ* om *B* 12 *τοῖς B* | *ἐστερημένοις* scripsi e *BaPa* (*τῆς τοιαύτης κοινωνίας ἐστερημένοις οὐκ ἀλγεινότατος ὁ βίος*) *ἐστερημένος BPLVi* edd 13 *ὃ L* 14 *ὃ* scripsi e *BaPaBPL* *ὅτι Vi* edd | *συμβουλεύσει* scripsi e *BaPaB* *συμβουλεύσειε PL* *συμβουλεύσειεν Vi* edd | *κουφιεῖ*? 17 *τοῦτο* scripsi e *BaPaB* *τοῦδε PLVi* edd | *ἀφέλει PL* 20 *ἃ τοῖς*] *ὅσα τοῖς B* *αὐτοῖς* Cam Mor Re qui aeque atque Cam *ἃ τοῖς* scribendum vidit

φίλων πάντα περιέστηκε τὰ δεινά, τοῖς γε ἐν εὐπορίᾳ γνωρίμων εὐδαιμονία πολλή. καὶ παραπλησίως τοῖς μὲν ἥδιστος, τοῖς δὲ βαρύτατος ὁ βίος.

16. Καὶ μὴν εἰκότως ἂν μᾶλλον οἱ φίλοι θησαυροὶ
R IV 860 προσαγορευθεῖεν ἢ ταῦτα ἃ | νῦν οὕτω κέκληται. τί γὰρ τοσοῦτον παρὰ τῶν χρημάτων ὅσον τὸ παρὰ τούτων; παρετάξατο χρήματα πολεμοῦσι καὶ παρεκινδύνευσεν; οὐκ ἔστιν. ἀλλ' εἰσηγήσατο γνώμην; ἀλλὰ προκατεμήνυσεν ἐνέδραν; ἀλλ' ἔλυσε στάσιν; ἀλλὰ φρονιμωτέρους ἐποίησεν; οὐδαμῶς. καὶ μὴν πάντα γε ταῦτα καὶ ἔτι πλείω τούτων παρὰ τῶν ἐπιτηδείων καὶ πρός γε αὐτὰ τὰ χρήματα παρ' αὐτῶν γένοιτ' ἄν. ἔτι τοίνυν οἱ μὲν ἄριστοι τῶν φίλων οὐδεπώποτε χείρους τοὺς χρωμένους ἐποίησαν, τὸν δὲ πλοῦτον ἀκούομεν πολλάκις εἰς κακίαν συντελεῖν. 17. ὥστε νουνεχόντως Ἀλέξανδρος μετέστησεν ἀπ' ἐκείνων ἐπὶ τούτους τοὔνομα. διόπερ ἀεὶ φίλων δεῖ τοῖς μέλλουσιν εὐδαιμόνως βιώσεσθαι. ὅτῳ δὲ οὐκ ἔστι τοιοῦτον κτῆμα, παραπλήσιον ἂν εἴη πεπονθὼς τῷ τῆς ἑτέρας ἐστερημένῳ ταῖν χεροῖν. ὅσον γὰρ ἀλλήλοις οἱ πόδες ἐν τῷ βαδίζειν συνεισφέρουσι, τοσοῦτον ἐν τοῖς πράγμασιν οἱ φίλοι

---

1 φίλων om B | πάντα scripsi e BaPaBPL τοιαῦτα Vi edd sed γρ πάντα in marg Mor | τὰ δεινά] χαλεπὰ B | τοῖς τε ἐν εὐπορίᾳ γνωρίμων εὐδαιμονία πολλὴ παραπλησίως, τοῖς μὲν coni Re 2 καὶ inserui e BaPaB om PLVi edd 3 ὁ om BaPa 4 ἂν om BaPa | μᾶλλον om B 5 ἂν post ταῦτα PLVi 6 τὸ om B 7 τοῖς ante πολεμοῦσι BaPa | παρεκινδύνευσαν BaPa 8 οὐκ ἔστιν] οὐδαμῶς B 10 φρονιμωτέρους scripsi e BaPaB φρονιμώτερον PLVi edd | γε om B 12 καὶ ante παρ' PLVi edd delevi 16 ἐκείνου coni Re | τού^{τ} P τούτου L τούτῳ^{ου} Vi τούτοις Barb Cam 18 βιώσεσθαι scripsi e BaPaBPL βιώσασθαι Vi edd 19 ἂν inserui e B om BaPaPLVi edd | ταῖν scripsi e BaPa τοῖν BPLVi edd 21 συνεισφέρουσιν BaPaB | τοσοῦτον ἐν

παρέχουσιν. οὐχ ἁμάρτοι δ' ἄν τις οὐδὲ τὴν συζυγίαν τῶν ὀφθαλμῶν παραβαλὼν τῇ κοινωνίᾳ τῶν φίλων.

18. *Ἔστι μὲν οὖν καὶ παρὰ τῶν καθ' ἡμέραν γινομένων πλῆθος ἀποδείξεων λαβεῖν καὶ μεστὸς ὁ βίος τῶν εἰς τοῦτο φερόντων, ἔχοι δ' ἄν τις καὶ πρὸς τοὺς ἄνω χρόνους τῶν ἡμιθέων ὁρῶν ἀπ' αὐτῶν κομίσαι τὰ παραδείγματα. τί γὰρ ἐνδοξότερον τῆς Ἡρακλέους καὶ [τῆς] Θησέως φιλίας; ἢ τί τῶν κατωρθωμένων αὐτοῖς διὰ τοῦ ταὐτὰ προελέσθαι τε καὶ φρονῆσαι παραπλήσια καὶ συμπνεῦσαι πρὸς τοὺς ἄθλους; ὅτε δὲ ἀποστροφῆς ἐδέησεν αὖθις τῷ Ἡρακλεῖ, τίς ἀγαγὼν αὐτὸν Ἀθήναζε πρὸς τὴν χρείαν ἤρκεσεν; ὁ Θησεύς.* 19. *αὐτὸς τοίνυν οὗτος Θησεὺς ὁ Πειρίθῳ χρώμενος ἐξετάσωμεν ἅ τε ἀπήλαυσεν ἅ τε παρέσχεν. οὐκ οὖν ἔδει*

---

7 sq. Plut. Thes. 29, 3   11 Plut. Thes. 30, 5

τοῖς πράγμασιν om *B* | *πράγμασι BaPa* edd | *οἷ B* sed ` add man rec

1 *παρέχουσιν* scripsi e *BaPaBPL* *παρέχονται Vi* edd sed *γρ παρέχουσιν* in marg Mor | *οὐδ' ἐν τῇ συζυγίᾳ B*   3 *καθημέραν BaPaBL*   5 *τῶν* om *BaPa*   7 *τοῦ BaPa*   8 *τῆς* cancellavi | *ἢ — αὐτοῖς* om *BaPa* *ἢ τί τῶν κατωρθωμένων αὐτοῖς μέγιστον;* coni Re | *κατωρθωμένων* scripsi auctore Re *κατορθωμάτων* (*οἷς* supra) *BPLVi* edd | *αὐτῆς Vi*   9 *διὰ τοῦ* scripsi *καὶ τοῦ BaPa* sed in hoc *τὸ* in marg *τὸ B* *οὐ γὰρ PLVi* edd | *ταὐτὰ* scripsi e *B* et marg *Pa* *τὰ αὐτὰ Ba* *ταυτὸν PLVi* edd | *παραπλήσια* scripsi e *BaPaB* *παραπλήσιον PLVi* edd   10 signum interrogationis posui e *B* punctum reliqui libri edd   11 *τίς* om *B* | *ἦν* ante *ἀγαγὼν BaPa* | *αὐτὸν* om *B*   12 *οὐ* ante *πρὸς BaPa* | *ἤρκεσε Vi* | *ὁ* scripsi e *BaPaB* *οὐ PLVi* edd | *Θησεύς* — 13 *οὗτος* om sed in 'Erratis' p. 63 add Barb   13 *Θησεὺς ὁ* inserui e libris *Θησεὺς* om edd sed in 'Erratis' l. l. add Barb et *γρ* in marg Mor *ὁ* om Cam Mor sed in hoc *γρ* in marg, Re | *ἐξετάσωμεν* scripsi e *BaPaBL* cum Iacobsio Lect Anth Pal III 40 *ἐξετάσομεν PVi* edd   14 *ἀπέλαυσεν BPL* Re *ἀπήλασεν* Iacobs ll. ll. at cf. Plut. Thes. 31, 4 | *οὐκοῦν BaPaB*

μὲν τῷ Θησεῖ τὴν Ἑλένην γενέσθαι δι' ἁρπαγῆς; ἐπεὶ R IV 861 δὲ | πείθων οὐκ εἶχε λαβεῖν, ἦν δὴ ὁ κίνδυνος οὐ μικρός, τοῦτο μὲν ἐκ τοῦ πατρός, τοῦτο δὲ ἐκ τῶν ἀδελφῶν καὶ τῶν ἄλλων τῶν ἐν Λακεδαίμονι. ἀλλ' ὅμως ἐτόλμα Θησεύς, οὐκ ἀπελείπετο δὲ Πειρίθους τὴν χάριν πρὸ τῶν φόβων τιθέμενος. 20. καὶ οὐκ ἐμέμψατο τὴν προθυμίαν, ἀλλὰ τάχιστα δὴ τὴν ἀντίδοσιν ἐκομίζετο. βουληθεὶς γὰρ μνηστεῦσαι Κόρην τὴν Διὸς καὶ Δήμητρος ἐκέλευσε μὲν τῷ Θησεῖ συνακολουθῆσαι, ὁ δὲ τὰ μὲν πρῶτα κατέχειν ἐπειρᾶτο πρόδηλον εἶναι λέγων τὴν συμφοράν, ἐπεὶ δὲ πείθειν λέγων οὐκ ἴσχυεν, ἐκοινώνει τῶν κινδύνων εἰδὼς μὲν ἃ πείσεται, παθεῖν δὲ μᾶλλον αἱρούμενος ἢ λυπῆσαι τὸν φίλον. 21. τὸν δὲ παῖδα τὸν Ἀγαμέμνονος πῶς ἀκούομεν διατεθῆναι μετὰ τὸν φόνον τῆς μητρός; οὐκ ἠλαύνετο μὲν ὑπὸ τῶν Ἐριννύων, ἐμισεῖτο δὲ ὑπὸ τῶν ἰδίων, ἐπάρατος δὲ καὶ δυσσεβὴς ἐδόκει παρὰ πᾶσι καὶ μιαρώτατος εἶναι; ἀλλ' ὅμως ὁ Πυλάδης οὐκ ἀπεστράφη μετὰ τῆς τύχης τὸν ἄνθρωπον οὐδὲ ἐνθυμηθεὶς ὡς μεταλήψεται τῆς ἀδοξίας ἐγκαλυψάμενος ἔφυγεν, ἀλλὰ παρῆν καὶ συνηκολούθει καὶ συνηγωνίζετο καὶ θερα-

1 sq. Plut. Thes. 31 15 Eur. Iph. T. 79 sq.

1 ἀγαγέσθαι *B* | ἐπειδὴ *B* ἐκεῖγε Cam Mor Re 2 δὴ] δὲ libri et coni Re corr Barb 3 τοῦτο(1)] τὸ *PL* 5 μὲν ante ἐτόλμα *BaPa* | ἐκ ante πειρίθους *BaPa* 6 καὶ om *B* 7 ἀντί cum lac 4 litt *B* et ἀντίδοσιν ἴσως in marg All 8 ἐκομίσατο *B* 9 ἐκάλεσε *Pa* | μὲν τῷ scripsi e *BaPaB* τῷ μὲν *PLVi* edd | διὶ *B* sed τῷ θησεῖ ἴσως in marg man recentiss | συνακολουθῆσαι scripsi συνακολουθήσειν libri edd 12 ἴσχυε edd 14 τοῦ *B* | ἀγαμέμνονα *PL* | ὅπως *BaPaB* 15 διατιθέναι *BaPa* διατεθεῖναι edd sed διατιθῆναι coni Re 17 παραπᾶσι *Pa* | εἶναι post πᾶσιν, non post μιαρώτατος *B* 18 μιαρότατος *Ba*

πεύειν οὐκ ᾐσχύνετο τὸν αὐτόχειρα τῆς μητρός. 22. μικρὰ πάντα πρὸς τὴν Ἀχιλλέως γνώμην κρινόμενα. ἐκεῖνος γὰρ ᾔδει σαφῶς ἀκούσας ὡς δεῖ δυοῖν θάτερον, ἢ τὸν Ἕκτορα μὴ διαφθείρειν ἢ καὶ αὐτὸν τεθνάναι, ἀλλ' ὅμως ἔμπροσθεν τῆς ἑαυτοῦ ψυχῆς ἐποιήσατο τιμωρῆσαι Πατρόκλῳ.

23. *Αὕτη μὲν ἡ τῶν πραγμάτων Ἀλεξάνδρῳ μαρτυρία, δεῖ δὲ μηδὲ Εὐριπίδην παραλιπεῖν, πάντως δὲ οὐκ ἀμφισβητήσιμος ἡ σοφία τοῦ ποιητοῦ. τί οὖν ἐκεῖνός φησι; μηδὲν εἶναι προτιμότερον φίλου σαφοῦς, οὗ δεύτερον πᾶν ἐφεξῆς ἄριστον. εἶτ' ἐπειδὴ τοὺς ἀνθρώπους ἑώρα πλοῦτον καὶ τυραννίδα θαυμάζοντας, διαρρήδην φησίν·*

οὐ πλοῦτος, οὐ τυραννὶς τοῦδε βέλτιον.

24. *Εἰκότως ἄρα θησαυροί τε ἐνομίσθησαν Ἀλεξάνδρῳ καὶ | ὠνομάσθησαν οἱ φίλοι. ἔστι τοίνυν* R IV 862 *ἐχόντων νοῦν κἀκεῖνον ἐπαινεῖν τοῦ λόγου καὶ αὐτοὺς μιμεῖσθαι τοῖς ἔργοις, ὡς οὐκ ἔσθ' ὅπως εὐδαιμόνως βιώσομεν, εἰ μὴ φίλων πολλῶν καὶ ἀγαθῶν εὐποροῖμεν.*

---

3 Il. σ 90   5 cf. t. I 111, 3   10 Eur. Or. 1155 cf. t. I 110, 22; ep. 487   17 cf. p. 82, 10 sq.

---

2 *πάντα* scripsi e *BaPaPL* *ταῦτα* *BVi* edd   3 *ᾔδει* scripsi cum Sinteni *ᾔδει* *PL* *ἤδη* *BaPaB* sed in hoc η(2) in ει corr, *Vi* edd | *δυεῖν* *P*   4 *μὴ* om *L* | *αὐτὸν* *BaPaLVi* 7 *προσταγμάτων* Maur. Schmidt Philol. X 616 | *μαρτυρία, δεῖ δὲ μηδὲ* scripsi e *BaPaB* ut coni Re *τιμωρία. δεῖ δὲ μὴ* *PLVi* edd   10 *οὗ δεύτερον* scripsi *ὃ δὲ* *BaPaBPL* *ὃ δὴ* *Vi* edd *οὗ δὴ λείπεσθαι πᾶν ἐφεξῆς ἄριστον* M. Schmidt l. l. 11 *εἶτ'* om *BaPa* | *ἐπειδὴ γὰρ ἑώρα τοὺς ἀνθρώπους* *BaPa* 15 *θησαυρός* *BaPa* | *τε* om *B* | *ἐνομίσθησάν τε* Schaefer ad Dionys. p. 142 cui oblocutus est Boisson. Anecd. nov. 53 not. 2 17 *νοῦν ἐχόντων κἀκεῖνο* *BaPa* | *αὐτοὺς* scripsi e *BaPaB PL* cum Sinteni *αὐτοῖς* *Vi* edd

β'.

Διογένης μειράκιον ἰδὼν ἀτακτοῦν τὸν παιδαγωγὸν ἔπαισεν ἐπειπών· τί γὰρ τοιαῦτα παιδεύεις;

R IV 862 1. *Ἅπασα μέν μοι φιλοσοφία τίμιον καὶ δαιμόνιον καί μοι δοκοῦσιν οἱ τοὺς ἐν αὐτῇ ζῶντας μὴ θαυμάζοντες ἴσως ἂν πάντων τῶν θεῶν ὀλιγωρῆσαι, χρὴ δὲ τοσοῦτον αὐτοὺς ὑπολαμβάνειν τῶν λοιπῶν διαφέρειν ὅσονπερ ἐκείνους τῶν θηρίων· τῶν δ' αὖ τοῦτον ᾑρημένων τὸν βίον εἰκότως ἄν μοι δοκῶ Διογένη τε διαφερόντως ἀγασθῆναι καὶ τὴν ὁδὸν ἣν οὗτος ἦλθε.* 2. *τὸ μὲν γὰρ οὐρανοῦ τε καὶ γῆς μέτρα ἡλίου τε καὶ σελήνης διερευνήσασθαι δρόμους ἄλλοις ἀφῆκεν, αὐτὸς δὲ μετῆλθεν ἀρετὴν ᾗ μάλιστα τοὺς ζῶντας ὀνήσειν ἔμελλε. πλούτου κατεφρόνει, τῶν ἡδονῶν ἐκράτει, τὸ σῶμα παρεῖχε τοῖς πόνοις, τὴν τῶν δυνατῶν εὐδαιμονίαν δυστυχίαν ἐνόμιζε. πάντας δὲ ἀνθρώπους οἰ-*

1 sq. Hermog. prog. 3 ed. Walz. Rhet. gr. t. I p. 19, 7 = t. II p. 6, 1 ed. Speng. Nicol. prog. 3 ed. Walz. I p. 272, 21 qui vestigia huius chriae pressit. Doxap. ad Apth. homil. ed. Walz. II p. 285, 13
5 [Arist.] mund. 1 p. 391 a 1 sq. 12 Nicol. l. l. p. 272, 25 sq. Diog. L. VI 2, 28; 73. cf. t. V 21, 9 sq.

1 β'] ἑτέρα χρεία *BaPaB* ἄλλη χρεία *PL* post 4 παιδεύεις; χρεία ἄλλη edd om *Vi* 3 εἰπὼν *Vi* Barb Cam | τοιαῦτα scripsi e *BaPaBP* et Nicol. l. l. ut coni Re ταῦτα *LVi* edd 5 μὲν ἡ Cam Mor sed in hoc γρ μέν μοι in marg, Re | σοφία *BaPaB* 6 αὐτῷ *Pa* 7 πάντων] καὶ αὐτῶν Iacobs Lect 8 ὑπολαμβάνειν inserui e *BaPaB* cum Boissonadio Anecd. V 244 et 327 om *PLVi* edd 10 δοκῶ scripsi δοκεῖ *BaB* edd δοκῇ *PaPLVi* | διογένει *B* sed η supra ει m² διογένην *Pa* scriptura deleta *Ba* 11 καὶ ἣν οὗτος ἦλθεν ὁδὸν *B* 13 δρόμους om *Vi* Barb Cam 14 ὁδὸν *B* | ἣν *BaPa* 17 πάντων δὲ ἀνθρώπων *BaPa* | οἰκείους *Vi* sed διακίους (οἰκείους) γρ in marg, Mor sed γρ δικαίους in marg δικαίους *PL* δικαίως *Ba* sed ως del, *Pa*

κείους ἡγούμενος ἐπεμελεῖτο πάντων καὶ συλλήβδην εἰπεῖν Ἡρακλέους ἑαυτὸν ζηλωτὴν κατέστησεν αὐτῇ βακτηρίᾳ περιιὼν ἐπὶ τῷ βελτίους ποιεῖν οἷς ἐντυγχάνοι. 3. οἷον δ' αὖ κἀκεῖνο διεπράξατο. παιδὶ μὲν γὰρ ὁ παιδαγωγὸς παρῆν, τὸν δὲ προσήκοντα κόσμον ὁ παῖς οὐκ ἐφύλαττε, Διογένει δὲ τὸ πραττόμενον ἐπανορθώματος ἐδόκει δεῖσθαι. τί οὖν ποιεῖ; τὸν νέον ὑπερβὰς ἐπὶ τὸν ἐφεστηκότα φέρεται καὶ παίει κατὰ τοῦ νώτου πολλὰς καὶ προστίθησι ταῖς πληγαῖς τὸν λόγον, ὡς οὐκ ἄρα χρὴ τοιοῦτον εἶναι παιδευτήν.

4. Πρῶτον μὲν οὖν ἀμφοτέρων εἵνεκα τὸν ἄνδρα ἐπαινῶ, τοῦ τε μὴ κατοκνῆσαι ταῖς χερσὶ χρήσασθαι πρὸς τὸ σωφρονίσαι καὶ τοῦ τὴν αἰτίαν εἰπεῖν δι' ἣν τοῦτο ἐποίησε. τούς τε | γὰρ σφόδρα ἀδικοῦντας R IV 863 ἔργῳ παιδεύειν ἠξίου τό τε μὴ σιωπῆσαι καὶ τὸ πόθεν ἐπὶ τὰς πληγὰς παρωρμήθη δηλοῦντος ἦν τῷ πεπονθότι τοῦ χάριν ταῦτ' ἐπεπόνθει. εἰ γὰρ πλήξας ἀπιὼν ᾤχετο σιωπῇ, οὐδὲν ἂν ἐκώλυσε τὸν μὲν παιδαγωγὸν ἀγνοῆσαι πλημμελήσαντα, τῇ δὲ ἀγνοίᾳ μηδὲν βελτίω γενέσθαι. 5. καὶ μὴν τὸ τῶν ἁμαρτημάτων τοῦ νέου

2 Diog. L. VI 2, 23 6 Nicol. l. l. p. 273, 2

1 ἡγούμενος et πάντων om *BaPa* 2 ζηλωτὴν ἑαυτὸν *B* | ζηλωτὸν *P* | κατέστησε *Pa* 3 βελτίω *BPLVi* Barb Cam Mor | ἐντυγχάνει *BaP* ἐτυγχά (ν supra) *Pa* 6 ἐφυλάττετο *B* | διογέ (ν supra) *Pa* διογένη *P* διογένῃ *L* 7 μὲν post τὸν edd delevi 8 κατανώτου *Pa* 11 πρῶτα *P* | „εἵνεκα *non est atticum*; *scr.* ἕνεκα" Iacobs Lect contra usum Libanii; cf. p. 80, 1 13 σωφρονίσαι scripsi e *BPLVi* σωφρονῆσαι *BaPa* edd 14 ἐποίησε scripsi e *BaBPL* ἐποίει *Pa* πεποίηκε *Vi* edd 16 ὡρμήθη *B* | δηλοῦν *BaPa* 17 ταῦτα *PLVi* edd 18 ἐκώλυε *B* | μὲν om *Pa* 19 πλημμελήσαντα (πλημελήσαντα *Pa*) ἀγνοῆσαι *BaPa* | πλημελήσαντα *PaBPLV* Barb Cam | δ' *BaPa* 20 τὸν νέον *BaPa*

παρὰ τοῦ παιδαγωγοῦ τὴν τιμωρίαν λαβεῖν νοῦν ἐχόντων εὑρήσομεν. ἐνθυμηθῶμεν γὰρ ὅτου χάριν οἱ γονεῖς μισθοῦνται τοὺς ἐπιστησομένους τοῖς υἱέσιν. ἆρά γε μάτην ἐπιθυμοῦντες δαπανᾶσθαι χρήματα, ἀναλίσκειν πλοῦτον; πόθεν; οὐδεὶς οὕτως ἀπόπληκτος. 6. *ἀλλὰ πρὸς τί δὴ βλέπουσιν; ἴσασιν ἐκεῖνοι τὴν νεότητα ἐπιρρεπῆ φύσει πρὸς τὰ ἁμαρτήματα, κατὰ δὲ τῶν χρηστῶν ἀεὶ τὴν ἐναντίαν δόξαν ἔχουσαν καὶ φεύγουσαν μὲν ἀφ' ὧν ἔστιν εὐδαιμονίαν λαβεῖν, διώκουσαν δὲ δι' ὧν ἔστιν ἀθλιωτάτους γενέσθαι.* 7. *ἵν' οὖν τῷ νέῳ παρὰ τῶν πρεσβυτέρων μανθάνειν εἴη, τίσι μὲν προσεκτέον, τίνων δ' ἀφεκτέον, τούτου χάριν τὴν πλείστην πρόνοιαν ἐνταῦθα εἰσφέρονται παιδαγωγοὺς ὡς μάλιστα βελτίστους ἀνερευνᾶν κανόνα τῶν τοῦ παιδὸς πραγμάτων ποιούμενοι τὴν ἐκείνου γνώμην.* 8. *τεκμήριον δέ, τῶν γὰρ ἀνθρώπων ἕκαστος τῷ τοῦ παιδαγωγοῦ τρόπῳ τεκμαίρεται τὸν τοῦ νέου. κἂν μὲν ᾖ χρηστὸς ἐκεῖνος, καὶ περὶ τούτου προσδοκᾷ τὰ βελτίω,*

---

6 sq. Nicol. l. l. p. 273, 10 sq.

---

1 *παιδαγωγὸν Ba* | *παραλαβεῖν P* sed *παρα* inser, *L* et *γρ* in marg Mor | *ἔχοντος B* *ἔχειν BaPa* 3 *ἄρα Pa* 4 *ἐπιθυμοῦντας B* sed *ες* supra *ας* m² | *τὰ* ante *χρήματα* et *τὸν* ante *πλοῦτον B* 5 signum interrogationis(1) posui e *B* punctum reliqui libri edd | *οὗτος B* 6 *προςτί Pa* 10 *ἔστιν* om *L* | *ἵν'* scripsi e *BaPa* cum Bastio epim. III p. XLI (Arist. Plut. ed. Hemsterh. Schaefer Lips. 1811) *ἓν BPLVi* edd | *οὖν*] *δὲ B* 11 *παρὰ τῶν πρεσβυτέρων μανθάνειν εἴη* scripsi e *BaPaBPL* *μανθάνειν εἴη παρὰ τῶν πρεσβυτέρων Vi* edd | *ἂν* ante *εἴη* inserendum coni Iacobs Lect 12 *δὲ Pa* | *φευκτέον BaPa* 13 *πρόνοιαν* scripsi e *BaPa* cum Bastio Greg. Cor. p. 419 ed. Schaefer *σπουδὴν B* *χάριν PLVi* edd sed *σπουδὴν* coni Cam, *σπουδὴν* vel *ἐπιμέλειαν* Re | *ἐνταῦθα* scripsi e *BaPaB* cum Bastio epim. *ἐντεῦθεν PLVi* edd 14 *βελτίους BLVi* Barb Cam et *γρ* in marg Mor | *ἐρευνᾶν BVi* Barb Cam et *γρ* in marg Mor 15 *τεκμήριον δέ* om *BaPa* 17 *ᾖ* om Barb Cam 18 *παρὰ BaPaB*

μὴ τοιούτου δὲ ὄντος χείρους ἐλπίδας καὶ περὶ τοῦ νέου λαμβάνει. 9. *οὐκοῦν τοῦ μὲν πατρὸς ἀργύριον δοῦναι, τοῦ δὲ παιδαγωγοῦ τῶν λοιπῶν φροντίσαι μηδὲν ὑποστελλόμενον. διὰ τοῦτο γὰρ καὶ παίειν καὶ ἄγχειν καὶ στρεβλοῦν καὶ ἃ τῶν δεσποτῶν πρὸς τοὺς οἰκέτας, ταῦτα καὶ τῶν υἱέων τοῖς ἐφεστῶσιν ἀξιοῦσιν ὑπάρχειν, ὡς μηδεὶς ἀπόλογος ἐσύστερον ᾖ.*

10. *Τί οὖν φημι; μᾶλλον δέ, τί Διογένης φησίν; ἂν πίνειν πέρα τοῦ μετρίου βούληται, μηδαμῶς, ὦ τάν, ἐπίτρεπε. καὶ τὸν ὕπνον δὲ τὸν ἔξω τοῦ προσήκοντος διάκοπτε.* | *καὶ πρὸς* R IV 864 *ἀργίαν ἐκφερόμενον ἀνέγειρε καὶ παρατήρει βλέμμα καὶ σχῆμα καὶ φωνὴν μὴ παρὰ μέλος συμβῇ. καὶ τὰ μὲν πρῶτα πειρῶ νουθετεῖν, εἰ δ' ἀντιτείνει, κόλαζε καὶ πικρὸς ὑπὲρ σωφροσύνης φαίνου μᾶλλον ἢ τῇ φιλανθρωπίᾳ ζημίου. πάρεστιν ἱμάς. ξαῖνε κατὰ τοῦ νώτου πολλάς. φοβείσθω τὴν σὴν βακτηρίαν. εἰ δὲ οὐκ ἐκεῖνος τὴν σήν, σὺ τὴν ἐμήν. τούτους ἡγεῖσθαι χρὴ Διογένους τοὺς λόγους. ἐν γὰρ τῷ τί γὰρ τοιαῦτα παιδεύεις; εἰπεῖν ταῦτα πάντα περιείληφεν.*

11. *Ἔτι τοίνυν ὡδὶ σκεψώμεθα. πότερον οὖν παρῆν*

---

2 *οὐκ οὖν BaP* edd 3 *τὸ* ante *τῶν BaB*, *τοῦ Pa* 4 *ὑποστελλόμενος L* | *διατοῦτο Pa* 6 *ταύτην Pa* | *κατὰ B* | *ἀξιοῦσι* edd 8 *φησί Vi* Barb 9 *πέρα* reposui e libris ut coni Re *περὰ* Barb *παρὰ* Cam Mor Re 10 *τᾶν* libri edd | *καὶ* om *B* | *τὸν ἔξω δὲ ὕπνον BaPa* 11 *τοῦ* inser *B*[2] 12 *ἀργείαν Vi* 14 *πρῶτα μὲν B* 15 *δὲ PLVi* *δέ τι* edd | *ἀντιτείνει* (*οι* supra) *Ba* *ἀντὶ τείνοι Pa* 16 *τῆς φιλοτιμίας* ante *φαίνου* inser Cam Mor Re delevi | *ζημιοῦ LVi* Barb Cam Mor 17 *ξένε PLVi* Barb | *τοῦ* om *BaPaB* cf. p. 75, 9 18 *δὲ* scripsi e *Ba PaB* *γὰρ PLVi* edd 20 *διογένης Vi* | *γὰρ*(1) om *BaPa* 21 *ἐπαίδευες BaPa* | *περιείληφεν* scripsi cum Sinteni *παρείληφεν BaPaPLVi* edd *προσείληφεν B* 22 *ὡδὶ* scripsi e

τῷ παιδὶ διαπαντὸς ἢ οὔ; εἰ μὲν γὰρ ἀπεστάτει, προδότης ἦν τοῦ νέου σαφής· εἰ δὲ συνέζευκτο, πότερον ἠρέσκετο τοῖς πλημμελήμασιν ἢ οὔ; εἰ μὲν γὰρ βουλομένου ταῦτα ἦν ἁμαρτάνεσθαι, τίς τοῦ τοιούτου πονηρότερος; εἰ δὲ οὐ βουλομένου, τί παθὼν οὐκ ἐκώλυεν; οὐ γὰρ δὴ χεῖρας ἔμελλεν ὁ νέος ἀνταίρειν. τὸ γὰρ πείθεσθαι καὶ μὴ ἀντιβλέπειν ἀναγκαῖον ὂν ἠπίστατο. 12. εἰ δὲ ἃ τὸν παιδαγωγὸν ὁ Διογένης, ταῦτα τὸν νέον ἐτύγχανε δράσας, οὐκ ἂν ἐκεῖνον εἰπεῖν νομίζομεν; ὦ σοφώτατε Διόγενες, ἐμοὶ γὰρ ὑπείληπται καλὸν ὃ δίδωσι πράττειν ὁ κύριος. καὶ νῦν σὺ μὲν ταύτην ἀταξίαν, ἐγὼ δὲ παιδείαν ἡγοῦμαι. σημεῖον δὲ τὸ μηδὲ τὸν παιδαγωγὸν ἀποτρέπειν ποιοῦμαι. εἰ ταῦτα ἤκουσεν, ἆρ' οὐχ ὡμολόγησεν ἂν ἀκρισίᾳ περὶ τὰς πληγὰς κεχρῆσθαι; πάνυ γε. διόπερ οὐδὲν τοιοῦτον οὔτε ἔπραξεν οὔτε ἤκουσεν. 13. ἐπεὶ δὲ καὶ πανταχοῦ τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις προσήκει τῶν πραγμάτων σκοπεῖν καὶ πρὸς ἐκείνας πάντα

---

1 cf. t. VII 677, 4

B ὡδὶ *BaPa* εἰ δεῖ *PLVi* edd εἰ βούλει coni Re εἰ δοκεῖ Sintenis ἰδίᾳ M. Schmidt Philol. X 610

1 τῷ παιδὶ διαπαντὸς reposui e libris διαπαντὸς τῷ παιδὶ edd | ἀπεστάτει — 3 γὰρ om *BaPa* 3 πλημελήμασιν *LVi* 4 ταῦτα scripsi e *BaPaB* τοῦτο *PLVi* Barb τούτου Cam Mor Re 6 ἤμελλεν *PL* 7 μὴ ἀντιβλέπειν ἀναγκαῖον scripsi e *B* μὴ ἀντιβλέπειν οὐκ ἀναγκαῖον *BaPa* ἀντιβλέπειν οὐκ ἀναγκαῖον *PLVi* Barb et γρ in marg Mor οὐκ ἀντιβλέπειν ἀναγκαῖον Cam Mor Re 8 ταῦτα scripsi e *PaB* scriptura in *Ba* deleta ταὐτὰ *PLVi* edd 9 ἐκεῖνον om *B* | νομίζωμεν *BP* sed in hoc ω ex ο corr, *LVi* 11 καὶ νῦν om *B* 12 ταύτην scripsi e *PaB* scriptura in *Ba* deleta ταῦτα *PLVi* edd

13 τὸν *BaPa* | μὴ δὲ *BaPaL* 14 ἄρα edd | ἂν om *B*

15 ἀκρασία *Pa* 16 οὔτ' (2) *LVi* 17 δὲ inser Cam om libri Barb | προσήκει post ὑποθέσεις inserui e *BaPaB* et προσῆκον ἐστὶ quod post σκοπεῖν habent *PLVi* edd delevi 18 ἐκείνους *Pa* | πάντως *B*

ἀναφέρειν τὰ δεύτερα, τὸ γὰρ παρέχον τὴν ἀφορμὴν καὶ τῶν ἀκολουθούντων κομίζεται τὸν λόγον, καὶ τὸ τῆς ἀταξίας ὑπὸ μὲν τοῦ παιδὸς ἐγίγνετο, κατεσκεύαστο δὲ τῇ τοῦ παιδαγωγοῦ ῥᾳθυμίᾳ, οὐ | δὴ ψιλὸν R IV 865 *ἐξήτασε τοὔργον, ἀλλὰ καὶ τὸν δόντα τῷ πράγματι τὴν καταβολὴν καὶ τῷ μὲν πράττοντι συνέγνω, τὸν δὲ δόντα τὴν ἄδειαν ἐμίσησεν.* 14. *οὗ γὰρ μὴ συγχωρήσαντος οὐκ ἄν ποτ' ἐπέπρακτο, τοῦτον ἡγεῖτο δίκην τῶν πραχθέντων ὀφείλειν. καὶ γὰρ ὡς ἀληθῶς τῶν ἀτοπωτάτων, εἰ μέν τι τῶν ἀμεινόνων ὑπὸ τῶν νέων γένοιτο, τὸν ἐφεστηκότα τὴν δόξαν καρποῦσθαι, τῶν δὲ ὡς ἑτέρως ἐχόντων μὴ τὸν αὐτὸν τοῦτον ὑπεύθυνον εἶναι.* 15. *ἐγὼ πολλάκις ἔγνων τὸν μὲν νέον ἀπομνημονεύοντα καλῶς, τὸν δὲ παιδαγωγὸν μέγα φρονεῖν ἀξιοῦντα, καὶ τὸν νέον μὲν ὡς ὀξύτατα συνιέντα, τὸν δὲ μάλιστα σεμνυνόμενον, καὶ τὸν μὲν σωφρονοῦντα, τὸν δέ, εἰ μή τις αὐτὸν ἐπαινοίη, δεινὰ φάσκοντα πάσχειν.* 16. *καὶ μὴν οἱ γονεῖς ὅταν αἴσθωνται τὰ τοῦ παιδὸς αὐτοῖς ὡς*

---

3 *μὲν* inserui e *BaPaB* om *PLVi* edd sed post *παιδὸς* inserendum coni Re 4 comma post *ῥᾳθυμίᾳ* posui auctore Iacobsio Lect punctum libri edd 5 *ἐξήταζε B* | *τὸ ἔργον P LVi* edd | *διδόντα B* 6 *καταβολὴν* scripsi e *BaPaBPL* et *γρ* in marg Mor, ut coni Re *μεταβολήν Vi* edd | *πράττοντι* scripsi e *BaPaB* *πράγματι PLVi* edd | *διδόντα B* 7 *οὐ P* et Cam Mor Re qui *οὗ* scribendum viderunt 8 *ποτ' ἐπέπρακτο* scripsi *ποτε πέπρακτο BaPaVi* Barb Cam *ποτεπέπρακτο P* *ποτε ἐπέπρακτο BL* Mor Re | *πραγμάτων BaPaBVi* 10 *τοι PLVi* | *ἀμεινόνων*] *ἀμείνων ἦν L* | *ὑπὲρ B* sed *παρὰ* in marg m² | *νεῶν BaPaBPL* edd 11 *ὡς* delendum? 12 *τούτων B* 13 *πολίτην* (*ας* supra) *L* | *μὲν* om *L* 14 *φθονεῖν BaPa* sed in hoc *ρ* supra *θ* m² 15 *ὀξύτατον BaPaB* | *τὸν* — 16 *σωφρονοῦντα* om *B* 18 *αἴσθωνται* scripsi e *BaPa* (non ut Boisson. Psell. oper. daem. 253 ait *αἰσθάνωνται*) *B* *ὁρῶσι Vi* edd om in lac 5 litt *PL* | *αὐτοὺς* om *L* *αὐτοῖς* reliqui libri edd

ἄριστα προχωροῦντα καὶ λόγων εἵνεκα καὶ τρόπων, αὐτὸν μὲν οὐδὲ μικρὸν ἐπὶ τούτοις ἂν θαυμάσαιεν, εἰς δὲ τὸν ἐπόπτην καὶ τὸν ἐπὶ τοῦτο ἄγοντα ῥέπουσι, κροτοῦσιν, ἐπαινοῦσι, χρήματα προτείνουσι, καὶ τῶν παραχρῆμα διδομένων τὰ προσδοκώμενα μείζω. 17. ἔστιν οὖν ἁπλοῦς καὶ δίκαιος λόγος· οὐδεὶς θαυμάσεται τὸν νέον τῶν ἀγαθῶν. οὐ τοίνυν οὐδὲ κολάσει τῶν ἐναντίων. ἐπὶ τὸν παιδαγωγὸν ἥξει τὸ θαῦμα τῶν δεξιῶν, οὐκοῦν καὶ τῶν ἁμαρτημάτων ἡ ζημία. ἢ μέγιστα ἂν εἶεν πλεονεκτοῦντες κἀκείνων δῶρα λαμβάνοντες καὶ τούτων δίκην μὴ διδόντες. ἀλλ' οὐκ ἄξιον. ἀλλ' οἱ τῶν τιμῶν καὶ τῆς τιμωρίας, εἰ πλημμελοῖτό τι, κληρονομοῖεν ἂν εἰκότως. καὶ μὴ τῆς φιλοτιμίας ἀντιποιούμενοι ἀγανακτούντων ἐπὶ ταῖς πλη-
R IV 866 γαῖς. 18. τοῦτο τὸ δίκαιον πανταχοῦ | σωζόμενον εὑρήσομεν. ᾖσεν ὁ χορὸς πλημμελῶς. τὸν διδάσκαλον ἐν αἰτίαις ἔχει τὸ θέατρον, καὶ τῶν μὲν χορευτῶν οὐδεὶς καθάπτεται, τὸν δὲ οὐ καλῶς ῥυθμίσαντα τοῦτον ἐλαύνουσι. δῆλον γὰρ ὡς, εἴπερ οὗτος ὑφηγεῖτο τὴν ἀμείνω, ταύτην ἂν ἦλθεν ἐκείνων ἕκαστος. 19. βοῦς

16 Nicol. l. l. p. 273, 23

1 χωροῦντα *BaPa* | ἕνεκα *BaPa* 2 θαυμάσειαν *L* edd 3 ἐπὶ om *BaPa* | τοῦτο scripsi e *BL* cum Sinteni τοῦτον *BaPaPVi* edd 6 θαυμάσεται scripsi e *BaPaLVi* ut coni Re θαυμᾶ^σ^ *P* sed post σ ras θαυμάσει *B* θαυμάζεται edd 7 τὸν ἀγαθὸν *B* | κολάσεται *Vi* Barb Cam 8 τὸν ἐναντίον *B* 10 ἢ] οἱ *Ba* οἳ *Pa* | εἶεν inserui e *BaPaB* om *PLVi* edd | πλεονεκτοῖεν Cam Mor sed in hoc γρ πλεονεκτοῦντες in marg, Re 12 οἱ scripsi e *BaPaB* εἰ *PLVi* edd | συμμορίας *Pa* 13 πλημελοῖτο *PLVi* 14 μηδ' ἀγανακτούντων coni Re | ἀγανακτοῖεν *BaPa* 16 πλημελῶς *PL* 18 τοῦτο Re 20 ἂν om *Pa* scriptura in *Ba* deleta

δὲ ὅταν κυρίττῃ, πότερα τὸν βουκόλον ἢ ἐκεῖνον μεμφόμεθα; πῶλος δὲ ὅταν ἀτακτῇ, πότερον ἐκεῖνον ἢ τὸν ἡνίοχον κακίζομεν; φροντιζέτω δὲ καὶ τῆς τῶν ναυτῶν ἀρετῆς ὁ κυβερνήτης ὡς αὐτὸς ὑφέξων λόγον ὧν ἂν ἐκεῖνοι σφαλῶσιν. ὥσπερ γὰρ ἐπὶ τὸν λοχαγὸν τὰ τῶν ἑπομένων ἐγκλήματα βαδίζει, τὰ γὰρ ἐκείνου νεύματα τῶν πρακτέων τοῖς στρατιώταις ὅρος, οὕτω καὶ τὴν αἰτίαν τῶν ἁμαρτανομένων τοῖς νέοις ἐπὶ τὴν τοῦ παιδαγωγοῦ κεφαλὴν δικαίως <*ἂν*> *ἀναθεῖεν ἅπαντες.*

20. *Γένοιτο δ' ἂν ὃ φημι γνωριμώτερον, εἰ πρὸς τὰς μεγίστας τῶν Ἑλληνίδων πόλεων ἀποβλέψαιμεν, τὴν Ἀθηναίων λέγω καὶ Λακεδαιμονίων. Ἀθηναῖοι μὲν οὖν οὐκ ἀναιρεθέντων τῶν πεσόντων ἐν Ἀργινούσαις τοὺς μὲν στρατηγοὺς ἀπέκτειναν, τοὺς δὲ λοιποὺς οὐδ' ἐμέμψαντο. καίτοι γε πάντες ὁμοίως ἦσαν ἠμεληκότες τῆς τῶν ἀπελθόντων ταφῆς, ἀλλ' ἐπειδὴ τὴν ῥᾳθυμίαν ᾔδεσαν ἀπὸ τῶν στρατηγῶν ὡρμημένην, τούτων τὸ ἔγ-*

1 Plat. Gorg. p. 516 A; rep. IX p. 586 B 3 sq. Nicol. l. l. p. 273, 22 sq. 13 cf. ad t. VII 171, 10; 402, 6. Nicol. l. l. p 273, 26 sq.

1 *κυρίττῃ* scripsi e *PaB* coll Plat. ll. ll. *κηρύττῃ Ba κορύπτῃ PLVi* Cam Mor Re *κορύττῃ* Barb 2 *δ' Pa* 4 *αὐτὸν Pa* | *λόγων* Re | *ἂν ἐκεῖνοι* scripsi e *BaPaBPL* cum Boissonadio Anecd. V 424 *αὐτοὶ Vi* Cam Mor sed in hoc *γρ ἐκεῖνοι* in marg, Re *αὐτοῖς* Barb 5 *τὸν λοχαγὸν* scripsi e *Ba PaB* sed in hoc *ὸν* utrumque ex *ῶν* corr m², ut coni Re *τῶν λοχαγῶν PLVi* edd 6 *ἐκείνου* scripsi e *Pa* sed *ου* ex *ων* corr, *B* ut coni Re *ἐκείνων BaPLVi* edd 9 *ἂν* inserui om libri edd inserendum vidit Sintenis 10 *γνωριμώτερον* scripsi e *BaPaBPL* et *γρ* in marg Mor *φανερώτερον Vi* edd 11 *ἀποβλέψομεν* (*αι* supra *ο*) *Pa* 13 *οὖν* om *L Vi* | *οὐκ — πεσόντων*] *ἀναγορευθέντες Ba* sed *ντες* del, *Pa* | *ἐπ' Pa* 14 *τοῖς δὲ λοιποῖς Ba* *τοὺς λοιποὺς* (*οἱ* supra) *Pa* sed *ὺς*(2) in *ῖς* corr 16 *τῆς* inserui e *BaPa B* ut coni Re et Sintenis om *PLVi* edd | *ἐπελθόντων Ba* | *ἐπεὶ Vi* Barb Cam 17 *ὡρμημένων Pa* | *καὶ* ante *τὸ BaPa*

κλημα καὶ τὴν δίκην ἐποιήσαντο. 21. Λακεδαιμόνιοι δὲ τῇ πρὸς τὸν Θεμιστοκλέα τιμῇ δῆλον κατέστησαν ὡς τῶν τὰς αἰτίας παρεχομένων τὰ λοιπὰ πάντα γίνεται. μετὰ γὰρ τὰς γενναίας ἐκείνας καὶ θαυμαστὰς πράξεις ἃς ἐπεδείκνυντο κατὰ τοῦ βαρβάρου Θεμιστοκλῆς μὲν ἧκεν εἰς Σπάρτην, οἱ δὲ αὐτὸν ἐστεφάνωσαν τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἀφορμὴν ποιούμενοι τὴν ἐκείνου διάνοιαν.

22. Οὐκοῦν Διογένης μὲν ὀρθῶς οἶδεν ὅτῳ προσ-
R IV 867 ήκουσιν αἱ πληγαί, δεῖ δὲ τοὺς | εὖ φρονοῦντας ἐκεῖνον ἐπαινεῖν καὶ τοῖς ἔργοις μιμεῖσθαι.

γʹ.

Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικράν, τοὺς δὲ καρποὺς γλυκεῖς.

1. Ὁ μέν τις Ἰσοκράτην ἐπαινεῖ τῶν λόγων οἷς

---

6 Her. VIII 124. Plut. Per. 17   9 Nicol. l. l. p. 274, 5   13 Hermog. prog. 3, 22 ed. Walz. Rhet. gr. I p. 22, 2. = II p. 6, 21 ed. Spengel. Apth. prog. 3 ed. Walz. t. I 63, 14. Doxap. homil. ad hunc locum ib. t. II 272, 14. Arsen. viol. p. 190, 13 ed. Walz.

---

2 τῇ om *L* τῆς *Pa* | τὸν om *BaPa* | τιμῆς *Pa*   3 πάντα scripsi e *PaB* scriptura in *Ba* deleta πάντως *PLVi* edd   5 τοῦ om *BaPa* τῶν [οὗ] *B*   6 μὲν inserui e *BaPaBPL* om *Vi* edd | ἐστεφάνωσαν scripsi e *BaPa* ἐστεφάνουν *BPLVi* edd   7 τῆς om *BaPaPLVi*   9 μὲν inserui e *BaPaB* om *PLVi* edd | εἶδεν *P* | προσήκουσιν αἱ scripsi e *BaPaB* προσήκουσι *PL Vi* edd   10 εὐφρονοῦντας *LVi* Cam Mor Re   11 ἐκεῖνο *Ba*   12 γʹ] λιβανίου σοφιστοῦ χρεία λογικὴ *Ba* λιβανίου σοφιστοῦ χρεία *Pa* ιβʹ ἑτέρα χρεία *B* ἑτέρα χρεία *PLVi* ἄλλη χρεία ante Ἰσοκράτης Mor Re, post γλυκεῖς Barb Cam | μὲν om *BaPa*   13 ἔφη πικράν scripsi e *BaPaB* coll Apth. l. l. πικρὰν εἶναι ἔφη *PLVi* edd   14 τοὺς δὲ καρποὺς γλυκεῖς scripsi e *BaPa* γλυκεῖς δὲ τοὺς καρπούς *B* τοὺς καρποὺς δὲ γλυκεῖς *PLVi* edd   15 Ὁ om *Pa* | τις om *BaPa* | ἰσοκρά[τ] *Ba* ἰσοκράτης *Pa* | ἐπαινεῖται *BaPa* ἐπαινείτω *B* | ὡς *L*

τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκόσμησεν, ὁ δὲ τῶν συμβουλιῶν ἐν αἷς πολλὴν ἐπεδείξατο τὴν σύνεσιν, ἔνιοι δὲ καὶ τῶν δικανικῶν ἐν οἷς οὐδενὸς ἐφάνη φαυλότερος. οἱ δὲ τοῦ τῶν ὀνομάτων, οἱ δὲ καὶ τοῦ τῶν ῥυθμῶν ἑαλώκασι κάλλους. 2. *ᾐσθόμην δέ τινων καὶ τὸ μηδὲ τοῖς κοινοῖς αὐτὸν ἐθελῆσαι προσελθεῖν ἐν θαύματι πεποιημένων. λογίζονται γὰρ ὡς, εἰ μὲν ἐγένετο τῶν ἐπὶ τοῦ βήματος, αὐτὸν ἂν μόνον παρέσχε ῥήτορα τῇ πόλει τῶν Ἀθηναίων, παιδεύειν δὲ τάξας ἑαυτὸν καὶ τὴν τῶν λόγων ὑφηγεῖσθαι τέχνην πολλοὺς ἀνθ' ἑνὸς τῷ βίῳ κατέστησεν.* 3. *ἐγὼ δὲ ἐπαινῶ μὲν καὶ ταῦτα ἢ σφόδρα ἂν εἴην ἄτοπος, εἰ μὴ βουλοίμην ἐπαινεῖν, οὐδὲν ἧττον μέντοι θαυμάσας ἔχω τὰς ὑποθήκας, αἷς ὅσοι ἐπείσθησαν εὗρον ἐπὶ τῶν πραγμάτων τὸ κέρδος. αὐτῶν δέ γε τῶν ὑποθηκῶν τὰς μὲν ἐν γράμμασι, τὰς δὲ ἀπὸ στόματος οὑτοσὶ πρὸς τοὺς συνόντας εἰπὼν ἐν μνήμῃ καταλέλοιπε.* 4. *τῶν δ' αὖ τῇ μνήμῃ σωζομένων πολλὰς μὲν ἔξεστιν ἐξετάσαι, χαλεπὸν δὲ ἁπάσας. διόπερ ἑνὶ μόνῳ χρήσομαι πρὸς τὸ παρόν, ὃ περὶ τῆς παιδείας εἴρηκε. καὶ γὰρ ἂν εἴη πρέπον παιδεύειν ἐπιχειροῦντα τοῦτο πρὸ τῶν ἄλλων*

6 Isocr. Phil. § 81. Panath. § 9 sq. Dion. H. de ant. rhet. Isocr. 1

1 *ἀγαθοὺς] ἄνδρας B* | *ταῖς συμβουλίαις Ba* 3 *καὶ* om *BaPa* | *τοῖς δικανικοῖς BaPa* | *ἦσαν φαυλότεροι BaPa* 6 *μηδὲ* reposui e libris *μὴ* edd | *αὐτῶν PLVi* 8 *αὐτὸν BaPaPL* edd 10 *ἀφηγεῖσθαι B* 11 *λόγω B* | *κατέστησε Vi καταστῆσαι BaPa* 13 *οὐδενὸς Pa* 16 *πράγμασι BaPaB* sed in hoc *ἴσως γράμμασι* in marg m² | *οὑτοσὶ* scripsi e *BaPaPLVi* *οὑτωσὶ B* edd | *τοὺς* om *B* 17 *καταλέλοιπε* scripsi e *BaPa BPL* et *γρ* in marg Mor *κατέλιπε Vi* edd | *αὖ] ἐν B* 18 *ἔξεστιν* reposui e libris *ἐστιν* edd sed *γρ ἔξεστιν* in marg Mor 19 *χρήσομαι πρὸς τὸ παρόν* reposui e libris *πρὸς τὸ παρὸν χρήσομαι* edd sed *τὸ* om Barb Cam 20 *εἴη ἂν BaPa* 21 *ἐπιχειροῦντα* scripsi e *BaPaBPL* *ἐπιχειροῦντι Vi* edd sed „*Schedae R. ἐπιχειροῦντα, τοῦτον*" Mor Not | *τὸ PLVi* Barb

πρεσβεύειν. 5. ἐκεῖνος γὰρ ὡς εἶδε τοὺς νέους ἀποδιδράσκοντας τῷ φόβῳ τῶν πόνων καὶ τοὺς μὲν ἐν ἀρχῇ λογιζομένους ἱδρῶτας, τὸ δὲ ἀπ' αὐτῶν κέρδος οὐ προσενθυμουμένους τί ποιεῖ; παραθεὶς τοῖς πρώτοις τὴν τελευτὴν καὶ τοῖς λυπηροῖς τὴν ἡδονὴν μᾶλλον δι' ἐκείνην ἐρρωμενεστέρους κατέστησεν ἢ διὰ ταῦτα R IV 868 ῥᾳθυμοτέρους. ἡ γὰρ παιδεία, φησίν, ἔχει μὲν | ῥίζαν, ἔχει δὲ καρποὺς καὶ τῇ μὲν τὸ πικρὸν πρόσεστιν, τοῖς δὲ τὸ ἥδιστον συνέζευκται.

6. Τίς οὖν οὐκ ἂν θαυμάσειε πρὸ τῶν ἄλλων εὐθὺς τὴν ἀλήθειαν; ἐξετάσωμεν γὰρ ἀμφοτέρους τοὺς καιρούς, τόν τε τῆς ἀρχῆς ἣν ὀνομάζει ῥίζαν, καὶ τὸν τῆς τελευτῆς εἰς ὃν φέρει τὸ τῶν καρπῶν. εὑρήσομεν γὰρ τὴν μὲν ἀποκναίουσαν ἀηδίᾳ, τὴν δὲ εὐφραίνουσαν μεθ' ὑπερβολῆς.

7. Σκόπει γάρ· ἵδρυται μὲν ὁ διδάσκαλος ἐφ' ὑψηλοῦ τινος, ὥσπερ οἱ δικασταί, φοβερός, συνάγων τὰς ὀφρῦς, θυμὸν ἐμφανίζων, οὐδὲν εἰρηναῖον προδεικνύς.

---

1 *παραφραστικόν* in marg *B*² 10 *τὸ τῆς αἰτίας* in marg *B*²

---

1 *οἶδε BaPa* | *τοὺς λόγους* post *ἀποδιδράσκοντας BaPa* 2 *τῷ* om *Ba* 3 *δ' Pa* | *λογιζομένους* post *κέρδος* in lac inser *Ba*² | *οὐκ ἐνθυμουμένους BaPa* 5 *τὰ τελευταῖα BaPa* 6 *δι'* om *B* 7 *ῥᾳθυμοτέρους* reposui e libris *ἀθυμοτέρους* edd | *ἡ* — 9 *συνέζευκται* citant excerpt. cod. Vat. gr. 305 fol. 2ᵛ (Notic. et Extr. VI 506) 8 *καρποὺς* scripsi e *BaPa* *καρπὸν BPLVi* edd *καὶ καρπὸν* exc. Vat. 9 *τὸ* om Re | *ἥστον B* et exc. Vat. (Boiss. Herod. *ἐπιμερ.* p. 53 not. 3) 10 *οὖν* inserui e *BaPaB* om*PLVi* edd 11 *ἐξετάσω μὲν BaPa* *ἐξετάσομεν P L* | *ἀμφοτέρους* scripsi e *BaPaB* *ἀμφοτέρων PLVi* edd 12 *ἣν* scripsi e *BaPaB* *ὃν PLVi* edd 13 *εἰς ὃν φέρει* reposui e libris *ὃν εἰσφέρει* edd sed „*schedae R. habent εἰς ὃν φέρει*“ Mor Not „*fort. ὃν εἰκάζει τῷ τῶν καρπῶν*“ Re *ὃν ἐπεισφέρει* M. Schmidt Philol. X 614 | *τὸ* scripsi e *BaPaB* *τὸν PLVi* edd 16 *ὑφ' L* 17 num *τινος* ⟨*θρόνου*⟩ scribendum coll t. I 319, 2; IV 348, 6? at cf. t. II 38, 8

δεῖ δὴ τὸν νέον προσιέναι τρέμοντα καὶ συνεσταλμένον ποικίλην ποιησόμενον τὴν ἐπίδειξιν ὧν εὗρεν, ὧν συνέθηκε, μνήμης ἐπὶ τούτοις. κἂν φαύλως αὐτῷ ᾖ ταῦτα παρεσκευασμένα, ἀγανακτήσεις, λοιδορίαι, πληγαί, περὶ τοῦ μέλλοντος ἀπειλαί· ἂν δὲ πάντα αὐτῷ πρὸς ἄκρον ἠσκημένα φαίνηται καὶ μηδαμοῦ μέμψει παρέχῃ χώραν, κέρδος τὸ μὴ παθεῖν κακῶς καὶ παραγγέλσεις τοῦ μὴ χείρω πρὸς τὰ δεύτερα γενέσθαι, μᾶλλον δέ, τοῖς πάντα ἃ προσήκει πληροῦσιν ἀπόκειταί τι χαλεπόν. ὁμοῦ τε γὰρ ἀνενδεῶς ἔδοξεν εἰρῆσθαι καὶ μεῖζον ὑπομένουσι φορτίον. δοκοῦσι γὰρ καὶ τοῖς μείζοσι τάχιστα ἂν ἀρκέσαι. 8. *τὰ μὲν δὴ τοῦ διδασκάλου τοιαῦτα καὶ παραπλήσια, ὁ δὲ δὴ παιδαγωγός, Ἡράκλεις, τῶν δεσποτῶν βαρύτερος ἐφεστηκὼς ἀεί, μικροῦ καὶ συνημμένος, ἐπεγείρων συνεχῶς, ἐπιπλήττων διαπαντός, ῥᾳστώνης ἀπελαύνων, πρὸς ἔργοις τὸν λογισμὸν ἔχειν κελεύων, τῶν μὲν χρηστῶν οὐδὲν ἐπαινῶν, ἐπὶ δὲ τοῖς μικροῖς ὑπερβαλλόντως κολάζων, ἔνοπλος, ὡς ἄν τις εἴποι, ἑπόμενος*

---

1 *δὲ BaPa* 2 *συνέθηκεν Pa* 3 *μνήμην BaPaB* | *αὐτῷ* om *B* *αὐτῶν* Barb | *ἦν Vi* Barb | *ταῦτα παρεσκευασμένα* scripsi e *BaPaPL* *ταῦτα παρεσκευασμένος B* *τὰ πεπραγμένα Vi* edd sed „*idem C. R.* (i. e. *schedae R.*) *ᾗ ταῦτα παρεσκευασμένα. atque haec germana videtur lectio*" Mor Not 6 *μηδαμῇ BaPa* | *παρέχει BaPaB* 7 *κακὸν B* | *παραγγέ* (λ supra) *BaPa* *παραγγέλλει BPL Vi* *παραγγέλει* Barb corr Cam | *τὸ B* | *πρὸς τὰ δεύτερα μὴ χείρω BaPa* 8 *τὸ L* 9 *πληροῦσι* edd 10 *ἀνενδεῶς* scripsi auctore Iacobsio Lect *ἐνδεῶς* libri edd | *ἔδοξαν* Cam Mor Re | „*fort. εἰρηκέναι*" Re *πεπειρᾶσθαι* vel *πεπειρῆσθαι* M. Schmidt l. l. 11 *γὰρ* scripsi e *BaPaBPL* ut coni Re *δὲ Vi* edd | *τάχα B Vi* Barb Cam | *ἀρκέσῃ BaPa* 12 *τὰ* ante *παραπλήσια B* 13 *δὴ* om *BaPa* 14 „*μικροῦ cohaeret cum ἀεὶ* paene semper" Re 15 *διηνεκῶς B* 16 *ἔργοις* scripsi auctore Re coll p. 64, 12 *ἔργον* libri edd 17 *ὑπερβαλλόντως* scripsi e *BaPa* *ὑπερβαλόντως PL Vi* edd *μεγάλως B* 18 *ὡσάντις P* edd | *εἴ* ante *τις Pa* | *εἴποι τις B* *εἴπῃ τις Ba* *εἴποι* om *Pa* *εἴπῃ Vi*

βακτηρίαν ἢ σκύτος ἐν τῇ δεξιᾷ προφαίνων. 9. ἀλλ' οἱ γονεῖς φιλάνθρωποι τοῖς νέοις. οὐδὲν μὲν οὖν τῶν εἰρημένων ἡμερώτεροι, πολλῷ δὲ χαλεπώτεροι. καὶ γίνεται δεύτερος ἀγὼν ἐπὶ τῆς οἰκίας οὐδὲν τῶν ἐν τοῖς R IV 869 διδασκαλείοις φαυλότερος. | ἀντὶ γὰρ τοῦ σιτίου ἢ ποτὸν ὀρέξαι τί κατειργάσω καὶ τί προκέκοψαι καὶ τί προσείληφας εἰς λόγους; καὶ τὰ τοιαῦτα παρὰ τοῦ πατρός. προσθήσω δὲ καὶ ἃ παρὰ τῆς μητρός ἐστιν, ᾗ τὸν νέον ἀνάγκη τὰς εὐθύνας διδόναι. 10. εἰ δέ τις λήθης αἰτία γένοιτο, μικρὸν εἰπεῖν τὰς πληγάς, ἀλλὰ καὶ τῶν σιτίων ἀποκεκλεῖσθαι δεῖ. ἑσπέρας δὲ ἐπελθούσης, ἣ τοῖς μὲν ἄλλοις λύει, τοῖς δὲ ἐπιτείνει τοὺς πόνους καὶ τὴν τέχνην, νὺξ δὲ δὴ καιρὸς ἀναπαύλης δοθεὶς ἔργον τοῖς νέοις γίνεται καὶ μεγίστων ἐγκλημάτων, εἰ μὴ πρὸ τοῦ κόρου τὸν ὕπνον ἀποσείσαιντο. 11. οὔτ' οὖν προϊοῦσιν οὔτ' οἴκοι διατρίβουσιν, οὐ παρὰ τοῖς παιδευταῖς, οὐ παρὰ τοῖς γονεῦσιν, οὐ νυκτός, οὐχ ἡμέρας ἐστὶν ἀναπαύλης σχολή, ἀλλὰ διὰ πάντων ⟨τὰ⟩ τῶν πόνων χωρεῖ. τοῖς δέ γε οὐδὲ

6 Her. I 190; III 56 10 cf. ad t. IV 399, 1; VII 59, 11
19 cf. ad t. II 409, 7

1 σκῦτος edd cf. ad t. V 471, 5 | προφαίνων scripsi e Ba PaB προφέρων PLVi edd 2 μὲν inserui e BaPa om BP LVi edd 4 οἰκείας PLVi Barb 5 σιτίου ἢ ποτοῦ B
6 προκέκοψαι scripsi e BaPa προκέκοπται BPLVi edd
7 προσείληφας scripsi e B προσειλήφεις BaPa προσειλήφαμεν PLVi edd 9 εἰσιν libri edd | ἣ libri corr Barb ᾗ Re | τὸν νέον scripsi auctore Re τόν γε BaPaPLVi edd τόνδε B | ἀνάγκην Pa 11 καὶ om BaPa | ἀποκλεισθῆναι B
12 ἐπελθούσης scripsi e BaPa ἐλθούσης PLVi edd ἰούσης B
13 δὴ om BaPa ἤδη B 14 ἔργον Cam Mor Re
15 μεγίστων scripsi e BaPaBPL μέγιστον Vi edd 16 ἀπώσαιντο B ἀπεσείσαντο Cam Mor Re 19 τὰ inserui auctore Schwabio coll t. I 109, 18 om libri edd | χρόνων coni Sintenis | χωρεῖν BaPa | οὐδ' Pa

ὀνειράτων ἔνεστιν εἰρηνικῶν ἀπολαῦσαι, ἀλλὰ κἀκεῖνα τῶν μελλόντων ἀλγεινῶν ἔχει τὴν μαντείαν πολλάκις. 12. *Μή τῳ δοκεῖ κακῶς ἐσκέφθαι τῆς παιδείας τὴν ῥίζαν Ἰσοκράτης; ὁρᾷς τὸ χαλεπόν, τὸ πικρόν, τὸ γέμον φροντίδος; οὐ μὴν ἐνταῦθα, φησίν, ἕστηκε τὸ πρᾶγμα. οὐδὲ τῆς παιδείας ὅρος τὸ χαλεπόν, ἀλλ' ἀπόβλεψον εἰς τοὺς καρπούς, καὶ παραθεὶς ἐκείνους τῇ ῥίζῃ τάχα τοῖς λυπηροῖς εὑρήσεις τὴν ἡδονὴν ἀντίπαλον.* 13. *τί δὲ δὴ λαμπρόν, τί δὲ ὅλως τῶν βελτιόνων ἐστὶν ᾧ μὴ τοῦτο κεκοινώνηκεν; ἐπειδὰν γὰρ ὁ νέος ἱκανῶς ἔχῃ τοῦ παιδεύεσθαι, καλεῖται μὲν εἰς βουλήν, καλεῖται δὲ εἰς ἐκκλησίαν, δῆμος δὲ ὅλος εἰς τὴν ἐκείνου γνώμην ὁρᾷ, καὶ καθάπερ χρησμοῖς πείθονται ταῖς εἰσηγήσεσι. τούτῳ μεῖζον μὲν εἰς ἡδονὴν τὸ πρυτανεῖον ἢ τὸ διδασκαλεῖον εἰς λύπην, μείζων δὲ τῶν πληγῶν ὁ στέφανος. πάρεισι δὲ τὴν τῶν παιδαγωγῶν ἀηδίαν ἡ τοῦ κήρυκος φωνή, ὅταν παραστὰς | λαμπρῷ τῷ κηρύγματι τὴν εὔνοιαν* R IV 870 *μαρτυρῇ.* 14. *δέχου δὴ καὶ τὰ λοιπὰ τῶν καρπῶν· πρεσβείας καταλαμβάνει καιρός. εὐθὺς ἡ ψῆφος ἐπὶ*

10 Dem. cor. p. 244, 20 18 Lib. hyp. Dem. cor. p. 221, 17 sq.

8 *μὴ οὖν δοκείτω τινὶ κακῶς BaPa* | *τὴν ῥίζαν τῆς παιδείας BaPa* 4 *ἰσοκράτει B* 6 *ὁ* ante *ὅρος Vi* edd delevi 7 *ταραχθεὶς B* 8 *ἐκείνους* scripsi e *Pa* *ἐκείνῃ* reliqui libri edd 9 *δὴ* scripsi auctore Iacobsio Lect App Pors Adv 284 *οὐ B* *μὴ* reliqui libri edd sed delendum coni Re 10 *οὐ* ante *βελτιόνων* (*βελτίων Pa*) libri edd delevi ut coni Re et Iacobs | *οὗ Pa* | *τούτου Pa* *οὗτος* coni Re, *τοιοῦτος* Iacobs at cf. Dem. l. l. | *ἐπειδὰν* scripsi e *BaPaB* *ἐπειδὴ PLVi* edd 11 *ἔχοι Ba* *ἔχει PLVi* Barb Cam Mor 12 *δ'* (2) *Pa* 13 *καὶ* om *B* 14 *τούτῳ* scripsi *τούτων BaPaPLVi* et *γρ* in marg Mor *τούτω B* *τοσούτῳ* edd | *εἰς ἡδονὴν* om *B* 16 *πάρεισι* scripsi *παρίησι* libri edd 17 *παρὰ* ante *τοῦ Ba Pa* 18 *παραστὰς* scripsi auctore Re *παραστᾶσα* libri edd 20 *ἐπὶ* om *BaPa*

τὸν πεπαιδευμένον. καὶ γίνεται τῇ πατρίδι δι' ἐκείνου τὸ κέρδος. ἐκεῖνος δὲ παρ' ἀμφοτέροις περιφανής, τοῖς τε ἀπεσταλκόσι καὶ παρ' οὓς ἦλθε πρεσβεύων. 15. *συμβαίνει διαφορὰ πρὸς ἀστυγείτονας καὶ δεῖ ταύτην κωλυθῆναι. ἐνταῦθα οὐκ ἰσχυρός, οὐ πλούσιος, οὐ κάλλει διαφέρων, ἀλλ' ὁ παιδεύσει διαφέρων πρὸ τῶν ἄλλων κεχειροτόνηται.* 16. *ὅλως δὲ τὰ μὲν μέγιστα ταῖς πόλεσι παρὰ τῶν ῥητόρων, οἱ δὲ ῥήτορες ἀπὸ τῶν πεπαιδευμένων. ἐκεῖνοι νόμους, ἐκεῖνοι ψηφίσματα γράφουσιν, οἷς πέφυκεν ἡ πολιτεία συνέχεσθαι. καίτοι τὸ δοκεῖν τὰ μέγιστα παρασχεῖν μείζω τοῖς παρέχουσιν ἢ τοῖς λαμβάνουσι παρέχει τὴν ἡδονήν. αἱ γὰρ εὐεργεσίαι τοῖς μὲν ὠφελουμένοις ἐπανορθοῦσι τὰς χρείας, τοῖς δὲ ὠφελοῦσιν ἀρετῆς δόξαν κομίζουσι.*

17. *Καὶ μὴν κἀκεῖνο δῆλον ὡς ἀμύνασθαι τοὺς λελυπηκότας, μὴ παθεῖν δὲ κακῶς ὑπὸ τῶν ἐχθρῶν πάντων μέγιστον. ταῦτα τοίνυν ἄμφω μετὰ τῶν πεπαιδευμένων ἐστί. τοὺς μὲν γὰρ ἠδικηκότας αὐτοὺς γράφονται, κρίνουσιν, εἰς δικαστήριον ἄγουσι, παραδιδόασι τοῖς νόμοις. εἰ δέ τις ἐπ' αὐτοὺς ἔλθοι συκοφάντης, δεινὸν οὐδέν. ἀρκεῖ γὰρ πρὸς σωτηρίαν ἡ δεινότης.*

---

2 *περιφανής* scripsi e *BaPaBL* et *γρ* in marg Mor *ἐπιφανὴς PVi* edd 3 *οἷς BaPa* 4 *πρὸς P* sed *ρὸς* del in lac om *L* | *τοὺς* ante *ἀστυγείτονας Vi* edd delevi 5 *οὐ*(1)] *ὁ* *BaPaB* 6 *ἀλλ' — διαφέρων* om *B* 7 *μὲν* om *BaPa* 8 *πεπιστευμένων BaPa* 11 *παρέχουσιν ἢ τοῖς λαμβάνουσι* scripsi auctoribus Sinteni Markowskio *παρέχουσι καὶ τοῖς λαμβάνουσι BaPaB* *λαμβάνουσι καὶ τοῖς παρέχουσι PLVi* edd 12 *φέρει BaPa* 14 *δ' Pa* 15 *ἀμύνεσθαι BaPa* edd | *ἠδικηκότας B* 16 *δὲ* scripsi *τὲ* libri *τε* Barb et coni Bast Greg. 845 *τι* Cam Mor Re qui *αὐτὸν δὲ μὴ παθεῖν* coni 17 *τοίνυν ἄμφω* scripsi e *BaPaBPL* *δὲ πάντα Vi* edd sed *γρ τοίνυν ἄμφω* in marg Mor 18 *γὰρ* om Barb Cam *αὐτοὺς* libri corr Barb 19 *δικαστήρια BaPa* | *ἄγουσιν Pa* 20 *αὐτοῖς B* *αὐτὸν BaPa* | *ἔλθῃ BaPa* | *συκοφαντία BaPa*

18. *κηδεῦσαι δὲ τίς οὐκ ἂν εὐχὴν ποιήσαιτο τῷ πεπαιδευμένῳ, γενέσθαι δὲ φίλος, ἐπιτήδειος δὲ κληθῆναι; ἐκεῖνοι γὰρ οὐχ ἑαυτοῖς μόνοις ἀρκοῖεν ἄν, ἀλλὰ καὶ τοῖς συνήθεσιν ἀντὶ λιμένων καθίστανται παρόντες ἐν ταῖς χρείαις, ἐν ταῖς ἀκαιρίαις συμμαχοῦντες, παραμυθούμενοι, βοηθοῦντες.* 19. *ὅπως δὲ λαμπρῶς ἐπὶ τὸ βῆμα παραπέμπονται, ὅπως δὲ ἀπὸ τοῦ βήματος λαμπρότερον, ἡνίκα ἂν εὐδοκιμήσωσι. καὶ μὴν εἰ χρημάτων | ἔρως αὐτοὺς εἰσέλθοι, πλησίον ὁ πλοῦτος* R IV 871 *καὶ οὗτός γε δίκαιος καὶ ἀπὸ τῆς τέχνης. ἔτι τοίνυν ἐν τοῖς κοινοῖς συλλόγοις ἀπόντας μὲν ποθοῦσι, παρόντων δὲ θαρροῦσιν. εἰρήνη δὲ καὶ πόλεμος δι' ἐκείνων πρυτανεύεται, εὐδοξίαν δὲ τοῖς γονεῦσι παρέχουσιν, εὔκλειαν δὲ τοῖς παισὶν ἀπολείπουσι. τὸ δὲ τοῦ γήρως αἰδέσιμον ἐπ' ἐκείνων διπλασιάζεται τῇ παιδείᾳ. τετελευτηκότων δὲ εἰκόνες ἐπ' ἀγορᾶς σῴζουσαι μήκει χρόνου τὴν μνήμην.*

20. *Ὁρᾷς τοὺς καρποὺς ὡς ἀπεναντίας τῇ ῥίζῃ πεφύκασιν; ὁρᾷς ὡς τοῦ πονῆσαι πλέον ἐστὶν ἐπὶ τῆς*

---

1 cf. t. IV 957, 10 R 18 cf. t. V 547, 1

---

1 *δὲ* scripsi e *BaPaP* cum Iacobsio Lect Sinteni *δὴ BL Vi* Barb *δεῖ* Cam Mor Re 2 *γενέσθαι δὲ φίλος* om *B* | *φίλον L* | *ἐπιτήδειον B* | *δὲ* inserui e *BaPaBL* *τε B* om *Vi* ed sed „*alter C. R. δὲ*" Mor Not 3 *οὐχὶ BaPa* | *μόνον B* | *ἀρκεῖν L* *ἀρκεῖεν* edd 4 *καθεστᾶσι BaPa* 7 *παραπέμπωνται Ba* 8 *εὐδοκιμήσωσιν PaBL* *εὐδομήσωσι Vi* | *εἰς Ba* 9 *αὐτοῖς B* 10 *γε* om *BaPa* | *καὶ* om *Pa* 11 *ἀπόντες Ba* | *παρόντες Ba* *παρόντας Pa* sed *ας* in *ων* corr „*al. C. R. παρόντας*" Mor 12 *θαρροῦσι LVi* 13 *εὐδοξίαν δὲ*] *καὶ εὐδοξίαν BaPa* 14 *ἀπολείπουσιν Pa* 16 *τετελευτηκότες Vi* | *σῴζουσαι* scripsi e *BaPaBVi* *σῴζουσ* cum 1 litt deleta *P* *σῴζουσα L* *σῴζουσι* edd 18 *τῆς* (*τοῖς Pa*) *ῥίζης BaPa* 19 *πεφύκασι Vi* | *ἐστὶν* inserui e *BaPaBPL* ut coni Re om *Vi* edd | *ἀπὸ* coni Re

παιδείας τὸ τερφθῆναι; ὁρᾷς ὅτι τὸ σκυθρωπὸν ἐκεῖνο καταλαμβάνει τὰ πάντων φαιδρότατα; καί μοι δοκεῖ τοῦτο εἰκότως οὕτως ἔχειν. ἐξετάσωμεν γὰρ πότερον μικρόν τι καὶ φαῦλον ἡ παιδεία καὶ τοιοῦτον ὃ κἂν διαπτύσαι τις ῥᾳδίως ἢ τοὐναντίον μέγα καὶ θαυμαστὸν καὶ τῷ κεκτημένῳ συμφορώτατον καὶ τοῖς οὐ κεκτημένοις ζηλωτόν. 21. *καὶ μὴν ἅ γε ἄρτι κατελέξαμεν ὑπὲρ αὐτῆς, δείκνυσιν ὡς οὐκ ἐν ἐσχάτῃ μοίρᾳ τεθείη δικαίως. πάντα γὰρ ἐφαίνετο λαμβάνουσα, κρότον, ἔπαινον, εὐπορίαν, στεφάνους, τιμὰς ζῶσι καὶ τελευτήσασιν. ἔχει τοίνυν τὴν αἰτίαν ἐγγύθεν δι' ἣν ἀνάγκη πονήσαντα κτήσασθαι.* 22. *καὶ γὰρ οὕτως ἔχει. τῶν πραγμάτων τὰ μὲν οὐδενὸς ἄξια, τὰ δὲ πολλοῦ. τῶν μὲν οὖν προτέρων διὰ ῥᾳστώνης ἡ κτῆσις, ἐπὶ δὲ τὸ δεύτερον παραπέμπουσιν οἱ πόνοι καὶ οὔτε τοῖς μικροῖς ἱδρῶτας συνέζευξεν ἡ φύσις οὔτε τοῖς μεγίστοις τὴν ῥᾳθυμίαν. ἀλλ' ἐφ' ἑκατέρου προοίμιον ἁρμόττον τῷ τέλει, ἐκεῖ μὲν τρυφή, ταλαιπωρία δὲ ἐνταῦθα.* 23. *δεῖ δὲ δυοῖν θάτερον, ἢ τὸ τῆς παιδείας εἰπεῖν μικρὸν εἶναι ἢ μὴ τοῦτο ὁμολογοῦντα δέχεσθαι τοὺς πόνους. εἰ μὲν γὰρ ὑπὲρ ἀπαιδευσίας ἤ τινος τῶν φαυλοτέρων*
R IV 872 *Ἰσοκράτης διαλεγόμενος τῶν τοιούτων | ταῖς ἀρ-*

1 *τὸ* om *B* | *ὅπως B* 3 *ἔχει Vi* 4 *τε L* | *ἂν BaPa* 5 *διαπτύσασθαί Vi* *διαπτύσαιτό* Barb Cam Mor | *ῥᾳδίως* scripsi *ῥᾴδιον* libri edd 6 *συμφερώτατον BaPa* 8 *δείκνυσιν ὑπὲρ αὐτῆς B* | *ἐν* inserui e *BaPaBPL* om *Vi* edd sed inserendum coni Re | *ἐσχάτη μοίρα* Barb 9 *φαίνεται Pa* 10 *τελευτήσασιν* scripsi e *BaPaBPL* *τετελευτήκασι Vi* *τετελευτηκόσιν* edd 12 *ποιήσαντα PLVi* Barb 14 *πρότερον PLVi* Barb Cam Mor | *κτίσις* Barb Cam Mor | *δὲ* om *L* 16 *ἱδρῶτα BaPaB* 17 *ἑκατέρου* scripsi *ἑκατέρῳ* libri edd 18 *ταλαιπωρίαι B* 19 *δυεῖν P* 20 *ὁμολογοῦντας BaPa* 21 *γὰρ* inserui e libris om edd sed „*in al. C. R. apte inseritur γὰρ*“ Mor Not

χαῖς ἔφησε προσεῖναι πόνους, πάνυ ἂν ἐμεμψάμην, μεσταὶ γὰρ ἡδονῆς ἐκείνων αἱ ῥίζαι· ἐπεὶ δὲ ὑπὲρ πράγματος οὗ τὴν δόσιν εἰς θεοὺς ἀναφέρειν ἄξιον λόγον ἀποφαινόμενος τὰς μὲν ἀρχὰς ἔφησεν ἀηδεστέρας εἶναι, τὴν δὲ τελευτὴν εὐφροσύνην, καὶ τὸ τοῦ πράγματος μέγεθος συναγωνίζεται τῷ λόγῳ. 24. τοιοῦτόν τι καὶ τὸ τῶν ἐμπόρων. οὐ γὰρ ἐπ' ἀμφότερα καθεύδουσιν οὐδὲ οἴκοι καθημένοις ἄνευ πραγμάτων ὁ πλοῦτος περιγίνεται, ἀλλὰ δεῖ μὲν προσεδρεῦσαι λιμένι καὶ τῷ ναυκλήρῳ διαλεχθῆναι, δεῖ δὲ ἐνθέμενον τά τε ὄντα καὶ τὸ σῶμα εἰς τὴν ναῦν γῆν μὲν ἀποκρύψαι, πελάγιον δὲ ἀναχθῆναι πολλὰς ἡμέρας ἐφεξῆς νυκτὶ συνάπτοντα. 25. καὶ οὔπω τὸ μεῖζον εἴρηται. πολλάκις γὰρ τὰ μὲν ἄρτι κατὰ πρύμναν ἑστηκότα λήγει πνεύματα, κάτεισι δὲ τὰ ἐναντιώτατα, καὶ πάλιν ὅθεν ἀνήχθησαν, ἐκεῖσε καταφέρονται καὶ κέρδος οὐδὲν τοῦ διηνυσμένου. σκηπτοὺς δὲ τοὺς ἐμπίπτοντας ἐγγὺς τῆς

---

7 Lib. ep. 1279. Men. com. *Πλόκ.* I 1 IV 189 M (III p. 115, 402, 1 K, ubi *ἐπ' ἀμφότερα νῦν* legendum esse Herm. XII 214 monui) 11 sq. cf. ad t. VII 558, 9

---

1 *τοὺς* ante *πόνους* *B* 2 *μεστὴ* *BaPa* | *ἐκείνων* scripsi e *BaPaBL* *ἐκεῖναι* *PVi* edd *ἐκείνης* Sintenis | *αἱ* om *BaPa* | *ἐπεὶ* scripsi *ἂν* *BaPa* *ἐὰν* *BPLVi* edd 3 *οὐ* Mor Re | *δόσιν τοῖς θεοῖς ἀναφέρεσθαι ἄξιον τὸν λόγον* *B* 5 *εὐφροσύνην* scripsi e *Ba* sed *φροσύνην* deletum, *PaB* *εὐφροσύνης* *PVi* edd sed *μεστὴν* addendum coni Re *ἀφροσύνης* *L* | *καὶ* om *BaPa* 6 *τοιοῦτόν τι* reposui e libris *τοιοῦτον* edd 7 *ἀμφότερα* scripsi e *BaPaB* *ἀμφόδοις* *PLVi* edd *ἀμφότερον οὓς* Cobet Mnem. N. S. IV 450 (= Coll. crit. 304) at cf. Herm. XII 214 not. 1 8 *οὐδὲ* scripsi *οὔτε* libri edd | *ἄνευ πραγμάτων* om *Vi* Barb Cam 9 *περιγίνεται* scripsi e *BaPaB* coll t. IV 231, 18 *παραγίνεται* *PLVi* edd 11 *ἐς* *PVi* edd 12 *ἀναχθῆναι* scripsi e *BaPaBP* et *γρ* in marg Mor *ἀνεχθῆναι* *L* *ἀναδειχθῆναι* *Vi* edd | *νυκτὶ* om *B* 14 *πνεύματος* *BaPa* 15 *ἐναντιώματα* *LVi* 17 *ἠνυσμένου* *BaPaB*

ὁλκάδος καὶ βροντὰς ῥηγνυμένας καὶ τὸ κλυδώνιον ἐπανιστάμενον καὶ τρικυμιῶν φόβον τίς ἂν πρὸς ἀξίαν διέλθοι; ταῦτα ἐκεῖνοι μετὰ πάσης ἀνδρείας ἐνεγκόντες ὠνοῦνται τῶν κινδύνων εὐπορίας. καὶ δεῖ δυοῖν θάτερον, ἢ πολλῶν ἀνέχεσθαι δυσχερῶν ἢ μὴ μείζω ποιῆσαι τὴν οὐσίαν. 26. *καὶ μὴν εἴ τις ἀντιθεῖναι βούλοιτο τῇ παιδείᾳ τὸν μέγιστον πλοῦτον, γέλως ἂν φανείη παρὰ ταύτην κρινόμενος. τί δὲ θαυμαστὸν εἰ προσδεῖται πόνων ἐκείνη μηδὲ τῶν ἐλαττόνων ἄνευ ταλαιπωρίας ἐθελόντων περιγίνεσθαι;* 27. *τὰ δὲ τῆς Δήμητρος οἱ γεωργοὶ πῶς σοι δοκοῦσι θερίζειν; ἆρα ἄσπαρτα καὶ ἀνήροτα κατὰ τοὺς Κύκλωπας; μῦθος ἐκεῖνα καὶ λόγος. ἀλλὰ πᾶσα ἀνάγκη θεραπεῦσαι βοῦν καὶ ἄροτρον πήξασθαι καὶ ἀναρρῆξαι τὴν γῆν εἰς αὔλακας καὶ σπόρου καιρὸν διαγνῶναι καὶ μὴ τοῖς ὀρνέοις* R IV 873 *ἐπιτρέψαι τὸ καταβληθὲν ἀνελέσθαι | καὶ τὰ τοῖς στάχυσι παραφυόμενα πρὸς λύμην ἐκκόψαι.* 28. *ἐπειδὰν δὲ πᾶν εἶδος ἐπιμελείας εἰσενέγκηται περὶ τὸ λήιον τὸ θέρος ἀναμείνας, οὕτω προσοίσει τὸ δρέπανον. καὶ οὐ δεῖ τοῦτο σκοπεῖν μόνον, ὅτι τὰς ἅλως*

1 Arist. nub. 587. Soph. Teucr. fr. 520, 12 N² 2 cf. t. I 149, 19 12 Od. ι 109

3 *μετὰ πάσης*] *πρὸς ἀξίαν B* | *ἀνδρίας BaBVi* edd 4 *ἐκ* ante *τῶν* libri delevi cum Sinteni coll t. V 271, 4 | *τῶν* om *BaPa* | *τῆς* ante *εὐπορίας Pa* | *εὐπορίαν B* 5 *μὴ* om *BaPa* 6 *αἰτιαθῆναι Vi* Barb 7 *βούλοιτο* scripsi e *BaPaBPL* et *γρ* in marg Mor *μέλλοιτο Vi* edd 8 *παρὰ* scripsi e *Ba Pa* ut coni Re *περὶ BPLVi* edd | *ταῦτα φαινόμενος B* | *δὴ* Sintenis 9 *μὴ δὲ PaVi* Barb Cam Mor 10 *ἐλθόντων Ba Pa* | *τὰ* scripsi e *BaPaBPL* *τοὺς Vi* edd sed „*idem C.* (*R.*) *τὰ δὲ*" Mor Not 11 *δοκοῦσιν ἐργάζεσθαι B* | *ἄρα Pa* 13 *βοῦν θεραπεῦσαι BaPa* 16 *καταβληθέν· ἀνελέσθαι δὲ καὶ PL* Barb et *γρ* in marg Mor 18 *ἐπειδὴ* Re | *ἐνδείξηται B* 20 *ἄλλως PL* Re

ἐπλήρωσεν, ἀλλ' ὅσους ὑποστάντι πόνους τοῦτο ὑπῆρξεν ἰδεῖν. ταὐτὰ δὲ καὶ περὶ τῶν ποιμένων εἴποι τις ἂν καὶ τῶν ἄλλων τεχνῶν ὧν οὐ κατὰ πόδας τὸ κέρδος.

29. *Καὶ τί δεῖ περὶ ταῦτα διατρίβειν ἔχοντα παραδείγματα χρήσιμα ἃ λαμπρότερον μαρτυρεῖ τῷ λόγῳ; τί γὰρ ἂν γένοιτο μεῖζον ἢ σεμνότερον Δημοσθένους; οὐ τοῦ στρατηγήσαντος ἐν Σικελίᾳ, ἀλλὰ τοῦ ῥήτορος λέγω. ἢ τί μᾶλλον ἐν καιρῷ τοῖς τε Ἀθηναίοις πάλαι καὶ μετὰ ταῦτα πᾶσιν ἀνθρώποις κατέστη; τίς οὐκ ἂν εὔξαιτο τὸν ἑαυτοῦ παῖδα μὴ ὅτι τοιοῦτον ἀποφανθῆναι παντελῶς, ἀλλ' ὁπωσοῦν προσάψασθαι τοῦ ζήλου;* 30. *ἐκεῖνος τοίνυν οὐχ ἑστιάσει καὶ πότῳ προσέχων τὸν νοῦν οὐδὲ Συβαριτικὴν παρατιθέμενος τράπεζαν οὐδὲ τὴν ἡδονὴν εὐδαιμονίαν κρίνων οὐδὲ τῇ γαστρὶ χαριζόμενος οὐδὲ πρὸς ἀνάπαυλαν τὸ πλεῖστον ποιούμενος εἰς τοσοῦτον προὔβη τῆς νῦν περὶ αὐτοῦ κατὰ πᾶσαν γῆν καὶ θάλατταν κατεχούσης δόξης.* 31. *ἀλλὰ πόθεν δὴ καὶ τίνι τρόπῳ τοιαύτην συνέλεξε δεινότητα; συνελόντι μὲν εἰπεῖν, ἐκ τοῦ τῶν πόνων συνεχοῦς, τὰ δὲ καθέκαστα, ἐκ τοῦ φεύγειν τὰ ῥᾷστα, ἐκ τοῦ προσ-*

---

6 Hermog. prog. 3, 23 7 cf. ad t. VII 414, 4; VI 261, 1. Dem. Ol. III p. 34, 21 13 cf. t. II 544, 7; III 386, 7

---

2 *ταὐτὰ* scripsi *ταῦτα* libri edd | *ἂν* inserui e *BaPa B* om *PLVi* edd 3 *κατὰ πόδας* scripsi e *B* coll t. IV 292, 4 *κατὰ παι*$^{δ'σ}$ *Pa* *κατὰ παιδείαν BaPL* edd *καταπαιδείαν Vi* 4 *τοιαῦτα B* 5 *τὸν λόγον Ba Pa* 6 *γένοιτο* om *Vi* Barb Cam 8 *τε* om *Vi* Barb Cam 9 *μεταταῦτα Vi* 10 *αὐτοῦ B αὐτοῦ BaPa* 12 *οὐδ' Ba οὐκ PaL* 16 *περὶ αὐτοῦ L* edd *περιαυτοῦ Pa* | *κατὰ* om *B* 18 *δὲ L* | *τοιαύτην — δεινότητα* scripsi e *BaPaB* *τοιαύτας — δεινότητας PLVi* edd 19 *τοῦ συνεχοῦς πόνου BaPa* 20 *καθ' ἕκαστα B* | *ῥᾴδια B* | *προστετηκέναι* scripsi e *B* cum Cobeto Coll 304 *προστετυχηκέναι Ba PaPLVi* edd

τετηκέναι βιβλίοις, ἐκ τοῦ τὸ ὕδωρ τοῦ οἴνου χρησιμώτερον νομίσαι τῷ γε ἐν λόγοις βιοῦντι, ἐκ τοῦ τὸν καιρὸν τοῦ ὕπνου καιρὸν ἔργων ποιήσασθαι. 32. *ὅς γε οὕτω σύμπαντα ἑαυτὸν ἀνέθηκε τοῖς μαθήμασιν ὥστε ὑπὸ γῆν ὀρύξας οἴκημα καινήν τινα καὶ ἄτοπον ἐμηχανήσατο οἴκησιν, ὡς ἂν μηδεὶς θόρυβος αἴσθησιν παρέχων ἐκκρούῃ τῶν προκειμένων τὸν λογισμόν. οὔπω τὸ μέγιστον εἴρηται. ἐκεῖνος γὰρ τὰς προόδους μέγιστον ἐμπόδισμα ἡγούμενος καὶ βουλόμενος αὑτῷ τετάσθαι τοὺς πόνους ξυρεῖν ᾠήθη δεῖν τῆς κεφαλῆς τι μέρος τὴν οἴκοι μονὴν ἐντεῦθεν ἑαυτῷ κατασκευ-* R IV 874 *αζόμενος.* 33. *οὑτωσὶ μὲν δὴ ὁ Δημοσθένης | πικρᾶς ἀπήλαυσε τῆς ῥίζης, ἀλλ' ἀπήλαυσε μέντοι καὶ τῆς τῶν καρπῶν ἡδονῆς. ἀντὶ γὰρ τῶν λυπηρῶν ἐκείνων σῴζειν οὐ μόνον τοὺς Ἀθηναίους, ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας ἐπεπίστευτο καὶ πάντα χαίρειν ἐάσαντες εἰς ἐκεῖνον ἔβλεπον μόνον δημαγωγὸν εὔνουν, σύμβουλον ἀγαθόν, ῥήτορα δεξιόν, συνετόν, ὀξύν, πάντα τὰ ἄριστα καλοῦντες καὶ πάντα ἐκεῖνον ἡγοῦντο νόμους τιθέντα, ψηφίσματα γράφοντα, πρεσβείας ὑφι-*

---

1 sq. cf. Lib. vit. Dem. § 7 4 sq. Hermog. l. l. Apth. prog. 3, 65. Plut. Dem. 7, 3. Cf. Arn. Schaefer, Demosth. II 299 sq.

---

1 *τοῦ* inserui e libris om edd 2 *γε* om *BaPa* 4 *οὕτως BPL* | *αὐτὸν BaPaB* | *ἐνέθηκε ταῖς μαθήσεσιν Ba* 6 *ὡσὰν Pa* 8 *προσόδους BaPa* 9 *αὐτῷ BaPaBPL* edd 10 *τετάσθαι* scripsi e *Ba* sed *θαι* deletum, *PaBLVi* *τετᾶσθαι P* *τετάχθαι* edd | *ξυρᾶν B* | *τῆς κεφαλῆς τι* scripsi e *BaPa* *τῆς κεφαλῆς τὸ B* *τῆς κεφαλῆς PLVi* *τὸ τῆς κεφαλῆς* edd 11 *αὐτῷ Pa* 12 *δὴ BaPa* 13 *πικρᾶς* scripsi ut coni Re *πικρῶς* libri edd | *ἀπέλαυσε* (1 et 2) *B* cf. p. 71, 14; t. VII 257, 10 *ἐπέλαυσε* coni Re 14 *μὲν* ante *γὰρ PLVi* edd delevi 16 *ἄλλους* inserui e *BaPaB* om *PLVi* edd 18 *συνετόν, ὀξύν* om *B* 19 *τὰ* om *P* | *καλοῦντος L* | *πάντας B* 20 *τιθέντα*

στάμενον, λέγοντα, πείθοντα. 34. καί τοι τὴν κεφαλὴν ἐκείνην ἣν ἐδόκει διαθεῖναι κακῶς ὕστερον ἐστεφανωμένην ἐδείκνυεν. ἀντὶ δὲ τῆς καθείρξεως ἐκείνης καὶ στενῆς διατριβῆς εἰς ἅπασαν τὴν οἰκουμένην τὸ κλέος ἐξήνεγκε καὶ τετελευτηκὼς οὐκ ἔληξεν, ὡς ἂν εἴποι τις, τὸν βίον, ἀλλὰ τελειοῖ τὰς ψυχὰς καὶ νέων καὶ πρεσβυτέρων οἷς ἔρως τῆς ῥητορικῆς. καὶ οὔτε ῥίζης ἀηδεστέρας οὔτε καρπῶν βελτιόνων οὐδεὶς ἐγεύσατο.

35. Τί δὲ ὁ Λυκοῦργος ἐκεῖνος ὁ κατ' αὐτὸν ἐκεῖνον γεγονὼς τὸν Δημοσθένην; ἆρ' ἢ φαῦλός τις ἔδοξεν εἶναι ῥήτωρ τοῖς Ἀθηναίοις ἢ τὸ μέγας εἶναί τε καὶ νομίζεσθαι χωρὶς τῶν πόνων ἐκτήσατο; καὶ τίς οὕτως ὀψιμαθὴς ὅστις οὐκ ἀκήκοε τὸ κλινίδιον καὶ τὸν τρόπον ᾧ τὸν ὕπνον διέκοπτεν;

36. Ὅτι τοίνυν σωφρόνως ὁ λόγος ἔχει, μετὰ πολλῶν τῶν εἰρημένων Ἡσίοδος ὁμολογεῖ, πάντως δὲ οὐδεὶς οὕτω θρασὺς οὐδὲ πάντα τολμῶν, ὅστις ἂν ἐπι-

13 Ps. Plut. vit. X or. Lyc. p. 842 D 16 Hermog. prog. l. l. Apth. prog. 3, 66 17 cf. arg. ad Dem. Aph. p. 844, 3

νόμους *BaPa* | ὑφιστάμενον scripsi e *BaPaB* ἐφιστάμενον *PL* ἐπιστάμενον *Vi* edd πρεσβείαις ἐφιστάμενον coni Sintenis Graux 1 καὶ γάρ τοι *B* καὶ γὰρ *BaPa* 4 ἅπασαν scripsi e *BaPaB* πᾶσαν *PLVi* edd 5 ἐξήνεγκεν *Vi* Barb | ἤλεγξεν *BaPa* | ὡσὰν *PLVi* edd | εἴπῃ *BaPa* edd 6 τελειοῖ scripsi e *BaPa* τελεῖ εἰς *B* τελεῖ *PLVi* edd 8 οὐδὲν εἰσεγεύσατο *BaPaL* οὐδὲν εἰργάσατο *B* 9 ἐκεῖνος om *BaPa* 10 δημοσθένη *Pa* | ἤ *BaPa* | τίς *BaPaL* τί *P* τὶς edd 11 μέγας scripsi e *BaPaB* μέγα *PLVi* edd | τε inserui post εἶναι e *B PLVi*, ante εἶναι Barb Cam om *BaPa* Mor Re 12 τῶν om *Pa* 13 ἀκήκοε scripsi e *Pa* ἀκήκουέ *Ba* ἤκουσεν *B* ἤκουέ *PLVi* edd | τὸ κλινίδιον scripsi auctore Iacobsio Lect App Pors 332 coll Ps. Plut. l. l. τι καινὸν *BaPaPLVi* edd om *B* | τι et καὶ delenda censuit Sintenis | ἢ *B* | ἢ τὸ καινὸν post τρόπον *B* 14 τοὺς ὕπνους ἐξέκοπτεν *B* 15 ὁ λόγος σωφρόνως *B* 16 ὁμολογεῖ scripsi e *BaPaBPL* et γρ in marg Mor μαρτυρεῖ *Vi* edd | γὰρ *B* 17 οὕτως *PaPL* | θρα *Vi* | ὃς *Pa* | ἐπισκώψεις *B*

σκήψειε τῷ μάρτυρι. οἶμαι γὰρ δὴ καὶ τοὺς παῖδας τοῦτο ἐγνωκέναι, ὡς μάλιστα δὴ τῶν ὑμνουμένων ποιητῶν Ἡσίοδος ὁ Μουσόληπτος γένοιτο καὶ παρ᾽ ἐκείνων προσταχθείη γένος τε θεῶν καὶ πολλὰ ἄλλα χρηστὰ τοῖς ἀνθρώποις ᾄδειν. ἐκεῖνος τοίνυν ἐν τοῖς ἔπεσιν ὑπὲρ ἀρετῆς διαλεγόμενος ἐφ᾽ ὑψηλοῦ μὲν αὐτὴν καθῆσθαί φησιν, ὁδὸν δὲ τὴν ἐπ᾽ αὐτὴν ἀνάντη τε εἶναι καὶ χαλεπήν, ἣν ἀνύσαι χρὴ μετὰ πολλῶν ἱδρώτων τῷ γε τῆς ἀρετῆς ἐπιθυμοῦντι λαβέσθαι. 37. *εἰς ἀμφοτέρων ὁ λογισμὸς καὶ πρὸς ταὐτὸ φέρεται ταῖς γνώμαις,*
R IV 875 *ἐν δὲ τοῖς ὀνόμασι | τὸ διαλλάττον. ὅπερ Ἰσοκράτης παίδευσιν, τοῦτο ἐκεῖνος ἀρετὴν ἔφη, ὃ δὲ οὗτος ῥίζαν, τοῦτο ἐκεῖνος οἶμον, καὶ πάλιν ὅπερ Ἡσίοδος τραχεῖαν, τοῦτο Ἰσοκράτης πικράν.* 38. *ὁ δὲ παρὰ μὲν τῶν θεῶν εἰπὼν ὠνεῖσθαι τοὺς ἀνθρώπους τὰ ἀγαθά, ὠνεῖσθαι δὲ οὐκ ἀργυρίου καὶ χρυσίου καὶ τῶν τοι-*

3 Plut. de virt. mor. p. 452 B 4 Hes. theog. 24. 32 6 sq. Hes. op. 289 sq. 14 cf. ep. 175. 611. 351. t. IV 123, 10; 489, 11. Hermog. l. l. Epicharm. fr. 287. Aesch. fr. 340 N[2] (e numero fragmentorum Aeschyleorum eximendum)

1 *δὴ* om *BaPa* | *τοῦ παῖδας* post *παῖδας P* sed del m[2], *Vi* 2 *δὴ* om *BaPa* 3 *ὁ* om *BaPaB* 4 *θεῶν τὲ B* | *πολλὰ ἄλλα χρηστὰ* reposui e libris *ἄλλα πολλὰ καὶ χρηστὰ* edd 6 *αὐτὴν* om *B* 7 *φησιν, ὁδὸν δὲ* scripsi e *B* *φησι. δοὺς δὲ τὸ* reliqui libri edd *δύσβατον δὲ τὴν ἐπ᾽ αὐτὴν ὁδὸν* Iacobs Lect | *ὁδὸν* post *αὐτὴν* edd delevi 8 num *ἀνῦσαι*? at cf. ad t. VI 470, 1 | *τῷ γε*] *τὸν Ba τῶν Pa* 9 *ἐπιθυμοῦντα BaPa* 10 *καὶ* scripsi e *BaPaBPL* ut coni Re *ὁ Vi* edd | *ταὐτὸ φέρεται ταῖς γνώμαις* scripsi e *BaPaB* sed *ταυτὸν BaPa* et *φέρονται B* *τὸ αὐτὸ φέρων τὰς γνώμας PLVi* edd 12 *ἔφησεν BaPa* 13 *οἶμον BaBL* | *καὶ πάλιν*] *πάλιν Pa πάλιν δὲ B* | *Ἡσίοδος τραχεῖαν, τοῦτο Ἰσοκράτης πικρὰν* reposui e libris *Ἰσοκράτης πικράν, τοῦτο ἐκεῖνος τραχεῖαν* edd sed „*legitur in al C. R. Ἡσίοδος τραχεῖαν, τοῦτο Ἰσοκράτης πικράν. verbis traiectis mens eadem manet*“ Mor Not 14 *περὶ BaPa* 15 *τοὺς ἀνθρώπους* scripsi ut coni Re *τοῖς ἀνθρώποις* libri edd

ούτων, ἀλλὰ πόνων ἆρ' οὐ δοκεῖ καλῶς μὲν Ἰσοκράτει, καλῶς δὲ Ἡσιόδῳ συνᾴδειν;

39. *Εἶθ' ἡμεῖς οὕτως ἕξομεν ἀγνωμόνως ὥστε τοσούτων ἡμᾶς αὐτοὺς ἀγαθῶν ἀποστερήσομεν τῷ τὰ πρότερα δεῖσαι καὶ οὐ τῶν μὲν ἐπιθυμήσομεν, τὰ δὲ ἀνδρείως ὑποστησόμεθα; καὶ πῶς οὐ δόξομεν πολλῶν καὶ σοφῶν ἀνδρῶν κατεγνωκέναι λῆρον; πῶς δὲ οὐκ ἀνάγκη δυοῖν θάτερον δοκεῖν, ἢ ψέγειν ἃ θαυμάζειν ἄξιον ἢ μὴ πείθεσθαι τούτοις ἃ δὴ θαυμάζομεν;*

δ'.

Θεόφραστος ἐρωτηθεὶς τί ἐστιν ἔρως ἔφησε πάθος ψυχῆς σχολαζούσης. R IV 1122

1. *Ἐμοὶ δοκεῖ καὶ Θεόφραστον ἐπαινεῖν, ὃς ἐπὶ φιλοσοφίᾳ λαμπρὰν ἐκτήσατο δόξαν ζηλωτὴς Ἀριστοτέλους τοῦ διδασκάλου γενόμενος καὶ τοὺς ἐκείνου πόνους καὶ τὰς ἐκείνου διδασκαλίας δείξας τοῖς ἑαυτοῦ συγγράμμασιν, ᾧ καὶ τοὔνομα διὰ τὴν περὶ τὸ λέγειν ὑπῆρξεν ἀρετὴν τῶν τὸν ἐκείνου λόγον τεθαυμακότων προσηγορίαν θεμένων αὐτῷ τὸν Θεόφραστον.* 2. *τοῦτον ἤρετό τις προσελθὼν ἀξιώσας παρ' αὐτοῦ μανθάνειν τί ποτ' ἄρα χρὴ νομίζειν τὸν ἔρωτα καὶ περὶ τί φύεται τῶν ὄντων. ὁ δὲ πρὸς αὐτὸν ἔφη· τὴν ἀφειμένην τῶν φροντίδων ψυχὴν ταύτην τοῖς*

---

8 Hermog. et Apthon. ll. ll. 11 Stob. floril. LXIV 29. Ovid. rem. am. 135 sq. Diog. L. VI 2, 51 17 Diog. L. V 2, 6. Olymp. vit. Plat. 34. anon. vit. Plat. 22. Steph. Byz. s. v. Ἔρεσος

---

1 *ἆρα* *BPVi* edd *ἄρα* *L* | *μὲν* om libri inser Barb | *Ἰσοκράτης* *B* 2 *καλῶς δὲ* om *B* *καὶ* *BaPa* 4 *αὐτοὺς* inserui e *BaPaB* om *PLVi* edd | *ἀποστερῆσαι* *B* 7 *ἀνθρώπων* *B* | *δ'* *Pa* 9 *μὴ* om libri Barb inser Cam | *δὴ* om *BaPa* 10 *δ'.* inserui *ἑτέρα χρεία* *B* *χρεία* edd 11 *πάθος ἔφη* Stob. 15 *ἐκείνους* Re 21 *ποτε* edd

ἐρωτικοῖς κατέχεσθαι πάθεσι καὶ ταύταις ἐνοχλεῖν τὸν ἔρωτα ἔγνωμεν, ὁπόσας ἔστιν εὑρεῖν τῶν ἄλλων πραγμάτων κεχωρισμένας. 3. *εὖ γε τοῦ λόγου, Θεόφραστε. καλῶς ἐμοὶ κατανενοηκέναι δοκεῖς τοῦ πάθους τὰς ἀφορμάς. μαρτύριον δὲ τῶν εἰρημένων ἐναργὲς τὸ τοὺς ὀρθῶς ἔχοντας λογισμοὺς τούτῳ τῷ λόγῳ συμβαίνειν. ὅτι δὲ τοῦτο τῶν μετεχόντων ἀληθείας ἐστὶ τὸ παρὰ τοῦ Θεοφράστου ῥηθὲν γνῶναι ῥᾴδιον.*

4. *Ἐνθυμηθῶμεν γὰρ οὑτωσὶ καὶ λογισώμεθα ψυχὴν εἶναί τινα μήτε παιδείας ὀρεγομένην, δι' ἧς ἢ ῥητορεύειν ἔστιν ἢ φιλοσοφεῖν, μήτ' αὖ μετιοῦσαν τὴν τῶν χειρῶν ἐργασίαν, οἷον χαλκευτικὴν ἢ τεκτονικὴν ἢ τὸ ναυπηγεῖσθαι ναῦς ἢ τὴν τῶν οἰκοδομούντων ἢ τὴν ὑφαντικὴν ἤ τινα τοιαύτην ἑτέραν ἧς τὸ ἔργον ἐν ταῖς χερσίν. εἰ τοίνυν τοιαύτην εὑρίσκοιμεν ψυχὴν ἀργίᾳ*
R IV 1123 *χαίρουσαν, ὄκνοις ἡδομένην, ἀτεχνίᾳ συνοῦσαν,* | *ἆρα τὴν τοιαύτην οὐκ ἂν ἀποφαινοίμεθα φυγὴν αὐτῶν σπουδασμάτων ἤ τινα χείρω νοσεῖν; ἐπεὶ καὶ τὸν ἀντὶ τοῦ γεωργεῖν οἴκοι καθήμενον καὶ καταρραθυμοῦντα τῆς γῆς καὶ τὸν ἀντὶ τοῦ πλεῖν ἐν τῇ γῇ μένοντα μάτην οὐ πεπιστεύκαμεν τῇ διανοίᾳ παρέχειν σχολὴν ὥστε τῶν ἀτόπων ἐρᾶν;* 5. *καὶ γὰρ οὕτως ἔχει καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν. ὁ περὶ μηδενὸς τῶν ἀναγκαίων πεφροντικὼς μηδέ γε τῇ ψυχῇ μεριμνήσας μηδὲ ὑπό τινων ἐπιτηδευμάτων ἑλκόμενος οὗτος ἀντὶ τοῦ τῶν βελτιόνων ἐρᾶν ἃ τῆς ἀργίας ἐστὶν*

---

10 *Ἐνθυμηθῶμεν* scripsi ex *EsPalVat* *θῶμεν* *B* edd 16 *τοίνυν* om *B* | *ψυχὴν* scripsi *φύσιν* libri edd 18 *φυγὴν* scripsi *τῶν* libri edd 19 ⟨*νόσον*⟩ *νοσεῖν*? 26 *μηδ'* H. de Rohden de mundi miraculis 42 | *ὑπό* scripsi cum Sinteni *ἐπὶ* libri edd | *τινων* om *Vat*

ὑπομένει τῆς τοῦ σώματος ἐπιθυμίας ἡττώμενος καὶ ταύτῃ δουλεύων καὶ ταύτην αἱρούμενος, οὐκ ἐπιτιθεὶς τοῖς ἔρωσι χαλινὸν τὴν ἐν τοῖς ἔργοις σχολήν. 6. *καὶ εἰκότως. ὁ γὰρ μήτε δικάζων μήτε νομοθετῶν μήτε δημηγορῶν μήτε ψηφίσματα γράφων μήτε συνηγορῶν μήτε πρεσβεύων μήτε στρατηγῶν μήτε πολεμῶν μήτε περὶ τὴν γῆν πονῶν, μὴ περὶ τὸ πλεῖν ἀσχολούμενος, μὴ λόγων ἐρῶν, ὅλως δὲ μηδὲν τῶν ἐν ἀνθρώποις μετιὼν ἐξ ὧν ἔστιν ἢ πόλιν ὠφελεῖν ἢ τὸν αὑτοῦ βίον οἰκονομεῖν, οὗτος τίνος οὐκ ἂν ἐρασθείη τῶν πονηρῶν ἐπιθυμιῶν, αἷς τὸ σῶμα διδοὺς ἥκιστα τῇ ψυχῇ σωφρονεῖ; καὶ τοὺς τοιούτους ἂν εὕροις μεθύοντας, κωμάζοντας, γάμοις ἐπιβουλεύοντας, κόρας ἁρπάζοντας, διασπῶντας τὴν σωφροσύνην, ἁπλῶς εἰπεῖν, μόνον ἐρᾶν ἀντὶ τοῦ σπουδάζειν εἰδότας.*

7. *Κατενοήσαμεν τὴν ψυχὴν ἀπὸ σπουδαίων σχολάζουσαν. ἴδωμεν δὲ καὶ τὴν ἑτέραν ἣ τοὐναντίον διακειμένη φιλοπόνῳ τῇ φύσει κέχρηται. γνῶναι δὲ ῥᾴδιον οὑτωσί. πονείτω τις ἐν λόγοις καὶ τούτων μόνον ἐράτω. ὁ τοιοῦτος οὐκ ἂν εἰς ἑτέρους ἔρωτας ὀλισθαίνοι τῷ βελτίονι κατεχόμενος. ἄλλος ἐργαζέσθω τὴν γῆν, ἕτερος πλείτω τὴν θάλατταν. ὁ μὲν χαλκευέτω, τῷ δὲ μελέτω τεκτονικῆς, ἑτέρῳ δὲ στρατηγεῖν, τῷ δὲ πρεσβεύειν, καὶ τῷ μὲν νομοθετεῖν, τῷ δὲ ψηφίσματα γράφειν, καὶ τῷ μὲν πολεμεῖν, τῷ δὲ διατιθέναι τὰς πανηγύρεις.* 8. *τίς οὖν ἂν ἅψαιτό ποτε τῶν οὕτως ἐχόντων*

16 Xen. Cyr. VII 5, 52. Plut. praec. ger. reip. p. 820 D

1 *ἑπομένους Vat* 2 *ταύτῃ PalVat* 3 *καὶ εἰκότως* om *PalVat* *καὶ μάλ' εἰκότως* coni Herm. de Rohden l. l. 9 *τὸν*] *καὶ* Patusa | *αὑτοῦ* libri All Re 20 *ὀλισθαίνει* edd 26 *τί* *B* | *οὖν ἂν* scripsi *οὖν BEs* edd om *PalVat* *ἂν* Sintenis cf. p. 106, 15

ἄτοπος ἔρως; οὐκ ἔστι. τοῦ γὰρ τὴν ψυχὴν ἀνθέλκοντος ὄντος πᾶσα ἀνάγκη καὶ τὸ σῶμα ταῖς σπουδαῖς R IV 1124 | *ὑπουργεῖν. καὶ τοὺς τοιούτους καλοῦμέν τε καὶ νομίζομεν σώφρονας, οἷς ἐπιβέβληται τῇ ψυχῇ χαλινός, ὃ μικρῷ πρόσθεν ἔφην, τὰ μάταια τῆς ψυχῆς κατείργων κινήματα καὶ ποιῶν αὐτὴν ἐν τῷ φιλοπονεῖν μὴ τοῖς σώμασιν εἴκειν ἀργοῦσι μηδέ γε πρὸς τὴν ἐπιθυμίαν ἐξίστασθαι μηδὲ τῇ τοιαύτῃ δουλεύειν φύσει, ἀλλ' εἶναι πάντων ἀμείνονα τῶν πεφυκότων ἐπὶ τὰ τοιαῦτα καθέλκειν.* 9. *ἂν ἄγῃς ἵππον ἄνευ πόνων καὶ τοῦτον ἀφεὶς παραδιδόναι τοῖς πωλοδάμναις ἄγων τῇ φάτνῃ προσδήσῃς τρυφᾶν γε μόνον, οὐκέτι δὲ καὶ πρὸς δρόμον ἐξάγων, ἆρ' οὐκ ἂν ἴδοις αὐτὸν αὐτὸν ἐπιτρέποντα τῇ ῥύμῃ τῆς φύσεως καὶ κεχρῆσθαι τῷ κεκτημένῳ γενόμενον ἀνεπιτήδειον; τὸν δέ γε προσομιλοῦντα τοῖς πόνοις καὶ συνόντα τοῖς δρόμοις καὶ μὴ κατεχόμενον ὄκνοις ἆρ' οὐκ ἤδη καὶ τὴν ἐνοῦσαν εὑρήσομεν ἀποβαλόντα θρασύτητα καὶ πείθεσθαι τὸν ἐπιστάτην ἄγειν εὐκόλως ἐπιστάμενον; ταὐτὰ δὴ συμβαίνειν οἷον καὶ περὶ τοὺς ἀνθρώπους· αἱ φύσεις ἐν τῷ πονεῖν σωφρονοῦσιν, ἐν τῷ ῥᾳθυμεῖν ἀκολασταίνουσιν, καὶ τὸ κατέχον οὐκ ἔστι τὸν οὐκ ἐθέλοντα κατέχεσθαι τοῖς πόνοις.*

10. *Ὁ Δημοσθένης πόνων ἐπιθυμῶν καὶ τοὺς ἀτόπους*

---

5 cf. p. 99, 3

---

5 *μικρῷ* scripsi *μικροῦ* libri edd 7 *εἴκειν* scripsi e *B* cum Patusa et Sinteni *ἥκειν EsPalVat* edd | *ἀργοῦσιν* edd | et 8 *μὴ δὲ* libri edd 10 *ἄγῃς* scripsi cum Sinteni *ἄγοις* libri edd 13 *ἄρα* edd | *αὐτὸν αὐτὸν* scripsi *αὐτὸν B* edd *τὸν αὐτὸν EsPalVat* 19 *ταὐτὰ* scripsi *ταῦτα* libri edd · 24 *καὶ* om *B*

ἔφευγεν ἔρωτας. τῶν ἡρώων ὁ Διομήδης σωφρονέστατος ἦν, ὅτι καὶ πονεῖν ἐπιτήδειος, τῶν φιλοσόφων ὁ Πυθαγόρας, ⟨τῶν⟩ στρατηγῶν ὁ Θεμιστοκλῆς ⟨καὶ ὁ Περικλῆς⟩, ὁ μὲν ἔργον ἔχων τὸ φιλοσοφεῖν καὶ τοῖς θεοῖς ὁμιλεῖν, οἱ δ' ὁτιοῦν ἐχρῶντο καλῶς καὶ βουλῇ καὶ χειρὶ τὴν ἐνεγκοῦσαν ἐκσώζοντες. 11. *ἐπεὶ πότ' ἂν ἔρως εἰσῆλθε Θεμιστοκλέα τοιοῦτος κατὰ Μήδων παραταττόμενον καὶ περὶ τῆς πρὸς ἐκείνους βουλευόμενον μάχης, περὶ τῶν λογίων ἐνθυμούμενον καὶ τὸ ξύλινον εὑρίσκοντα τεῖχος, τὰς ναῦς, πότε τὸν Περικλέα τὸν πάνυ, τὸν Ὀλύμπιον, ᾧ τὴν προσηγορίαν ἐφύτευσαν οἱ πόνοι; καὶ μὴν ἐμοὶ δοκεῖ καὶ τὸν Ἀριστείδην τὸ δικαιοσύνης ἐπιθυμεῖν καὶ περὶ τοῦτον ἐσπουδακέναι τὸν βίον ἁπάσης ἀμείνω πεποιηκέναι χείρονος ἐπιθυμίας καὶ δυνατώτερον.* 12. *εἰ δέ μοι λέγεις Καλλίαν τὸν δημόσιον ἢ Πιττάλακον ἢ μίμους γελοίων τε ⟨καὶ⟩ ποιητὰς ἐπονειδίστων ᾀσμάτων ὅτι τοιούτοις ἐδούλευον ἔρωσιν, οὐκ ἂν θαυμάσαιμι | πρὸς τὴν ἐν τῷ βίῳ ῥᾳθυμίαν ὁρῶν καὶ* R IV 1125 *ὡς οὐδὲν ἦν τῶν ἀξίων ἐπαίνου πράττοντας ἐκείνους ἰδεῖν καὶ τῇ διανοίᾳ παρεχόντων σχολήν.*

13. *Ταῦτα καὶ ποιητῶν οὐκ ὀλίγοι καὶ φιλοσόφων*

---

6 cf. t. I 463, 9   9 cf. ad t. V 466, 11   10 Xen. mem. III 5, 1   11 Plut. Per. 8, 2. Theon. prog. 8   15 Dem. Ol. II § 19 p. 23, 19 sq. c. schol. | cf. ad t. VI 403, 20. Suid. s. v. *Τίμαρχος*   16 Dem. l. l.

---

3 *τῶν* et *καὶ ὁ Περικλῆς* inserui om libri edd   4 *οἵ* libri edd   6 *πότε* *BEs* | *ἦλθεν* *EsPalVat*   8 *ἐκείνους* scripsi e *BEs* cum Iacobsio Lect *ἐκεῖνον* *PalVat* edd   12 *τὸ* inserui post *Ἀριστείδην*, post *καὶ* *B* Sintenis om *EsPalVat* edd   15 *Πιττάλακον* scripsi Mus. Rhen. XXXII 91 *Καλλίαν ἢ τὸν δημόσιον Πιττάλακον* coni Ruhnkenius ep. ad Wyttenb. 67 ed. Kraft. *πιττακὸν* libri edd   16 *καὶ* inserui om libri edd   19 *ἦν* om *PalVat*   21 *καὶ φιλοσόφων* om *PalVat*

καὶ τῶν ἐπὶ ῥητορικῇ μέγα δεδυνημένων, εἰ καὶ μὴ μνημονεύειν ἔχω τῶν ὀνομάτων, ἐπῄνεσαν, ἐθαύμασαν, ἐν τῷ λέγειν ἐπαίδευσαν.

14. *Εἴ τις οὖν ἐπιθυμεῖ κακὴν ἐπιθυμίαν ἐκφεύγειν, ἐράτω τῶν βελτιόνων, ἵνα μὴ τῶν χειρόνων, καὶ σχολαζέτω τοῖς κρείττοσιν, ἵνα μὴ τοῖς βλάπτουσι. ταῦτα δὲ ἂν εἴη, καθάπερ ἔδειξα τοῖς λογισμοῖς, οἱ πονηροὶ τῶν σωμάτων ἔρωτες.*

1 *μὴ* inser *B*[2] 5 *ἐρέτω* *Es*

IV.

Γνῶμαι.

Sententias duas inscriptas *οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα*, quarum altera priorem quidem suum in usum convertit, sed vix Libanium ipsum auctorem habuit, continent hi quidem 7 codices:

1. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 10. Vide t. I p. 25 sq. Contuli.

Ex hoc descriptus est

2. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) (= E) saec. XVI fol. 38v. Vide t. I p. 326 sq.

3. Parisinus gr. 3014 (= P) saec. XIV fol. 11. Vide t. II p. 375 sq. Adhibitus est a Morello. Meum in usum contulerunt Carolus Graux et Henricus Lebègue.

Ex eodem atque hic exemplari descriptus est codex

4. Laurentianus LVIII 2 (= L) saec. XV fol. 104. Vide supra p. 7 sq. Contuli.

E communi cum his duobus codicibus exemplari fluxit

5. Vindobonensis Phil. graec. CCLIX (= Vi) saec. XV fol. 167v. Vide supra p. 8. Contuli.

Ratione quam stemmate supra p. 62 prolato illustravi cum *B* cohaeret

6. Escurialensis Φ-III-19 (235 in catalogo Milleriano) (= Es) saec. XVI fol. 17. Vide t. IV p. 325 sq.

E *Vi* per editionem Barbati fluxit

7. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide supra p. 8 sq.

Priorem tantum sententiam continent hi quinque codices:

1. Barberinus II 61 nunc Vaticanus Barb. 240 (= Ba) saec. XIII/XIV valde lacer fol. 22. Vide supra p. 1 sq. Contuli

Ex hoc nondum mutilato descriptus est

2. Parisinus gr. 2918 (= Pa) saec. XV fol. 154ᵛ. Vide supra p. 5 sq. Contuli.

3. Vaticanus Palatinus gr. 148 (= Pal) saec. XV fol. 74. Vide t. II p. 190 sq.

et

4. Vaticanus Palatinus gr. 277 (= Vat) saec. XVI fol. 241ᵛ qui ex eodem exemplari fluxit, quod quomodo cum *B* cohaereat stemma p. 62 prolatum indicat. Vide t. II p. 192.

5. Oxoniensis collegii Lincolniensis 25 (= Li) saec. XV fol. 9ᵛ qui proxime a *B* stat. Vide t. I p. 378 et supra p. 9.

Ex his quos in censum vocandos esse duxi codices sex *BaPaBPLVi* rursus in duas discedunt familias quarum prior codicibus *BaPaB*, altera *PLVi* continetur. Necessitudinis autem vinculum quod inter singulos codices intercedit stemma supra p. 15 prolatum tibi reddit.

De editionibus et recentiorum emendandi conaminibus ad ea te delego quae de chriis supra p. 61 dixi.

Tertiam sententiam inscriptam *Δεῖ δὴ χρημάτων καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων*, de qua idem iudico atque de chria quarta (p. 61 sq.), iidem qui illam quinque codices servaverunt:

1. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 9ᵛ. Vide t. I p. 25 sq. Contuli.

Ex hoc descriptus est

2. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) (= E) saec. XVI fol. 36. Vide t. I p. 326 sq. Contuli.

Ad commune vero cum *B* cognatum exemplar redeunt duo codices:

3. Vaticanus Palatinus gr. 148 (= Pal) saec. XV fol. 73. Vide t. II p. 190.

et

4. Vaticanus Palatinus gr. 277 (= Vat) saec. XVI fol. 240ᵛ. Vide t. II p. 190. Lectiones huius atque alterius

Palatini codicis Allatius margini Barberini adscripsit, unde eas sumpsi.

5. Escurialensis Φ-III-19 (235 in catalogo Milleriano) (= Es) saec. XVI fol. 77. Vide t. IV p. 325 sq. Contuli.

Quattuor locos primae sententiae praebent excerpta codicis Vaticani gr. 305 fol. 2^{v} quae e codice cum *B* cognato fluxerunt. Vide supra p. 30.

In lucem protracta est e codice Barberino adhibitis etiam duobus Palatinis[1]) per Allatium in Excerptis Variis Graecorum sophistarum (= All) p. 352—359, cuius textus a Reiskia t. IV p. 1125—1127 (= Re) repetitus est.

---

1) E *Vat* recepit p. 118, 13 ἄγεσθαι, quod male e linea sequenti intrusum est.

Γνῶμαι.

α΄.

R IV 875 *Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.*

1. *Ὁ μὲν πολεμικὸς Ὅμηρον θαυμαζέτω τῶν τακτικῶν, ὁ δ' αὖ τεκτονικὸς τῶν περὶ τεκτονικῆς ἐμπείρως εἰρημένων. οὐ μὴν οὐδὲ τοὺς ἰατροὺς εἴποι τις ἂν ἀπορεῖν ὅθεν αὐτὸν ἀγασθήσονται. ἴδοι δ' ἂν καὶ ἡνίοχος καὶ ναυτικὸς ἀμφότεροι τὰς ἑαυτῶν τέχνας παρ' αὐτῷ. μακρὸν δ' ἂν εἴη λέγειν μαντικήν, χαλκευτικήν, τοὺς ὑπὲρ δικαιοσύνης, τοὺς ὑπὲρ τῶν θείων λόγους. ἀλλ' ὃ μοι δοκεῖ κοινῇ πάντας ὠφελεῖν, τοῦτο ἔγωγέ φημι τὰς γνώμας, ὧν αἱ μὲν εἴργουσι τῶν πονηρῶν, αἱ δὲ ἐπαίρουσι πρὸς τὰ χρηστά.* 2. *πάσας μὲν οὖν ἂν εὕροι τις νοῦν ἐχούσας καὶ προσήκοντα λο-*

---

3 Il. *β* 24. Hermog. prog. 4. Apth. prog. 4. Doxap. ad Apth. hom. ed. Walz. Rhet. gr. t. II 306, 22 sq. 5 Hermog. prog. 4, 26 7 Il *λ* 514

---

1 *Γνώμη* libri edd | *ἀποτρεπτικὴ* post *γνώμη* *B* 5 *Ὁ* om *Vi* 6 *ὧν* *Vi* | *παρὰ* *Pa* 7 *οὐ μὴν*] *οἶμαι δ'* Sintenis | *εἴποι τις ἂν* inserui e *B* *εἴποι τις* *BaPa* lac 5 litt *PL* om *Vi* edd sed *οἶμαι* inserendum coni in marg Cam, *οἴομαι* Re 8 *ποιεῖν* *PLVi* Barb et *γρ* in marg Mor 10 *δ'* om *BaPaB* | *τὴν* ante *μαντικήν* *Pa* 12 *ὅ μοι* scripsi e *BaPaB* ut coni Sintenis *ὅλος* *PL* *ὅλως* *Vi* Barb *ὃ ὅλως* Cam *ὃ ὅμως* Mor sed *γρ* *ὅλος* in marg, Re sed *ᾧ ἐμοὶ* coni 15 *ἂν* inserui post *οὖν* e *BaPaPLVi*, post *τις* *B* om edd sed inserendum vidit Sintenis | *εὕρῃ* *PaPVi*

γισμὸν καὶ τοῖς ἐθέλουσι πείθεσθαι φερούσας τὸ κέρδος, δοκεῖ δέ | *μοι τὰς ἄλλας νικᾶν καὶ πολλῷ* R IV 876 *γε τῷ μέτρῳ ἣν πρὸς τοὺς προβούλους ἀπεφήνατο περὶ τοῦ μὴ δεῖν τὸν ὅλον καιρὸν τῆς νυκτὸς ὕπνου ποιεῖσθαι. πάντως δὲ κἂν αὐτὸν Ὅμηρον εἴ τις ἤρετο, τοῦτο ἂν ἀπεκρίνατο τὸ πολὺ τὰς ἄλλας ἡττᾶσθαι.* 3. *τί τούτου τεκμήριον; οὐ Νέστωρ αὐτὴν οὐδὲ Ὀδυσσεὺς οὐδὲ ὁ δεῖνα τῶν Ἀχαιῶν, ἀλλ' ὁ τῶν θεῶν κορυφαῖος πεποίηται λέγων. καὶ μὴν οὐκ ἂν αὐτήν, εἰ μὴ πασῶν ἄριστα ἔχουσαν ἑώρα, τῷ πάντων ἀρίστῳ περιῆπτε θεῶν. ἄξιον δὲ καὶ τοὺς λογισμοὺς αὐτοὺς προάγοντας ἐξετάσαι τὸν λόγον.*

4. *Οὐ χρή, φησίν, ἄνδρα παννύχιον ἀναπαύεσθαι ᾧ βουλῆς ἀνάγκη. ὅρα τοίνυν ὅπως τὸ συμφέρον ἀμφοτέρωθεν προείδετο, τοῦ τε ἀνδρὸς καὶ τῶν πραγμάτων. οὐ γὰρ ὅλως μὴ καθεύδειν φησὶ δεῖν, ἀλλὰ μὴ καθεύδειν ἀεί, ὥστε τὸ μὲν τοῦ ὕπνου μέρος σώζει τὸν ἄρχοντα, τὸ δὲ τῆς ἀγρυπνίας αὐτὴν τὴν ἀρχήν. διὰ ταῦτα μερίζει τὴν νύκτα πρὸς ἀνάπαυσιν καὶ βουλήν.* 5. *τοῦτο μὲν τοίνυν οὕτως αὐτῷ μετρίως ἔχει, καὶ οὐδὲν ἀδύνατον οὐδὲ ἀμήχανον προσέταξεν ἐκείνῳ, ὃ δὲ νῦν πεποίηκεν, ἀκριβοῦς συμβουλῆς, ἣν*

---

9 Il. *β* 5 sq. et 26

---

3 *προβόλους PaBP* 4 *ὕπνου* reposui e libris ut coni Re *ὕπνον* edd sed *γρ ὕπνου* in marg Mor 6 *ἂν* om *Vi* Barb Cam | *τὸ* delendum censet Sintenis 7 et 8 *οὐδ' Pa* 10 *ἑώρα ἔχουσαν Vi* Barb Cam 11 *περιῆπτε* scripsi e *BaPaB* ut coni Re *περιῆπται PLVi* edd | *θεῷ B* *τῶν θεῶν* coni Sintenis 13 *φασιν BaPa* 19 *διαταῦτα Pa* 21 *οὐδ' Pa* | *προσέταττεν B* 22 *ἐκείνῳ* scripsi e *BaPaBPL* *αὐτῷ Vi* edd sed *γρ ἐκείνῳ* in marg Mor | *ἀκριβῶς BaPa* | *συμβουλοὶ Ba*

εἰ μὴ φυλάξειεν ὁ βουληφόρος κατ' αὐτὸν εἰπεῖν τὸν Ὅμηρον, οἰχήσεται ταχέως αὐτός τε ἐκεῖνος καὶ ὧν ἐτάχθη προνοεῖν, ἄλλως τε καὶ εἰ τύχοι πολεμῶν καὶ πολλοῖς ἐφεστηκώς. 6. ἅπερ ἀμφότερα ἦν ⟨ἐν⟩ ἐκείνοις τοῖς καιροῖς ἐν οἷς ὁ λόγος ἐλέχθη. σκοπῶμεν δὲ οὕτως. ἔστιν ὁπλιτικὸν τοῖς ἄρχουσιν, ἔστι ναυτικὸν πολλάκις, εἰσὶ τοξόται, σφενδονῆται, ψιλοί, πᾶν ἁπλῶς εἰπεῖν εἶδος εἰς πόλεμον φέρον. τούτων ἁπάντων αὐτῷ φροντιστέον, ὅπως, εἰ μὲν ἔχοι καλῶς, φυλαχθήσεται, εἰ δὲ μή, πρὸς τὸ βέλτιον ἐπανορθώματος τυχόντα μεταστήσεται. 7. ἐπαινέσεται μὲν τὸν μελετῶντα τὴν τέχνην, κακιεῖ δὲ τὸν οὐ θέλοντα παρέχειν ἑαυτὸν ἀγαθὸν
R IV 877 στρατιώτην, καὶ τῷ μὲν δώσει | τιμάς, τῷ δὲ ζημίας, καὶ τὸν μὲν σωφρονίσει, τὸν δὲ καταστήσει βελτίω. ἐκείνῳ μελήσει ναυτῶν, κυβερνητῶν, ὅπλων, πόρων, ἀφορμῶν, καιροῦ πολέμου στρατοπέδῳ ῥοπὴν φέροντος. 8. δεῖ μὲν αὐτὸν τὰ τῶν πολεμίων ἀνιχνεύειν, δεῖ δὲ πράττειν ὅπως μὴ τὰ αὐτῶν οἱ πολέμιοι γνώσονται. εἰ πεζομαχίας ἡ χρεία, τοῦτο ἐξετάσει, εἰ ναυμαχίας, τοῦτο ζητήσει, εἰ μηχανήματα προσοιστέον, εἰ

---

1 *τὸν* om *BaPaB* 4 *ἐν* inserui om libri edd 5 *οὕτως* reposui e libris cum Iacobsio Lect 163 *ὅπως* edd sed *γρ οὕτως* in marg Mor 6 *ἄρχουσι. ναυτικὸν BaPa* 8 *φέρων* (ο supra) *Vi* 9 *ὅπως* scripsi e *BaPaB* *ὅπερ PLVi* Barb *ἅπερ* Cam Mor sed in hoc *γρ ὅπερ* in marg, Re | *ἔχει PLVi* edd 10 *βέλτιον* scripsi e *BaPaBPL* *βέλτιστον Vi* edd 12 *κακιεῖ* — 13 *στρατιώτην* praemisso *λιβάνιος* citant excerpt. cod. Vatic. gr. 305 fol 2ᵛ (vide p. 30) | *οὐκ ἐθέλοντα B* 15 *μελήσει* scripsi e *BaBVi* ut coni Re *μελήσειν PaPL* *μελλήσει* edd | *αὐτῶν BaPa* 16 comma post *καιροῦ* Mor Re delevi | *πολέμου* om *B* | *στρατοπέδου ῥοπῆς B* | *φέροντος* om B 17 *αὐτῷ BaPaB*

18 *αὐτῶν BVi* Barb | *γνώσωνται B* *γνώσονται* (ω supra) *Vi* 19 *ἡ* *BaPaB* | *ἐξετάσειν* et 20 *ζητήσειν B* 20 *εἰ* — *προσοιστέον* citant exc. Vat. 305 fol. 2ᵛ

προδοσίᾳ τοὺς ἐχθροὺς ληπτέον. δεῖ μὲν αὐτὸν ἐμβαλεῖν τοῖς δυσμενέσι στάσιν, δεῖ δὲ τὰς παρὰ τοῖς οἰκείοις ἐκκόπτειν. ἰάσεται ναῦς κεκμηκυίας, ἐκπέμψει τὰς ἄριστα πλεούσας ἐπ' ἔργον, ἑτέρας ναυπηγήσεται. θύσει θεοῖς, χρήσεται μαντείαις. 9. *οὐδεὶς ἂν ἐφίκοιτο τοῦ πλήθους τῶν πραγμάτων ἃ τοῖς βασιλεῦσι πρόκειται. τούτων ἕκαστον καὶ βουλευθῆναι δεῖ καὶ πραχθῆναι. τό τε γὰρ ἄνευ βουλῆς ἐπιχειρῆσαι τοῖς ἔργοις πολλάκις ἔβλαψεν ἃ φεύγειν ἄξιον ταῦτα ἡμῶν διωκόντων τό τε βουλεύεσθαι μόνον, πράττειν δὲ μηδὲν οὐδ' ὁτιοῦν ὤνησεν. ἅπασα γὰρ σκέψις πράξεων ἄμοιρος οὐκ ἔχει τὸ κέρδος.* 10. *δεῖ τοίνυν, ὅπερ ἔφην, ἀμφοτέρων. οὐκοῦν τὴν ἡμέραν μὲν ἔργων, τὴν δὲ νύκτα βουλῆς εἶναι δεῖ καιρόν. εἰ δὲ τὴν μὲν ὕπνῳ δώσομεν, εἰς δὲ τὴν ἄξομεν τὰ ἀμφοτέρων, ἐλάττων ὁ καιρὸς τῆς χρείας. καὶ δεῖ δυοῖν θάτερον, ἢ πρὶν μαθεῖν ὅ τι βέλτιστον ἅπτεσθαι τῶν πραγμάτων ἢ μαθόντας ὅ τι βέλτιστον οὐκ ἔχειν χρῆσθαι τοῖς πράγμασιν.*

---

1 *αὐτὸ* Mor Re qui *αὐτὸν* scribendum vidit 2 *δὲ τοῖς παρὰ τοῖς οἰκείοις L* | *περὶ PaB* | *τοὺς οἰκείους B* 3 *κόπτειν PLVi* Barb | *ἰάσεται* — 4 *ναυπηγήσεται* citant excerpt. cod. Vat. gr. 305 fol. 2ᵛ 5 *μαντείαις* scripsi e *BaPaB* *μάντεις PLVi* *μάντεσι* edd | *ἐφίκοιτο* scripsi e *BaPaPL* ut coni Re *ἐφίκηται B* *ἀφίκοιτο Vi* edd 6 *ὃ BaPaBPL* | *πρόσκειται BaPaPLVi* 7 *δεῖ* post *ἕκαστον Pa* | *βουληθῆναι B* 9 *ἡμᾶς BaPa* *ἡμῖν L* | *διὸ καὶ τὸ μὲν βουλεύεσθαι Pa* 10 *βουλεῦσαι B* *βούλεσθαι PLVi* | *μὴ* ante *πράττειν BaPa* | *καὶ L* | *μηδὲν* om *BaPa* 11 *οὐδ' ὁτιοῦν ὤνησεν* citant excerpt. Vat. 305 fol. 2ᵛ | *οὔ τινα BaPa* | *πράξεων* reposui e libris *πράξεως* edd sed *γρ πράξεων* in marg Mor 12 *ἔφην* om *BaPa* 13 *ἀμφοτέροιν B* | *τῶν* ante *ἔργων Vi* edd delevi 15 *εἰς τὴν δὲ* coni Iacobs Lect num *εἰς δὲ τὴν* ⟨*ἡμέραν*⟩? | *ἕξομεν BaB* *ἔξομεν Pa* *ἧξομεν PLVi* corr Barb *συνάξομεν* Iacobs | *ἀμφότερα BaPa* 16 *δεῖ* inserui e *BaPaB* om *PLVi* edd 17 *ὅτι* edd 18 *βέλτιον BaPaBPL* | *οὐκέτι BaPa*

11. *Εἰς ταύτην ἄγει τὴν ἀνάγκην τοὺς βασιλέας τὸ τῶν ἀρχομένων πλῆθος καὶ τῶν πραγμάτων. ἄνευ δὲ τούτων καὶ καθεύδειν ἔξεστι. τεκμήριον δέ, οὐδὲν ζημιώσει τὸν ἰδιώτην ὕπνος. μικρῶν γάρ, οἶμαι, κύριος, οἰκιδίου φαύλου καὶ τριῶν ἢ τεττάρων ἀνδραπόδων καὶ δραχμῶν οὐ πολλῶν, καὶ τὸ τῆς ἡμέρας ἀπέχρησε μέτρον εἰς βουλήν τε καὶ ἔργον. τί λέγω τῆς ἡμέρας ἀπάσης, ἐπεὶ σμικρὸν* | R IV 878 *ἡμέρας μέτρον ταῦτα ἀμφότερα δέχεται; κἂν εἴ τις αὐτῷ κελεύοι τὸ μὴ καθεύδειν, ἀλλὰ καὶ σκοπεῖν, ὦ βέλτιστε, φῆσαι, τί γὰρ περιβέβλημαι τοσοῦτον ὅσον καὶ νυκτὸς προσδεῖν;* 12. *εἰ τοίνυν οὐδεμία ζημία τοῖς ἰδιώταις ἐκ τοῦ καθεύδειν παρὰ τὸ μὴ πολλοῖς ἐφεστηκέναι πράγμασιν, οἷς γε συμβαίνει πολλῶν πραγμάτων εἶναι κυρίοις, τούτοις ἡ μεγίστη βλάβη, τὸν ὕπνον εἰ μὴ φεύγοιεν.*

13. *Ὁρᾷς, ὦ 'γαθέ, τὸν κυβερνήτην, ὃν οὐκ ἄν μοι δοκεῖ τις ἁμαρτεῖν εἰπὼν βασιλέα τῆς νεώς; οὐ τῆς*

4 Hermog. prog. 4, 27 17 Hermog. prog. l. l.

1 *ἄγειν PLVi* et *γρ* in marg Mor 3 *οὐδὲν ζημιώσει* scripsi e *BaPaPLVi* *οὐδὲ ζημιώσει B* Barb *οὐδὲ ἐζημίωσε* Cam Mor sed in hoc *γρ ζημιώσει* in marg, Re 4 *ὁ* ante *ὕπνος Vi* edd delevi 5 *οὐκ ἰδίου PLVi* Barb | *ἀνδραπόδων* om *Vi* Barb Cam sed in hoc *οἰκετῶν* in marg 6 *ἀπέχρη BaPa* 7 *εἰς* — 8 *μέτρον* om *B* 8 *ἐπεὶ σμικρὸν* scripsi *εἰς μικρὸν* libri edd sed *εἰς* delendum censuit Re *εἰ μικρὸν* Sintenis 9 *δέχεσθαι B* | *κἂν ἁμάρτῃ εἴ τις* coni Re | *κελεύοι* scripsi e *Ba* *κελεύει PaVi* *κελεύῃ PL* edd *κελεύσῃ B* 10 *ἀλλὰ καὶ σκοπεῖν* inserui e *BaPa* om *BPLVi* edd | *ὦ βέλτιστε* — 13 *καθεύδειν* inserui e *BaPaB* om *PLVi* edd | *φῆσαι* scripsi *φήσει* libri edd 12 *τοῖς ἰδιώταις ζημία B* 13 *περὶ* ante *παρὰ BaPa* 14 *δὲ* coni Re Sintenis | *εἶναι κυρίοις* scripsi e *BaPaB* *κυρίοις εἶναι PLVi* edd 16 *φύγοιεν BaPa* 17 *ὦ ἀγαθὲ PL* Mor Re *ἀγαθὲ Vi* Barb Cam 18 *δοκῇ BaBL* | *ἁμαρτάνειν B* | *νηός PLVi* edd | colon post *νεώς BaPaVi* edd | *οὐ τῆς*] *οὗτος BaPaB*

νυκτὸς ἐπελθούσης ἐπὶ τῶν οἰάκων κάθηται τὰ ὄμματα στήσας ἀκριβῶς πρὸς τὰ ἄστρα καὶ οὐ φιλονεικεῖ τοῖς ναύταις περὶ τῆς ἀναπαύλης; καὶ οἱ μὲν κεῖνται καθεύδοντες μετὰ πολλῆς τῆς ῥαστώνης, οἱ μὲν ἐπὶ τῶν καταστρωμάτων, οἱ δὲ ἐν κοίλῃ τῇ νηί. ὁ δὲ οὐ ζηλοτυπεῖ τῆς ῥαστώνης ἐκείνους, ἀλλ' ἐν τῷ μὴ καθεύδειν αὐτὸς ἐκείνοις ἀποδίδωσι τὸ τρυφᾶν. 14. οὐδ' ἔπεισεν ἡ νὺξ ἐπελθοῦσα τὸν Ἕκτορα ἀναπαύεσθαι, ἀλλ' ἐν αὐτῇ τὰ μέγιστα κατορθοῦν ἠξίου καὶ συνῆγεν οὓς ἐχρῆν καὶ δώρων ὑποσχέσει πρὸς κατασκοπὴν τοὺς ἐπιτηδείους ἐξήγειρε. 15. καὶ μηδεὶς ἐννοείτω τὸ τέλος εἴ γε βαρύ, ἀλλ' εἰ μὴ τὸ βούλευμα λόγον εἶχέ τινα. τοῦ μὲν γὰρ ἡ τύχη κυρία, τὸ δὲ παρ' ἡμῶν αὐτῶν ἀπαιτοῦμεν. 16. ὁ δὲ Ἀγαμέμνων ἐκεῖνος εἰ δουλεύειν ᾤετο δεῖν ὕπνῳ, τίς ἂν ἤγειρε τοὺς ἀρίστους εἰς σύλλογον; πότε δ' ἂν ὁ Διομήδης Ὀδυσσέα λαβὼν ἐσκέψατο τὰ τῶν πολεμίων πράγματα; οὕτω καὶ Τροίαν Ἕλληνες

2 cf. p. 115, 18   8 Il. κ 299 sq.   16 Il. κ 241 sq.

1 *πρυμνῶν B*   2 *φιλονικεῖ BaPaVi* edd sed *φιλονεικεῖ* coni Re   3 *ἀναπαύλεως BaPa* *ἀναπαύσης L* | *σπεύδοντες Vi* Barb Cam   4 *οἱ μὲν* om *PaBa*   5 *τῇ* om *B* | *οἱ PaL* | *ζηλωτυπεῖ Vi* edd *ζηλοτυποῖ Pa*   6 *ἐκείνους* scripsi e *BaPaB* *ἐκείνοις PLVi* edd   7 *οὐδ'* scripsi *οὐκ* libri edd   8 *νέστορα BaPa*   9 *τὰ μέγιστα* om *B*   11 *ἐννοείτω* scripsi e *BaPaL* ut coni Cam Re *ἀγνοείτω PVi* edd *καταγνώτω B* *ἄγαν νοείτω* Iacobs Lect App Pors 332 | *τοῦ τέλους B* | *εἴ γε βαρύ* inserui e *BaPa* om reliqui libri edd sed lacunam suspicatus est Sintenis   12 *λόχον L*   14 *δ' Pa*
15 *ἂν ἤγειρε* scripsi *ἀνήγειρε BaPa* *ἂν ἐξήγειρε B* *μὲν ἤγειρε PLVi* *μὲν ἔγειρε* edd sed *ἤγειρε* coni Re adnotans: *„sed sunt alia plura huius loci corrupta, quae emendare non valeo"*
16 *αὖ* Iacobs Anth. Pal. III 332; App. Pors 332 | *συλλαβὼν* Iacobs ll. ll. | *ἐσκέψατο τὰ τῶν πολεμίων* scripsi e *BaPaB* *τὰ τῶν πολεμίων ἐσκέψατο PLVi* edd   17 signum interrogationis posui cum Sinteni comma libri edd | *οὕτω — 112, 1 παρεστήσαντο* om *Vi* Barb Cam | *ὅτῳ* Iacobs ll. ll Lect

παρεστήσαντο. οὗτος ὁ καιρὸς τοῖς Ἀχαιοῖς παρέδωκε τὴν Πριάμου πόλιν τῶν μὲν Τρώων ὑπὸ μέθῃ κειμένων, τῶν δὲ οὐχ ἡττηθέντων ὕπνου. 17. *καὶ τί δεῖ ⟨τὰ⟩ παλαιὰ λέγειν; ἀλλὰ τὸν ἀπανταχοῦ περιφερόμενον τίς οὐκ οἶδε λόγον ὅς φησι δεῖν ἐν νυκτὶ βουλῆς ἔχεσθαι; ὁ δὲ σοφὸς Σοφοκλῆς τί μαθὼν εὐφρόνην ἀπεκάλει τὴν νύκτα; οὐχ ὅτι τὸ φρονεῖν ὡς ἄριστα τότε μάλιστα τοῖς ἀνθρώποις παραγίνεται;*

R IV 879 18. *Εἰς ταῦτα ὁρῶν | ὁ βασιλεὺς ἀποσειέσθω τὸν ὕπνον εἰδὼς ὡς οὐκ ἔστιν ὁμοῦ ῥᾳθυμεῖν καὶ πολλοῖς ἐπιτάττειν.*

β'.

R IV 879 *Ἡ αὐτὴ γνώμη ἑτέρως.*

1. *Ὅμηρος ὁ ποιητὴς τῷ μὲν τὰς τῶν Τρώων διηγεῖσθαι συμφορὰς ἐπὶ δικαιοσύνην μοι δοκεῖ τοὺς ἀνθρώπους παρακαλεῖν δεικνὺς ἃ τοὺς ἀδικοῦντας ἀναμένει κακά, τῷ δὲ λέγειν τοὺς Ὀδυσσέως ἄθλους καρτερικοὺς φαίνεται τοὺς ἀνθρώπους ἀπεργάζεσθαι. τίς γὰρ οὐκ ἂν πάντα φέρειν παιδευθείη ὁρῶν ἐκεῖνον*

---

2 Lesch. Il. parv. et Arctin. Iliupers. apud Proclum chrest. ed. Kinkel fr. ep. p. 37 et 49. Tzetz. ad Lyc. 344 3 cf. t. IV 956, 18 R. Isocr. Phil. § 43 p. 90 e 5 Plut. Them. 26. Her. VII 12. Diog. prov. II 46 cum nota Leutschii 6 Dem. fals. leg. § 248 p. 419, 13 | Soph. El. 19. 259 cf. p. 116, 16 9 Hermog. l. l.

---

1 *παρέδωκε τοῖς Ἀχαιοῖς B* 2 *μέθην BaPa* 3 *ὕπνω B* | *τὰ* inserui om libri edd 4 *πολλὰ B* | *ἀπανταχῆ* edd sed *γρ πανταχοῦ* in marg Mor 5 *ὃν PLVi* | *φησὶν BL* | *ἐν νυκτὶ δεῖν B* 6 *σοφὸς* om *Pa* | *παθὼν B* 7 *ἄριστα* scripsi e *BaPaB* *μάλιστα PLVi* edd | *μάλιστα* inserui e *BaPaB* om *PLVi* edd 8 *περιγίνεται BaPaB* 9 *ταῦτα* scripsi e *BaPaB* *ταὐτὸν PLVi* Mor Re *αὐτὸν* Barb Cam 13 *ἡ αὐτὴ γνώμη. ἑτέρως: οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα P* *Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα Vi* Barb Cam *εἰς τὸ αὐτὸ γνώμη ἑτέρα B* 19 *ὁρῶν ἐκεῖνον* scripsi e *BPLVi* *ἐκεῖνον ὁρῶν* edd

ἐν τοῖς ἔπεσιν ὑπὸ τῶν οἰκετῶν τῶν αὑτοῦ προπηλακιζόμενον, ἔχοντα δὲ παρ' ἑαυτῷ τὼ χεῖρε καὶ τοὺς καιροὺς ἀναμένοντα; 2. *ποιῶν δὲ ἀμείνους τοὺς ἀνθρώπους τῷ τῶν ὑποθέσεων βουλήματι οὐχ ἧττον διὰ τῶν παραινέσεων ἃς ἐγκατέπλεκεν ὠφελεῖ νῦν μὲν λέγων ὅπως δεῖ προσφέρεσθαι ξένοις, νῦν δὲ ὅπως θεοῖς, πάλιν δὲ ᾗτινι γνώμῃ χρηστέον ἐν τοῖς ὑπὲρ πατρίδος κινδύνοις.* 3. *πάντα μὲν οὖν ἐπαίνων ἄξια, νικᾶται δὲ τῷ πρὸς τοὺς βασιλεῖς ὑπὲρ ἀγρυπνίας εἰρημένῳ. καὶ γὰρ τὸν ἄρχοντα ποιήσας ἀγαθὸν ⟨ἀγαθοὺς⟩ δι' ἐκείνου ⟨καὶ⟩ τοὺς ἀρχομένους ἐποίησε. θαυμάσειε δ' ἄν τις τὸ καὶ τῶν πραγμάτων αὐτῷ μελῆσαι καὶ τοῦ περὶ τούτων βουλευομένου. οἷς φεύγειν χρῆναι τὸν ὕπνον εἰπὼν οὐ δι' ὅλου προσέθηκεν, ἀλλ' ἠξίωσε τὸν καιρὸν τέμνειν εἰς ὕπνον καὶ φροντίδα. οὐ χρὴ γάρ φησι παννύχιον εὕδειν ἄνδρα μεγάλην ἀρχὴν ἔχοντα καλῶς καὶ προσηκόντως εἰπών.* 4. *ὅρα γὰρ πόσα περιέστηκε τὸν βασιλεύοντα. πλήθους ἐπιμελήσεται στρατιωτῶν καὶ ὅπως ἔσονται κρείττους τῆς τῶν ἀντιπάλων ἀρε-*

---

1 *ἐν* om *B* | *αὑτοῦ BPL* edd 2 *αὑτοῦ Vi* 3 *καρποὺς Vi* Barb | *δὲ* om Barb | *ἀμείνονας B* *ἀμείνω PLVi* | *τοὺς ἀνθρώπους* om *B* 5 *παραινέσεων* scripsi e *BPL* *ὑποθέσεων Vi* Barb *γνωμῶν* Cam Mor sed in hoc *γρ παραινέσεων* in marg, Re | *ἐγκατέπλεκεν* scripsi auctore Sinteni *ἐγκατέλιπεν* libri edd 6 *τοῖς* ante *ξένοις B* | *νῦν* om *Vi* Barb Cam | *ὅπως δὲ Vi* Barb Cam 7 *δὲ* inserui e libris om edd 7 *τῆς πόλεως B* 9 *τὸ* libri corr Barb | *εἰρημένῳ* scripsi cum Iacobsio Lect *εἰρημένον* libri edd 10 *ἀγαθοὺς* inserui cum Iacobsio Lect om libri edd | *ἐκείνους Vi* | *καὶ* inserui auctore Re om libri edd 11 *θαυμάσειε* scripsi e *B* *θαυμάσῃ PLVi* *θαυμάσοι* Barb *θαυμάζοι* Cam Mor Re | *τῶ B* 12 *αὑτοῦ L* *αὐτῶν* Mor sed *γρ αὐτῷ* in marg, Re 14 *διόλου PLVi* | *ὕπνον* libri om Barb corr Cam 16 *βουληφόρον* ante *ἄνδρα* edd delevi 17 *προσήκατο PL* 18 *ἐπιμελεῖσθαι τῶν στρατιωτῶν B*

τῆς καὶ τῆς ἐν τοῖς ὅπλοις μελέτης εἰδὼς ὅτι μετ'
R IV 880 ἀμαθίας τὸ πλῆθος ἄχρηστον. ἐπὶ τούτοις | ὅπλων ποιήσεται καὶ τροφῆς φροντίδα, ὅπως τὰ μὲν ἄριστα κατασκευασθῇ, τὴν δὲ ἔχωσιν ἄφθονον. τοῖς δὲ παρακελεύσεται τὸ τεῖχος παρασκευάζειν, τοῖς δὲ τάφρον περιελαύνειν, τοῖς δὲ σκόλοπας καταπηγνύναι. 5. σκοπείτω δὲ τῶν νεῶν τὸν ἀριθμὸν καὶ τούτων τίνες ἀκέραιοι, τίνες δὲ χρῄζουσαι θεραπείας. σκοπείτω δὲ περὶ τῶν τοξοτῶν, περὶ τῶν ἱππέων, περὶ τῶν ὁπλιτῶν, καὶ τὰ μὲν καλῶς κείμενα φυλαττέτω, τὰ δὲ κακῶς ἐπανορθούτω πρὸς τὸ χρηστότερον, τὰ δὲ τῶν ἐναντίων ὅπως ἕξει στάσιν ποιείτω. 6. μυρία παρὰ τῶν πραγμάτων ὁ βασιλεὺς ἂν ἀπαιτοῖτο, κἀπειδὴ μικρὸν εἰς βουλὰς καὶ πράξεις τὸ τῆς ἡμέρας μέτρον, δεῖται καὶ τῆς νυκτὸς οὐκ ὀλίγον ἀποδιδόναι τῇ περὶ ταῦτα προνοίᾳ. τοῦτο γὰρ αὐτῷ διατηρήσει τὴν ἀρχήν, ἂν μὲν ἡ νὺξ δέχηται τὰς βουλάς, τῆς δὲ ἡμέρας φανείσης ἐπιτελῇ τὰ δόξαντα.

12 cf. p. 109, 2

1 τοῖς inserui e *BL* om *PVi* edd 4 κατασκευασθῇ scripsi κατασκευασθείη libri edd 5 παρασκευάζειν scripsi e *BPL* παρασκευάσαι *Vi* edd 6 σκοπείτω reposui e libris σκοπεῖσθαι edd 7 νέων *B* 8 χρῄζουσι *B* | δὲ inserui e *B* om *PLVi* edd 9 ἱππέων scripsi e *B* ἵππων *PLVi* edd 11 ἐπανορθούσθω (τω supra) *Vi* | τὸ χρηστότερον scripsi e *BPL* et γρ in marg Mor τὰ χρηστότερα *Vi* edd 12 παρὰ scripsi περὶ libri edd 13 ἀπαιτεῖτο (οῖ supra) *PL* ἀπαιτείτω *B* | κἀπειδὴ scripsi e *B* κἂν καὶ *PL* Mor Re om *Vi* Barb Cam κἂν οὐ coni Re, καὶ δὴ Iacobs Lect | μικρὸν εἰς βουλὰς om *Vi* Barb Cam 14 εἰς ante πράξεις inser Cam Mor Re delevi | μέτρον, δεῖται scripsi μέτρον δεῖται *B* δεῖται μέτρον *PLVi* edd δέδοται μέτρον Iacobs 15 τῆς] περὶ *B* | ἀποδιδόναι ⟨χρὴ⟩ Iacobs | μετὰ (περὶ supra) *Vi* 16 τούτῳ γὰρ αὐτῷ? | διατηρήσει scripsi e *BPL* et γρ in marg Mor διατηρεῖ *Vi* edd 18 ἐπὶ τέ (λ supra) *PL* ἐπὶ τέλει *Vi* ἐπιτέλει Barb

7. *Ταῦτα πρὸς τὸν πολλῶν ἡγούμενον Ὅμηρος λέγει, τὸν δὲ ἰδιώτην ἀφίησι καθεύδειν. τί γὰρ ἄν τις αὐτὸν ταύτης ἀποστεροίη τῆς ἡδονῆς δυοῖν ἀνδραπόδοιν κύριον καὶ μνῶν τεττάρων, εἰ δὲ βούλει, πλειόνων ταλάντων; περὶ γὰρ τοσούτων πρὸς τῇ νυκτὶ καὶ τῆς ἡμέρας καθεύδων τὸ πλεῖον [καὶ] βουλεύεσθαι δύναιτ' ἂν ἤδη.* 8. *τοῖς μὲν οὖν ἰδιώταις πολλὴν παρέχει τὴν ἀνάπαυλαν τὸ μὴ περὶ πολλῶν ἠναγκάσθαι φροντίζειν, τοὺς δέ γε βασιλεῖς τὰ μεγέθη τῶν ἀρχῶν αἷς ἐφεστήκασιν ἀφαιρεῖται τὸν ὕπνον. καὶ μὴν κἀκεῖνο αἰσχρὸν τοὺς κυβερνήτας ὑπομένειν ἀμείνους εἶναι τῶν τὰ τηλικαῦτα ἐγκεχειρισμένων. νόμος γὰρ οὗτος κυβερνητῶν κρείττους εἶναι τῆς ὕπνων δυναστείας. καίτοι τοὺς ἄλλους ὁρῶσιν ἐπὶ τῶν καταστρωμάτων καθεύδοντας, ἀλλ' οὐ διὰ τοῦτο τὸν αὑτῶν ἀφέντες πόνον πρὸς τἀκείνων καταφέρονται, ἀλλ' ἴσασιν ὅτι ναύτης μὲν ὑπὸ τῆς τάξεως ἣν τέτακται καθεύδειν τέτακται, κυβερνήτην δὲ ἡ τῆς | νεὼς ἀρχὴ βλέπειν ἐπ-* R IV 881
αναγκάζει πρὸς τὰ ἄστρα.

9. *Σκόπει δὴ τοῦτον τὸν Ἀγαμέμνονα τὸν τὴν*

---

11 sq. cf. p. 110, 17 sq.

---

1 *τῶν B* 3 *αὐτῶ B* | *ἀποστερῇ B* 4 *κύριος* Re | *δραχμῶν B* 6 *καθεύδων τὸ πλεῖον* scripsi e *BPVi* *τὸ πλεῖον καθεύδων L* edd | *καὶ* cancellavi 8 *τῶ B* | *ἠναγκάσθαι* scripsi e *B* *ἀναγκάζεσθαι PL Vi* edd 9 *γε* inserui e libris sed *γε* supra *δέ P* om edd 11 *τοὺς κυβερνήτας* scripsi e *B* *περὶ κυβερνήτου P* post lacunam 4 litt *κυβερνήτου L* *παρὰ κυβερνήτην Vi* Barb *ταῦτα κυβερνήτην* Cam Mor sed in hoc *γρ παρὰ κυβερνήτου* in marg, Re | *ὑπομένειν ἀμείνους εἶναι* scripsi e *BP L* et *γρ* in marg Mor *ἀμείνω εἶναι ὑπομένειν Vi* edd 12 *τὰ* inserui e *B* om *PLVi* edd 14 *ὁρῶσι* edd 15 *διὰ τοῦτο* om *B* | *αὐτῶν PLVi* Cam Mor Re 16 *τὰ ἐκείνων PL* Cam Mor Re 17 *ὑπὸ* om *B* 18 *ἀρχὴν* Re 20 *τὸν* om *PL* Mor Re

συμβουλὴν δεξάμενον οἷός τις ἦν ἐν τοῖς μετὰ ταῦτα. τὸν μὲν ὕπνον ἀπεσείσατο, τοὺς δὲ ἀρίστους συνήγαγε τὰ τῶν ἐναντίων σκεψομένους καὶ τηλικοῦτον εἰργάσατο διὰ τῶν ἀπεσταλμένων ἔργον ἐν τῇ νυκτὶ ὥστε καὶ τοὺς Τρῶας εἰς ἀθυμίαν ἐμβαλεῖν καὶ τοῖς Ἕλλησι καίτοι κακῶς πεπραχόσι θαρρῆσαι παρασχεῖν. 10. *οὐ τοίνυν οὐδὲ ὁ τῶν Τρώων στρατηγὸς ὑπὸ τῆς εὐημερίας εἰς ῥᾳστώνην ἀπέκλινεν, ἀλλὰ καὶ αὐτὸς ἆθλα προὐτίθει τῆς νυκτὸς τοῖς τολμῶσι τῷ νεωρίῳ προσελθεῖν, καὶ τύχῃ μὲν ὁ Δόλων ἐχρήσατο χείρονι, τοῦτο δὲ οὐκ ἐλέγχει τὴν Ἕκτορος βουλὴν ὡς οὐκ ἦν ἀγαθή.* 11. *ὅλως δὲ τῆς νυκτὸς ἡ φύσις συμπράττει πρὸς εὐβουλίαν οὐχ ἑλκομένου τῇδε κἀκεῖσε τοῦ λογισμοῦ καὶ τῆς ψυχῆς ὑπὸ τοῦ πλήθους τῶν ἐν ἡμέρᾳ πραττομένων ταραττομένης, ἀλλ' ἡσυχίᾳ ῥᾳδίως εὑρισκούσης τὸ δέον. ἐντεῦθεν εὐφρόνη καλεῖται παρὰ τῶν ποιητῶν ἡ νὺξ καὶ τὴν παροιμίαν ἐποίησε τὰς βουλὰς εἰς τὸν τῆς νυκτὸς ἄγειν καιρόν.*

12. *Ταῦτα δεῖ πάντα τοὺς βασιλεῖς ἐνθυμουμένους*

---

2 Il. β 42 sq. 7 cf. p. 111, 8. Il. κ 299 sq. Hermog. prog. 4, 27 16 sq. cf. p. 112, 4 sq.

---

1 *οἷός τις* scripsi e *B* *ὅστις* *PL* et *γρ* in marg Mor *οἷος* *Vi* edd | *ἦν* in *ἐν* mutandum coni Sintenis | *ἐν* inserui e *PL* et *γρ* in marg Mor om *B Vi* edd | *τοῖς* om *B* | *μεταταῦτα* *Vi* Barb Cam 3 *σκεψαμένους* Re 5 *ἐκβαλεῖν* *L* 6 *καλῶς* *PL Vi* | *θαρρῆσαι* reposui e libris *θαρρῆσθαι* Barb *τεθαρρῆσθαι* Cam Mor Re qui *τὸ θαρρῆσαι* coni 7 *στρατηγὸς* scripsi e *B* cum Iacobsio Lect *στρατὸς* *PL Vi* edd 8 *ἀλλ'* Barb Cam qui *Ἕκτωρ* inserendum in marg coni 9 *προετίθει* *B* 11 *ἦν* om Re 12 *ξυμπράττει* *Vi* edd 13 *τὴν* ante *εὐβουλίαν* *PL* Mor Re | *τοῦ* om *Vi* 14 *ὑπὸ* scripsi cum Sinteni *ἀπὸ* libri edd | *ἐν ἡμέρᾳ* inserui e *B* om *PL Vi* edd 15 *εὑρισκούσης* reposui e libris cum Sinteni *εὑρούσης* edd sed *γρ* *εὐασκούσης* in marg Mor

ἥκιστα μὲν ὕπνῳ δουλεύειν, μάλιστα δὲ τοῦ φροντίζειν ἔχεσθαι.

γ΄.

Δεῖ δὴ χρημάτων καὶ ἄνευ τούτων οὐδὲν R IV 1125
ἔστι γενέσθαι τῶν δεόντων.

1. *Ἔστι μὲν τὸ χρησιμώτατον πάντων τῶν ἐν τῷ βίῳ ῥητορική, τῶν δ᾿ αὖ ῥητόρων τὸ κεφάλαιον Δημοσθένης. ὃς παρῆλθε μὲν τὸν Ἰσοκράτην, ἀπέκρυψε δὲ τὸν αὐτοῦ διδάσκαλον Ἰσαῖον, κρείττων δὲ φανεὶς καὶ τῶν καθ᾿ ἑαυτὸν καὶ τῶν ἔμπροσθεν οὐδὲ τοῖς ἐσομένοις ἅμιλλαν ἔδωκεν, ὢν δὲ λέγειν ἄριστος πολὺ βελτίων ἦν τὴν προαίρεσιν, ὃς κατὰ μὲν τῆς πατρίδος οὐκ ἐδέξατο χρυσίον, ὑπὲρ δὲ τῆς ἐνεγκούσης διετέλεσε πονῶν καὶ τοσοῦτον ἀπέσχε τοῦ γενέσθαι πονηρὸς ὥστε καὶ τοὺς ἄλλους ἐπηνάγκαζεν εἶναι χρηστούς.* 2. *τῶν μὲν οὖν πολιτευμάτων οἷς ὤρθου τὰς Ἀθήνας ἐν ἑτέροις καιροῖς μνημονεύσομεν, νῦν δέ μοι τὴν γνώμην ἐκείνην ἐπῆλθε θαυμάσαι, δι᾿ ἧς οὐ μόνον τοὺς ἐκκλησιάζοντας ἡνίκα παρῆλθεν ὤνησεν, ἀλλὰ καὶ πάντας ἁπλῶς οἷς ὁμιλῆσαι τοῖς ἐκείνου συγγράμμασιν ὑπῆρχεν. ἀποφαίνεται γὰρ τὸ δεῖν χρημάτων ὡς οὐκ ἐνὸν ἄλλως ἢ μετ᾿ ἐκείνων τὰ δέοντα πραχθῆναι.*

---

4 Dem. Ol. I § 20 p. 15, 2. Nicol. prog. 4 ed. Walz. Rhet. I p. 279, 20. Georg. Pach. prog. 4 ib. 555, 10; anon. prog. 4 ib. p. 605, 20. cf. t. VII 108, 6. 9 Lib. vit. Dem. 5 13 cf. t. IV 949, 32 R 16 Plat. Lach. p. 181 B. Leg. XII p. 957 D

---

3 *Γνώμη προτρεπτική B* edd delevi 9 *αὐτοῦ* libri edd 15 *ἐπηνάγκασεν Es ἀπηνάγκαζεν* edd 16 *ἠνόρθου Es* 18 *ἐπῆλθε θαυμάσαι ἐκείνην Es* 19 *παρῆλθεν* inserui lac 8 litt *BPalEs* om *Vat* lacunam indicant edd *ἡνίκα* delendum censet Sintenis, in *οὐχ ἥκιστα* mutandum Iacobsius Lect 191

3. *Καὶ τὰ μὲν ἐκείνου ταῦτα, μαρτυρεῖ δὲ τῷ λόγῳ τὰ πράγματα. πρῶτον μέν, ἵν' ἀπὸ τοῦ μεγίστου ποιήσωμαι τὴν ἀρχήν, τὰ ταῖς πόλεσιν ἀναγκαιότατα δι' ἐκείνων γίνεται, τὰ τείχη, τὰ ὅπλα, νῆες, νεώσοι-*
R IV 1126 *κοι, λουτρῶν | χάριτες, ἱερῶν κάλλη, χαρακώματα, τάφροι.* 4. *καὶ μὴν τῶν μὲν θεῶν εὔνοιαν αἱ θυσίαι προσάγονται, λαμπρῶς δὲ θύειν τοῖς εὐποροῦσιν ὑπάρχει. ταὐτὰ τοίνυν καὶ περὶ τῶν ἀναθημάτων ἔστιν εἰπεῖν. στρατεία δὲ πῶς ἂν ἐκπεμφθείη συμμάχοις κινδυνεύουσιν ἄνευ σιτηρεσίου; σιτηρέσιον δὲ πῶς ἂν γένοιτο χρημάτων χωρίς;*

5. *Οὐ τοίνυν τὰ μὲν τῶν πόλεων οὕτω, τὰ δὲ καθέκαστον ἑτέρως, ἀλλὰ κἀνταῦθα τὸ ἴσον κρατεῖ. σκεψώμεθα γάρ. δεῖ μὲν οἰκίαν οἰκοδομεῖσθαι, δεῖ δὲ γύναιον ἄγεσθαι, δεῖ δὲ τοὺς γινομένους παῖδας τρέφειν. τούτων δὲ ἕκαστον ἐκ δαπάνης ὁρμᾶται. εἰ τῶν ἀρρωστούντων ἀφέλοις τὰ χρήματα, ταχὺ τεθνήξονται, εἰ τῶν σοφίας ἐπιθυμούντων, οὐδέποτε κτήσονται. δεῖ μὲν γὰρ βιβλία ὠνεῖσθαι, δεῖ δὲ τὰς μαθήσεις παρὰ τῶν ἐπισταμένων πρίασθαι. ἁπλῶς δὲ τῶν τε τὰς ψυχὰς ὠφελούντων καὶ τῶν τὰ σώματα φυλαττόντων οὐδὲν ὃ μὴ τὴν ἀφορμὴν ἐκεῖθεν λαμβάνει, ἐπεὶ καὶ πρὸς αὐτὴν τὴν ἐσθῆτα δεῖ χρημάτων, ὧν χωρὶς οὐκ ἔστιν αὐτὴν κτήσασθαι.* 6. *τίς δ' ἂν ἀποδημία συμφέρουσα*

5 Dem. Ol. II p. 35, 15 10 cf. t. II 345, 1 14 cf. t. II 290, 13; 465, 4

3 *ποιήσομαι B* 4 *νεώσοικοι* scripsi ex *Es* *νεώς, οἶκοι B Pal Vat* edd 5 *χαρακώματα* om *Vat* 7 *προσάγουσι* (superscr. *νται*) *B* 8 *ταῦτα* libri edd 10 *σιτηρεσίων Es* 12 *πόλεων* scripsi cum Sinteni coll l. 3 *πολεμίων* libri edd 13 *καθ' ἕκαστον B* | *ἄγεσθαι* ante *κρατεῖ Vat* edd delevi cum Sinteni 14 *μὲν*] *γὰρ Es* | *οἰκοδομῆσαι Es* 24 *αὐτὴν κτήσασθαι* scripsi auctore Sinteni *αὐτῇ χρήσασθαι* libri edd

γένοιτο μὴ τούτων ὑπόντων; τίς δ' ἂν χρήσιμος πρὸς τὴν ἐνεγκοῦσαν φανείη μὴ χορηγῶν, μὴ λειτουργῶν, μὴ τριηραρχῶν, μὴ πρῶτος ἐν ταῖς ἐπιδόσεσιν ἐνδεικνύμενος; οὐκ ἂν τυραννὶς ἐπὶ πλεῖον ἀρκέσειε πενίᾳ συνεζευγμένη, οὐκ ἂν βασιλεία ταύτης ὑπούσης. καὶ δημοκρατίαν ἴσμεν χρημάτων ἀπορίᾳ ταχέως κινουμένην. μετὰ τούτων ἔστι καὶ τοὺς ἐπιτηδείους ὠφελεῖν καὶ τῶν δυσμενῶν κρατεῖν. πρόχειρον γὰρ τοὺς εὐπόρους ξενικῶν προσθήκῃ τὰς δυνάμεις αὐξῆσαι.

7. *Εἰ τοίνυν οἷς περιουσία χρημάτων, τούτοις ἅπαντα χωρεῖ κατὰ νοῦν, ἀνάγκη μηδὲν πληροῦσθαι τῶν δεόντων, ἔνθα τούτων ἡ σπάνις. οὔτε ἄνευ ὅπλων ἔστι ποιεῖσθαι πόλεμον οὔτε ἄνευ σκάφους περαιοῦσθαι τὴν θάλατταν οὔτε βαδίζειν χωρὶς ποδῶν οὔτε ἄνευ χρημάτων τοῦ δέοντος τυχεῖν. ὥσπερ γὰρ ὀφθαλμῶν ἐστερημένον οὐκ ἔστιν ὁρᾶν, οὕτω τὸν ἐν ἐνδείᾳ καθεστῶτα χρημάτων ἃ προσῆκεν οὐκ ἔστι ποιεῖν.*

8. *Ἀπόβλεψον δὴ εἰς τὴν Ἀθηναίων πόλιν καὶ μᾶλλον ἐκ τοῦ παραδείγματος θαυμάσῃ τὸν λόγον. ἐκεῖνοι | μὲν γὰρ ἕως ἐθάρρουν μυρίοις ταλάν-* R IV 1127 *τοις ἐν ἀκροπόλει κειμένοις, ἡγοῦντο μὲν τῶν Ἑλλήνων, ἐκράτουν δὲ τῶν Λακεδαιμονίων, ἦσαν δὲ φοβερώτεροι τῷ Περσῶν βασιλεῖ· ἐπεὶ δὲ προϊὼν ὁ χρόνος ἐξανάλωσε τὰς περιουσίας, ὑπέκυψαν μὲν τοῖς ἐχθροῖς, τυράννους δὲ παρεδέξαντο, κατέσκαψαν δὲ τὰ τείχη*

---

2 cf. t. IV 949, 17 R. Lys. or. VII § 31 20 Dem. Ol. III p. 35, 5 sq. 25 Aeschin. fals. leg. § 77

---

4 *ἀρκέσειεν Es* 9 *ξενικῶν Es* sed *δυσμενῶν* in marg 12 *ἡ* delendum censet Sintenis 13 *οὔτ' B* edd 14 *θάλασσαν Es* | *οὔτε*(1) scripsi *οὐ* libri edd | *οὔτ' B* edd 16 *οὕτως B* edd 17 *χρημάτων καθεστῶτα Es* 18 *δὲ* Sintenis 19 *θαυμάσῃ* om *Es* 20 comma post *ἐθάρρουν* libri edd delevi

τῶν δυσμενῶν κελευόντων. 9. *ἐπ' αὐτῶν τοίνυν τῶν καιρῶν ἐν οἷς ἐπολιτεύετο Δημοσθένης οὐδὲν οὕτως ἐλυμήνατο τοῖς πράγμασιν ὡς τὸ τῆς ἀπορίας. οὐδὲ ἄλλο τι Φίλιππον ηὔξησεν ἢ τὸ πλουτεῖν, καὶ τοσοῦτον ἴσχυσε τῷ κεκτῆσθαι χρυσίον ὥστε τῶν ἄμεινον ἠσκημένων πολεμεῖν τὰς πόλεις ἐπρίατο τοὺς παρ' ἑκάστῃ προστάτας ὠνούμενος.*

10. *Οὐ τοίνυν Δημοσθένης μὲν οὕτως, ἄλλως δὲ Πίνδαρος, οὐδ' οὗτοι μὲν πάντα συνᾴδουσι, Θουκυδίδης δὲ τοὐναντίον φθέγγεται, ἀλλὰ καὶ ῥήτορας καὶ συγγραφέας καὶ ποιητὰς ταὐτὸν εὑρήσεις λέγοντας· δεῖ χρημάτων τοῖς μὴ μέλλουσιν ἁμαρτήσεσθαι τοῦ δέοντος. ὥστ', εἴπερ καὶ ὑμῖν ἔρως τοῦ κατορθοῦν, ἐπιμελητέον πόρων.*

---

4 sq. cf. t. IV 949, 25 sq. R. Dem. cor. p. 241, 25 sq.; fals. leg. p. 426, 14 sq. 8 cf. ad t. VII 108, 6. Pind. Pyth. V 1; Ol. II 58 sq. Nicol. prog. 4, 2 ed. Walz. Rhet. gr. t. I 280, 29
9 Thuc. I 2, 1

---

1 *ἐπ' αὐτῶν*] *ἁπάντων Es* 4 *τι*] *τὸν Es* 7 *ἑκάστῃ* scripsi *ἑκάστης* libri edd *ἑκάστοις* Sintenis 9 *συνᾴδουσιν B* edd 12 *ἁμαρτήσασθαι* Re 14 *χρημάτων Es*

V.

Ἀνασκευαί.

Ἀνασκευὴν priorem inscriptam Ὅτι οὐκ εἰκὸς τὸν Χρύσην εἰς τὸν ναύσταθμον ἐλθεῖν τῶν Ἑλλήνων continent hi quidem 12 codices:

1. Barberinus II 61 nunc Vaticanus Barb. 240 (= Ba) saec. XIII/XIV valde lacer fol. 23. Vide supra p. 1 sq. Contuli.

Ex hoc nondum mutilato descriptus est

2. Parisinus gr. 2918 (= Pa) saec. XV fol. 13^{v}. Vide supra p. 5 sq. Contuli.

3. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 11^{v}. Vide t. I p. 25 sq. Contuli.

Ex hoc descriptus est

4. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) (= E) saec. XVI fol. 46. Vide t. I p. 326 sq.

E communi exemplari quod ratione supra p. 62 delineata ad eundem atque *B* fontem redit fluxerunt tres codices:

5. Escurialensis Φ-III-19 (235 in catalogo Milleriano) (= Es) saec. XVI fol. 20. Vide t. IV p. 325 sq.

6. Vaticanus Palatinus gr. 148 (= Pal) saec. XV fol. 82. Vide t. II p. 190 sq. Contuli.

7. Vaticanus Palatinus gr. 277 (= Vat) saec. XVI fol. 249. Vide t. II p. 192. E parte contuli.

Proxime a *B* stat

8. Oxoniensis collegii Lincolniensis 25 (= Li) saec. XV fol. 12. Vide t. I p. 378 et supra p. 9.

9. Parisinus gr. 3014 (= P) saec. XIV fol. 13^{v}. Vide t. II p. 375 sq. Adhibitus est a Morello. Contulit mihi Henricus Lebègue.

Ex eodem atque hic exemplari descriptus est codex

10. Laurentianus LVIII 2 (= L) saec. XV fol. 105^{v}. Vide supra p. 7 sq. Contuli.

E communi cum his duobus codicibus exemplari fluxit

11. Vindobonensis Phil. graec. CCLIX (= Vi) saec. XV fol. 170^v. Vide supra p. 8. Contuli.

Ex hoc per editionem Barbati fluxit

12. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide supra p. 8 sq.

Ex his quos in censum vocandos esse duxi codices sex *BaPaBPLVi* quo necessitudinis vinculo inter se coniuncti sint stemmate supra p. 15 prolato illustratur.

Unum locum laudant excerpta codicis Vaticani gr. 305 fol. 2^v. Vide p. 30.

De editionibus et recentiorum emendandi conaminibus ad ea te delego quae supra p. 61 dixi.

Ἀνασκευὴν alteram inscriptam *Ὅτι οὐκ εἰκότα τὰ κατὰ τὸν Αἴαντα τὸν Λοκρόν* quae non solum Odysseae tertium respicit, sed etiam ad Iliupersidis Arctini et Hagiae *Νόστων* argumenta redit, iidem quinque codices servaverunt qui chriam quartam sententiamque tertiam:

1. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 13^v. Vide t. I p. 25 sq. Contuli.

Ex hoc descriptus est

2. Escurialensis *Ψ*-IV-12 (482 in catalogo Milleriano) (= E) saec. XVI fol. 54^v. Vide t. I p. 326 sq. Contuli.

Ad commune cum *B* exemplar redeunt tres codices

3. Escurialensis *Φ*-III-19 (235 in catalogo Milleriano) (= Es) saec. XVI fol. 85^v. Cf. t. IV p. 325. Contuli.

4. Vaticanus Palatinus gr. 148 (= Pal) saec. XV fol. 87. Vide t. II p. 190.

5. Vaticanus Palatinus gr. 277 (= Vat) saec. XVI fol. 254. Vide t. II p. 190. Lectiones huius atque alterius Palatini codicis Allatius margini Barberini adscripsit unde eas sumpsi.

De editionibus Allatiana (= All) p. 359—372 et Reiskiana (= Re) t. IV p. 1127—1131 valent quae supra p. 62 monui.

Ἀνασκευαί.

α'.

Ὅτι οὐκ εἰκὸς τὸν Χρύσην εἰς τὸν ναύσταθμον ἐλθεῖν τῶν Ἑλλήνων. R IV 881

1. Οὐδ' ἄλλον μὲν ἠξίουν οὐδένα τῶν ποιητῶν τῆς ἀληθείας ἀμελεῖν, ἄλλως θ' ὅτε καὶ παρὰ τῶν Μουσῶν κινούμενοί φασι λέγειν ἃ λέγουσιν, ἀλλὰ μᾶλλον σπουδάζειν ὅπως τι λέξουσιν ἀληθὲς ἢ ὅπως τὸν ἀκούοντα τέρψουσιν· Ὅμηρον δὲ μάλιστα πάντων ἔδει τοῦτο φυγεῖν οὕτως ὄντα γενναῖον καὶ μεγαλοπρεπῆ. 2. νῦν δὲ φαίνεται καὶ αὐτὸς | ψευδῆ διώ- R IV 882
κων ἔν ἄλλοις τε οὐκ ὀλίγοις καὶ τοῖς πρώτοις τῆς Ἰλιάδος εὐθύς. λέγει γὰρ ἐλθεῖν ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων τὸν Χρύσην ἐπὶ λύσει τῆς θυγατρὸς καὶ

---

3 cf. p. 144, 12 sq. 6 Hes. theog. 31 cf. p. 96, 3; 144, 2
9 cf. p. 144, 5 13 Il. α 15

---

5 ἐκ τῆς τῶν φησάντων διαβολῆς in marg *Pal*

---

1 Ἀνασκευαί om *Vi* περὶ ἀνασκευῆς *BaPa* Ἀνασκευὴ reliqui libri edd 3 ὅτι — 4 Ἑλλήνων om *Vi* | ἀφικέσθαι post Χρύσην edd delevi 4 ἐλθεῖν inserui e libris om edd 5 ἄλλων Mor Re qui ἄλλον scribendum vidit 6 ὅτε scripsi e *BaPa* ὅταν *BPal* ὅτι *PLVi* edd 7 φάσκουσιν *BPal* 8 λέξουσιν et 9 τέρψουσιν scripsi coll p. 108, 18 et 114, 12 λέξωσιν et τέρψωσιν libri edd | ἢ] οὐχ *BPal* 9 μάλιστα om *BPal* | πάντως *BPal* 10 φεύγειν *Ba* | οὕτως om *BPal* 12 οὐχ ἥκιστα ante τοῖς *Vi* edd delevi | τῆς om *Pal* 14 τῇ ante λύσει *BPal*

ποιεῖσθαι διπλῆν τὴν ἱκετείαν, τὴν μὲν πρὸς τὸν ὄχλον, τὴν δὲ πρὸς τοὺς ἄρχοντας, τυχόντα δὲ τῶν πολλῶν ⟨εὐμενῶν⟩ χαλεποῦ πειρᾶσθαι τοῦ κρατοῦντος καὶ λόγους ἀκούειν ἀπειλῆς γέμοντας. ἤλγησε, φησίν, οἷς ὑβρίσθη καὶ κατέφυγεν ἐπὶ τὸν Ἀπόλλωνα δεόμενος αὐτοῦ ἀμείψασθαι τὰ γεγενημένα καὶ δίκην λαβεῖν παρ' Ἑλλήνων. 3. *ταῦτά φησιν Ὅμηρος, τούτοις οὐ πείθομαι. πῶς γὰρ ἂν ἐτόλμησε γέρων ἄνθρωπος παρὰ τοὺς πολεμίους ἐλθεῖν; ὃ μηδὲ νεανίας ὑπέμεινεν ἄν. οὓς γὰρ ἐπιόντας φεύγειν εἰκός, πῶς εἰς τούτους ἐλθεῖν ἂν ἠθέλησεν, οὓς ᾔδει μισοῦντας τὸ Ἴλιον, πορθοῦντας τοὺς περιοίκους;* 4. *ὁ πόθος τῆς θυγατρὸς ταῦτα ἠνάγκαζεν. ἀλλ' ὁ φόβος τῶν ἐναντίων ἐκώλυεν. ἦν δ' ἱκανὰ κἀκεῖνα παραμυθεῖσθαι, πρῶτον μὲν τὸ μὴ μόνον δυστυχεῖν, ἀλλὰ σὺν ἄλλοις πολλοῖς, ὧν παῖδες οἱ μὲν ἐτεθνήκεσαν, οἱ δὲ κατείχοντο. ἔπειτα τὸ τῆς βασιλίδος τὴν αὐτοῦ θυγατέρα τάξιν ἐν τοῖς Ἕλλησιν ἔχειν. ἤκουε γὰρ ἴσως παρὰ τῶν ἀγγελλόντων τὴν περὶ τὸ γύναιον τοῦ βασιλέως σπουδήν, ὡς ἀγα-*

6 Il. α 42 17 Il α 113

1 *ποιεῖται BPalPLVi* 3 *εὐμενῶν* inserui coll t. III 255, 5 om libri edd 5 *καὶ* inserui e *Pal* cum Iacobsio Lect 164 om reliqui libri edd 6 *ἀμείψασθαι* scripsi auctore Re *μέμψασθαι* libri edd 7 *παρ' ἑλλήνων λαβεῖν Pa* | *ἄλλων Pal* | *τούτοις* delet. *Ba* *ταῦτα Pa* 8 *ἂν* om *Pal* | *πρὸς BPal* 9 *μὴ δὲ PLVi* *μηδὲν* Mor Re | *ἐτόλμησεν BaPa* 10 *οὓς* — 11 *ἠθέλησεν* om *BPal* | *τοὺς* ante *τούτους Pa* 11 *ἠθέλησεν* scripsi e *PL* *ἐθελῆσαι BaPa* *ἐθέλησεν Vi* edd | *τὸ* inserui e *BaPaBPal* om *PLVi* edd 13 *ταῦτα* om *Pal* 14 *κἀκεῖνα* reposui e libris *ἐκεῖνα* edd sed *γρ κακεῖνα* in marg Mor | *πρῶτον μὲν* om *Pal* 16 *ἐτεθνήκεισαν Pa* 17 *τῆς* om *BPal* | *τάξιν παρὰ τοῖς ἕλλησι τὴν ἑαυτοῦ θυγατέρα BPal* | *αὑτοῦ L* 19 *τὴν βασιλέως περὶ τὸ γύναιον σπουδὴν BPal* | *καὶ* ante *ἀγαπᾶται BaPaBPalPL*

πᾶται καὶ ὡς θαυμάζεται καὶ πάντα ἐστὶν αὐτῷ. τοῦτο δὲ καὶ κουφίζειν αὐτοῦ τὴν λύπην ἠδύνατο καὶ φόβον παρεῖχεν αἰτεῖν ἐπιχειροῦντι.

5. *Νὴ Δία, ἀλλὰ τῷ σκήπτρῳ καὶ τοῖς στέμμασιν ἐθάρρει. καὶ τίς λόγος τοῖς πολεμίοις τῶν παρὰ τοῖς ἐναντίοις θεῶν; οὐχ ἑώρα τὰς ὑπ' Ἀχιλλέως ⟨ἁλούσας⟩ πόλεις πλείους ἢ εἴκοσιν ἐν αἷς τεμένη πολλά, πολλοὶ δὲ βωμοί, πολλοὶ δὲ νεῴ, πολλὰ δὲ ἀγάλματα, οἷς ἅπασι σίδηρον καὶ πῦρ ἐπήνεγκαν Ἕλληνες; πῶς οὖν οἱ ταῦτα ἐν φαύλῳ πεποιημένοι πάντα ἔμελλον χαριεῖσθαι τῷ Χρύσῃ διὰ τὸ σκῆπτρον;*

6. *Πόσης δὲ ἀνοίας τὸ τοὺς ἀρχομένους μετὰ* | R IV 883 *τῶν κρατούντων ἱκετεύειν; εἰ μὲν γὰρ ὄχλος ἐκράτει, τί τοῖς Ἀτρείδαις διελέγετο; εἰ δὲ τῶν Ἀτρειδῶν τὸ κράτος, τί τῶν πολλῶν ὄφελος;*

7. *Ἀλλὰ δεδόσθω τοῦτον ὑπὸ τῆς λύπης ἁμαρτάνειν τοῦ προσήκοντος. οἱ δὲ Ἕλληνες δοκοῦσιν ἂν πρὶν ὅ τι τοῖς ἄρχουσιν ἀρέσκει μαθεῖν συναγορεῦσαι*

---

1 cf. ad t. VI 603, 8   4 cf. p. 145, 4 sq. Il. *α* 14. 28   7 cf. t. V 311, 5 sq. Il. *ι* 328 sq.   12 Il. *α* 15

---

1 *πάντως BPal* | *αὐτῷ* scripsi *αὐτοῦ* libri edd   2 *καὶ* om *BPal* | *αὐτοῦ* om *Pal* *αὐτῶ BaPa*   5 *ὁ* ante *λόγος B* | *πολέμοις Pa* | *περὶ PL*   7 *ἁλούσας* inserui coll t. V 311, 5 om libri edd | *εἴκοσι BPal* edd   8 *δὲ*(2) om *BPal* | *νεῴ* scripsi *νεοὶ Ba* *νεὼς PaPLVi* *νεὼ BPal* edd cf. t. VII 373, 19 | *δὲ* om *BPal* *δ' Pa*   9 *ἅπασι* scripsi e *BaPaBPal* *πᾶσι PLVi* edd | *ἤνεγκαν PLVi* Barb Cam Mor   10 *πῶς οὖν* scripsi e *BaPa* *πῶς PLVi* edd *ποῦ BPal* | *ποιοῦντες* post *ταῦτα Pa*   12 *δὲ* om *Pal*   13 *τῶν κρατούντων* scripsi *τούτου BPalPLVi* edd *τοῦτο BaPa* *τούτων* Sintenis | *ὁ* ante *ὄχλος P* edd delevi   14 *βασιλεῦσι BPal*   16 *τοῦτον* scripsi e *BaPaBPal* *τοῦτο PLVi* edd *τούτῳ* Sintenis | *ἀπὸ BPal*   17 *δοκοῦσιν ἂν*] *δοκοῦσιν ἄνους Pa* *δοκοῦσι BPal* *δοκοῦσιν ἄν πως* coni Re *δοκείτωσαν* Iacobs Lect App Pors 332   18 *πρὶν*] *ὡς Ba* om *Pa* *ὡς πρὶν PLVi* edd | *ὅτι* libri edd sed *ὅ τι* coni Re | *μὲν*

τῷ γέροντι καὶ βοηθῆσαι; τουτὶ γὰρ ἦν καταλύειν τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν εἰς αὐτοὺς μεθιστάναι. ἀλλὰ ταυτὶ μὲν δημοκρατίας, ἐν βασιλείᾳ δὲ ἡ τοῦ δυναστεύοντος γνώμη νόμος τοῖς ἀρχομένοις ἐστίν.

8. Εἰ δ' οὖν ὡς ἀληθῶς συνέβη τι τοιοῦτον καὶ τὴν τοῦ βασιλεύοντος κρίσιν ἡ τῶν ἀρχομένων ἔφθασε, δοκῶ μοι μή που τὸν Ἀγαμέμνονα ⟨ἂν⟩ φιλονεικῆσαι καὶ μάταιον ἐκείνοις ἀποφῆναι τὴν σπουδὴν εἰδότα ὅσαι κατελύθησαν τῶν ἀρχῶν διὰ τὴν τῶν ἀρχομένων ἀπέχθειαν. οὐ γὰρ ἐν πλήθει χειρῶν οὐδ' ἐν ὑπερβολῇ ῥώμης τῆς ἑαυτῶν ἔχουσιν οἱ κρατοῦντες τὸ βέβαιον, ἀλλ' ἐν τῇ τῶν ὑπακουόντων εὐνοίᾳ. ἣν εἴ τις μεταστήσειεν ἐπὶ τἀναντία, ῥᾴδιον ⟨ἐκείνους⟩ ἐπαναστῆναι

7 cf. p. 145, 18 sq.

post *ὅτι Ba*, *μὴ Pa* | *ἀρέσκει μαθεῖν*] *ἀλλὰ γὰρ Ba* *ἀλλὰ Pa* | *ἀρέσκοι B* et coni Re | *συνηγορῆσαι?* cf. p. 147, 1
1 *τῷ* (om *Ba*) *γέροντι συνηγοροῦσι BaPa* | *βοηθοῦσι BaPa* | *τοῦτο BaPa* | *εἰς τὸ* ante *καταλύειν BaPa* 2 *τὴν* om *Pal* | *αὐτὰ Ba* *αὐτοὺς* reliqui libri edd | *μεθεστάναι B* 3 *δημοκρα^τ' P* | *ἐν βασιλείᾳ* scripsi *βασι^λ PaP* *βασιλεία L* *βασιλείας* reliqui libri edd *ἐν βασιλείαις* Iacobs Lect 4 *ἀρχομένοις* scripsi e *BaPaBPal* *ἄρχουσιν PLVi* edd sed *ἀρχομένοις* in marg Cam, *γρ* in marg Mor et *„aut ἀρχομένοις leg. est cum margine aut ἀρχθεῖσιν"* Re 5 *τι* om *BPal* | *τοιοῦτο* edd 6 *κρίσιν* scripsi e *BaPaBPal* *γνώμην PLVi* edd | *ἔφθασε* reposui e libris *διέφθασε* edd 7 *μοι* om *BaPa* | *μή^π Pa* *μήπω Ba PLVi* edd | *„fort. δοκεῖ μοι Ἀγαμέμνων μὴ φιλονεικῆσαι"* Re *δοκεῖ μοι τὸν Ἀγαμέμνονα — φιλονεικῆσαι ἂν* Iacobs Lect | *ἂν* inserui om libri edd | *φιλονικῆσαι* edd 8 *ματαίαν BPal* | *εἰδότα* scripsi e *BaPa* *εἰδὼς BPalPLVi* edd 10 *οὐδὲ BaPa* | *οὐδὲ BaB* 11 *ῥώμης* scripsi e *BaPa* cum G. H. Schaefero Arist. Plut. ed. Hemsterh. Lips. 1811 p. XXIX *γνώμης BPal PLVi* edd 13 *τὰ ἐναντία* edd | *ἐκείνους* inserui om libri edd | *ἐπαναστῆναι* scripsi e *BaPaBPal* cum Bastio epim. I Arist. Plut. l. l. p. XXIX *μετανααστῆναι PL* Mor Re *μεταστῆναι Vi* Barb Cam

καὶ καθελεῖν τὴν ἀρχήν. 9. *τοῦτο δὴ οὖν ἐφυλάξατο ἂν καὶ σώματος ἑνὸς ἐπρίατο τὴν βεβαιότητα τῆς ἀρχῆς τόν τε πρεσβύτην οὐκ ἔσθ' ὅπως ἂν ὕβρισεν οὔτ' αὐτὸν οὔτε τὸ σκῆπτρον τῷ ἄπρακτον πέμπειν εἰδὼς ἀπαίδευτον τὸ πρᾶγμα καὶ ἀσελγὲς καὶ πρέπον ἀγοραίοις τισὶ μᾶλλον ἢ βασιλεῖ.* 10. *τί δ' ἂν καὶ πλέον ἀπὸ τῶν ὑβρισμάτων ἐγένετο κατέχοντι τὴν ἄνθρωπον; ἐξῆν γὰρ δήπου | καὶ τοῦτο εἰπεῖν· μάτην* R IV 884 *ἥκεις. οὐ δώσω, τῆς ⟨δ'⟩ εἰς τὸν θεὸν παροινίας οὐχ ὁρῶ τὸ κέρδος. ὅμως δὲ τίς ἡ ταραχὴ τῆς γνώμης; ὡς μὲν γὰρ αἰδούμενος τὸν θεὸν οὐκ ἀπέκτεινεν, ὡς δὲ οὐδὲν προσποιούμενος ἠτίμαζε.*

11. *Τὸ δὲ καὶ τὴν ἀρὰν κατὰ τῶν Ἑλλήνων γενέσθαι τίς ἂν πιστεύσειεν; οὐδὲ γὰρ μειρακύλλιον κομιδῇ μικρὸν πρὸς τοῦτο ἂν ἦλθεν ἀνοίας ὥστε παρὰ τῶν βεβοηθηκότων τιμωρίαν ζητεῖν. νῦν δὲ ὁ πρεσβύτης, ὁ ἱερεύς, ὁ παρὰ τοῖς ἀγάλμασι βεβιωκώς, ὁ τῷ θεῷ φίλος, ὁ τοῖς ἄλλοις δικαιοσύνης διδάσκαλος πει-*

---

13 Il. α 42. cf. p. 146, 18 14 Dem. Mid. p. 539, 23. cf. t. IV 221, 12 15 Il. α 22

---

1 *οὖν*] *ἂν BPal* „*fort. εἰδὼς*“ Re | *ἐφυλάξατο ἂν καὶ σώματος ἑνὸς ἐπρίατο* scripsi e *BaPaBPalPL* et *γρ* in marg Mor *καὶ σώματος ἑνὸς ἐφυλάξατο ἂν καὶ ἐπρίατο Vi* edd 3 *ἔστιν BPal* | *οὔτε* edd 6 *τισὶ* om *BaPa* 7 *ἐγίγνετο Ba ἐγίνετο PaPLVi* | *κατέχονται BL* | *τὸν BL* 8 *δήπου* scripsi e *BaPa πον PLVi* edd om *BPal* | *καὶ τοῦτο μόνον εἰπεῖν* coni Re 9 *σοι* post *δώσω Pal* | *δ'* inserui om libri edd sed *γὰρ* inserendum coni Re | *τὸν θεὸν* scripsi e *BaPaBPal θεὸν PL θεοὺς Vi* edd | *εὐνοίας BPal* 11 *ἀπέκτεινε Vi* 12 *οὐδὲν* reposui e libris *οὐ* edd sed *γρ οὐδὲν* in marg Mor 13 *καὶ* inserui e *BaPaBPal* om *PLVi* edd 14 *μειρακύλλιον κομιδῇ μικρὸν* scripsi e *BaPa μικρὸν μειρακύλλιον* (*μειρακυλλίδιον PLVi* edd) *κομιδῇ BPLVi* edd 15 *ἂν* om *BPal* | *περὶ BaPa* 16 *βεβουλευκότων BPal* | *δὲ* inserui e *BaPaBPal* om *PLVi* edd 17 *ὁ*(1) om *BPal* | *περὶ BaVi* Barb Cam 18 *τῆς ἄλλης BPal*

ρᾶται κινεῖν τὰ τοῦ θεοῦ βέλη κατὰ τῶν βεβοηθηκότων Ἑλλήνων. 12. καὶ τὸ πάντων δεινότατον, ὁ μὲν αἰτεῖται οὕτως ἄτοπα, ὁ δὲ πείθεται καὶ δίδωσιν, ὁ Λητοῦς καὶ Διός, ὁ μισῶν τοὺς ἀδικοῦντας. οὐκ ἔστιν ὅπως ἐγὼ τούτῳ πεισθήσομαι. ἃ γὰρ οὐδὲ τοὺς βελτίστους τῶν ἀνθρώπων ἔστιν ἁμαρτεῖν, πῶς ἂν ὑπὸ τῶν τὸν οὐρανὸν ἐχόντων πλημμελοῖτο; ταῦτα καὶ ψευδῆ καὶ βλαβερὰ τοῖς ἀκούουσι. καὶ προσήκει τῶν ποιημάτων ἢ παντάπασιν ἀπέχεσθαι ἢ ψυχαγωγίας ἕνεκεν ἅπτεσθαι εἰδότας ὅτι τοῦτο μὲν δύναται ποιεῖν, ἀληθείας δὲ ὠλιγώρηκεν.

β'.

R IV 1127 Ὅτι οὐκ εἰκότα τὰ κατὰ τὸν Αἴαντα τὸν Λοκρόν.

1. Ἕτερος λόγος οὗτος ψευδὴς ὑπὸ τῶν ποιητῶν περὶ τῶν ἑλόντων τὸ Ἴλιον Ἑλλήνων εἰρημένος, βιάσασθαι μὲν τὸν Αἴαντα τὴν Πριάμου Κασάνδραν τῷ τῆς Ἀθηνᾶς ἕδει προσκειμένην τε καὶ δεομένην μὴ

1 τοῦ θεοῦ τὰ βέλη *BPal* | βεβοηθηκότων scripsi e *BaPa* βεβουλευκότων *BPal* ἀνθρώπων *Vi* edd sed φιλανθρώπων in marg Cam et γρ in marg Mor om *PL* 2 καὶ om *P* θαυμάζω post καὶ edd delevi 3 αἰτεῖ *BPal* | ἄτοπον *Pa* | δὲ post δίδωσιν *P* 4 υἱὸς post διὸς *BPal* | οὐκ — 7 πλημμελοῖτο citant excerpt. cod. Vaticani gr. 305 fol. 2ʳ (vide p. 30) 5 τούτοις exc. Vat. 305 τοῦτο Sintenis at cf. p. 124, 7 6 τῶν ἀνθρώπων ἔστιν ἁμαρτεῖν scripsi e *BaPaBPalPL* ἐστὶν ἁμαρτεῖν τῶν ἀνθρώπων *Vi* edd | ἄλλων exc. Vat. | ἂν om *B* exc. Vat. 7 τὸν inserui e *BPal* cum Iacobsio Lect App Pors Adv 287 om *BaPaPLVi* exc. Vat. edd | πλημελοῖτο *PalPL* 9 πάντως *BaPa* | ἀπέχειν*BPal* | „*fort.* ἢ μόνον ψυχαγωγίας“ Re 10 εἰδότας delet. *Ba* εἰδότες *Pa* 11 ἀλήθεια *PLVi* ἀληθεία Barb

17 Κασσάνδραν edd cf. p. 150, 22 18 ἕδει libri edd | προσκειμένην scripsi ex *Es* cum Sinteni προκειμένην *BPal Vat* edd

τοῦτο παθεῖν, λόγον δὲ οὐδένα τοῦ τετολμημένου ποιεῖσθαι τοὺς Ἕλληνας, πρὶν Κάλχας εἶπεν ὡς ὠργίζετο ἡ θεός, τότε δὲ ἐπὶ τὴν δίκην ἐλθεῖν μέν, λαβεῖν δὲ οὐ δυνηθῆναι προκαταφυγόντος τοῦ τὰ δεινὰ εἰργασμένου πρὸς βωμούς τινας θεῶν. 2. ἐπὶ τούτοις ἐκκλησία περὶ τῆς ἀναγωγῆς. καὶ Μενέλαος μὲν ἐπείγεται καὶ κελεύει πλεῖν εὐθέως, Ἀγαμέμνων δὲ παρῄνει προδιαλλάξαντας αὐτοῖς τὴν θεὸν εἶθ' οὕτω πλεῖν. στάσεως δὲ γενομένης τῶν μὲν ἄλλων τινὲς ἦλθόν τε οἴκαδε καὶ ἀπεσώθησαν, ὧν καὶ Νέστωρ ἦν, ὁ Μενέλαος δὲ χειμάζεται καὶ πλὴν πέντε νεῶν ἁπάσας ἀποβαλὼν εἰς Αἴγυπτον ὑπὸ τῶν ἀνέμων ἐλαυνόμενος | R IV 1128
κατηνέχθη.

3. Πρῶτον μὲν οὖν ἐκεῖνο θαυμάσαι τις ἄν, εἰ Αἴας ὁ τῶν Λοκρῶν ἡγεμὼν καὶ τοσαύτας ἄγων ναῦς καὶ πόλεων τοσούτων ἡγούμενος καὶ τιμώμενος ἐν τοῖς Ἕλλησιν ἐπ' ἀρετῇ καὶ τῷ μηδενὸς ἡττᾶσθαι τῶν αἰσχρῶν οὕτως ἐξεπλάγη παρθένον ἰδὼν ὥστε εὐθὺς μαίνεσθαι καὶ πᾶν δίκαιόν τε καὶ πρέπον ἐκβάλλειν ἐκ τῆς ψυχῆς καὶ μηδὲν ἐννοεῖν ὧν εἰκός, μὴ τοὺς ἀρχομένους, μὴ τοὺς ἄλλους Ἕλληνας, μὴ τοὺς τούτων ἄρχοντας, μὴ φίλους, μὴ δυσμενεῖς, εἴ τινες ἄρα ἦσαν

---

1 sq. cf. t. II 529, 1 sq. Arctin. Iliup. et Hag. Nost. apud Proclum chrest. ed. Kinkel. Fr. ep. p. 49, 20 sq. 50, 8 sq. 53, 1 sq. Tzetz. epit. Apollod. 5, 22—6, 2 ed. Wagner. Myth. gr. I 213
6 Od. γ 136 sq. 10 Od. γ 184 11 Od. γ 299 15 Il β 534

---

3 τότε scripsi cum Iacobsio Lect 191 Sinteni τόδε libri edd | μέν om Es 6 ἐναγωγῆς edd cf. p. 36, 8; t. II 71, 2. Paus. X 25, 2 7 προσδιαλλάξαντας Es 8 αὐτοῖς B edd 12 ἐλαυνόμενος om Es 14 θαυμάσαιτο Es 19 πρέπον scripsi cum Iacobsio Lect πλέον B πέον Es (ω supra scr.) κλέων Pal Vat edd 22 οἵ Es

αὐτῷ, καὶ τὸ μέγιστον, μὴ τὸν νεών, μὴ τοὺς βωμούς, μὴ τὴν Ἀθηνᾶν αὐτήν. εἰ γὰρ καὶ σφόδρα ἤρα τῆς κόρης, καίτοι τοῦτό γε οὐκ ἔχον λόγον ἐστὶν ἰδόντα εὐθὺς ἐρασθῆναι. χρόνου γάρ, οἶμαι, τά γε τοιαῦτα δεῖται πλείονος καὶ συνεχοῦς ὄψεως καὶ μακροτέρας ὁμιλίας. 4. *ἀλλ' εἰ δεῖ τοῦτο δοῦναι καὶ ἐγχωρῆσαι, τὴν πρώτην ὄψιν οὕτως ἀφόρητον ἐπιθυμίαν τεκεῖν, τί παθὼν ἐν ὀφθαλμοῖς ἐμίγνυτο τῆς θεοῦ καὶ οὐκ ἀποσπάσας ἐπὶ τὴν σκηνὴν ἄγων ἔπραττεν ὅ τι ἐβούλετο; δεινὸν γὰρ καὶ τοῦτο, τὴν ἀδικοῦσαν μὲν οὐδέν, ἀδικουμένην δὲ τὰ μέγιστα μηδὲ τῆς παρὰ τῶν θεῶν ἐπικουρίας ἀπολαύειν, ἀλλ' ἐκ μέσων ἁρπάζεσθαι τῶν ἱερῶν, εἶχε δ' ἂν ἐλάττω τὴν ἀσέβειαν. οὐ γὰρ ἴσον οἶμαι τῷ μίγνυσθαι τῆς Ἀθηνᾶς ὁρώσης τὸ [τὸν] λαβόντα τὴν κόρην οἴχεσθαι.* 5. *ἠνάγκαζεν ὁ Ἔρως. ἀλλ' ἡ θεὸς ἐφόβει. πολλῶν δὲ ἐπιθυμοῦντες ἄνθρωποι πολλάκις ἀπέχονται καὶ κρείττονας δείσαντες καὶ νόμους καὶ τὸν ἐπὶ τοῖς ἔργοις λόγον, ἔδει δὲ τὸν Ἕλληνα καὶ φρόνιμον καὶ ἡγεμόνα καὶ ἐρῶντα.* 6. *θήσω γὰρ ⟨αὐτὸν⟩ τὴν μὲν ἐν τῇ σκηνῇ κρύψαι, πρὸς δὲ τοὺς Ἕλληνας ἐν τῷ καιρῷ τῶν τιμῶν ὁμολογῆσαι τὸ πάθος. ὁμολογήσαντι δὲ καὶ τὴν κόρην ἔχειν ἀξιοῦντι πάντως ἂν ἔδοσαν οἱ τὸν ἄνδρα εἰδότες μεμνημένοι*

---

15 cf. p. 151, 15 sq.

---

1 *καὶ* inserui ex *Es* coll t. I 448, 13 om *BPal Vat* edd 8 *τὶς Es* | *παθὼν* scripsi cum Sinteni *λαθὼν* libri edd *μαθὼν* Iacobs Lect 11 *μὴ δὲ* libri | *τῶν*] *τῆς Es* 12 *ἁρπάζεσθαι* scripsi *ἁρπάζειν* libri edd 13 *ἶσον* libri edd 14 *τὸν* ante *λαβόντα* libri edd cancellavi 20 *αὐτὸν* inserui om libri edd | *ἐν τῇ* scripsi *αὐτῇ* libri edd | *κρύβειν Es* 22 *ὁμολογήσαντι* et *ἀξιοῦντι* scripsi cum Iacobsio Lect Sinteni *ὁμολογήσαντα* libri edd et *ἠξιοῦντο BPal Vat* edd *ἠξίουτο Es* 23 *πάντες Es* et coni Iacobs | *οἱ* om *Es*

μὲν τῶν πόνων οὓς παρὰ πάντα τὸν πόλεμον ἤνεγκεν, αἰδούμενοι δὲ τὴν σωφροσύνην τοῦ κατασχόντος αὐτόν. καὶ οὕτω μὲν εἶχεν ἂν διὰ τέλους τὴν ἐρωμένην, ὡς δὲ νῦν ἔπραξεν, ἀπεστέρηται. δόξας γὰρ ἀδικεῖν καὶ τῆς παρρησίας αὐτὸν οἷς ἔδρασεν ἐκβαλὼν οὐκέτ' εἶχε λέγειν οἷς ποτε ἂν ἐχρῆτο.

7. *Εἶεν. ἀλλ' ἠσεβήκει μὲν | ἅμα, ἠσεβεῖτο* R IV 1129 *δὲ ἡ θεός, ἔλαθε δὲ τοῦτο οὐδένα τῶν Ἑλλήνων. τί οὖν ἔδει ποιεῖν τοὺς καθημένους; ἀγανακτεῖν, βοᾶν, εἰς δικαστήριον ἄγειν, ἀπαιτεῖν τιμωρίαν, δεικνύειν ὀργὴν ἐπὶ τοῖς πεπραγμένοις. νῦν δὲ τοιοῦτον μὲν οὐδέν, ἡσυχία δὲ πολλή. μᾶλλον δέ, ἡ θεὸς μὲν ἐν οὐδενὶ λόγῳ, πολλὴ δὲ ἡ πρὸς τὸν πλοῦν ὁρμή.* 8. *καὶ ὁ μάντις ἐδίδασκεν ὡς οὔπω καιρός, δεῖν γὰρ καὶ πρότερον θεραπεῦσαι τὴν θεόν. τί γένοιτ' ἂν τῶν Ἑλλήνων ἀνοητότερον; Κάλχαντος ἐδέοντο πρὸς τὸ μαθεῖν ὡς θεὸς ὑβριζόμενος ὠργίζετο καὶ ὡς ὀργὴ δαιμόνων μεγάλη ζημία; οὐ γὰρ καὶ γυναικὶ καὶ παιδὶ τοῦτό γε δῆλον; οὐ γὰρ καὶ τοῖς οἰκέταις καὶ τοῖς δορυφόροις τῶν Ἑλλήνων; οὐ γὰρ καὶ τοῖς ἀναισθήτοις εἶναι δοκοῦσι βαρβάροις;* 9. *ἀλλ' ὁ τὴν ἀρχὴν ἔχων διὰ σύνεσιν Ἀγαμέμνων καὶ ὁ ῥήτωρ Ὀδυσσεὺς καὶ ὁ τῷ πολλῷ χρόνῳ εἰς ἄκρον ἥκων σοφίας ὁ Πύλιος, προσθείην*

---

8 cf. p. 152, 12 9 Thuc. V 85, 1 16 cf. p. 149, 15 21 cf. p. 145, 15 sq.

---

2 *αὐτὸν Es* edd 3 *εἶχε Es* | *ἂν* om *Es* 4 *ἀπεστερ* cum lacuna 4 litt *B* | *ἀδικεῖν* scripsi ex *EsPalVat* cum Sinteni *ἀδικῶν B* edd 5 *αὐτὸν B* edd | *οἷς ἔδρασεν* om *EsPal* | *ἐκβαλὼν* scripsi *ἐκβάλλων* libri edd | *οὐκ ἔτ' Es* 6 *ποτ'* edd *τότ'* Sintenis 15 *γένοιτο* edd 17 *ἡ* ante *θεὸς Es* | *ὑβριζομένοις Es* | *ὡς*] *ἡ Es* 18 *γε* om *Es* 21 *ἀλλ' ὁ*] *ἀλλὰ Es* | *διὰ*] *πρὸς* Sintenis 23 *σοφίας ἥκων Es*

δ' ἂν καὶ τὸν Τυδέως ὃς ἐν πολλαῖς ἐκκλησίαις ἐπεδέδεικτο τὴν ἑαυτοῦ φρόνησιν, αὐτοῦ πάντες ἐκάθηντο μένοντες τὴν Κάλχαντος μαντικήν, ἵν' ἐκεῖνος αὐτοῖς εἴπῃ περὶ τῶν οὕτω προδήλων. λοιπὸν οὖν ἦν εἰς ἐκεῖνον βλέποντας καὶ καθῆσθαι καὶ βαδίζειν καὶ λαλεῖν καὶ σιωπᾶν καὶ τιμᾶν τοὺς ἀγαθοὺς καὶ μισεῖν τοὺς κακούς. 10. τίνες οὖν ἦσαν, ἐπειδήπερ ἐδιδάχθησαν; κατεψηφίσαντο τοῦ Λοκροῦ θάνατον, ὁ δὲ διέφυγε καὶ ἦν ἐπὶ τῶν βωμῶν. πῶς οὖν εἰς τοσοῦτον, εἰπέ μοι, διέφυγε κακόν; πῶς οὐ γέγονεν ἐκ μέσου τῆς στρατιᾶς ἁπάσης; πρὸ μὲν γὰρ τοῦ ταύτην ⟨ἐπὶ κρίσιν⟩ ἐνεχθῆναι πάντως ἂν αὐτὴν ἀνέμενεν ἄδηλον ὂν πότερον γνώσονται, κεκριμένου δὲ τοῦ δεῖν ἀποθανεῖν εὐθὺς ἂν ἀπέθνησκε λίθοις. οὐ γὰρ ἦν, οἶμαι, τοῦ Παλαμήδους βελτίων. 11. εἰ μὲν οὖν παιδιὰ τὸ πρᾶγμα ἦν καὶ αὐτοὶ συνέπραττον αὐτῷ πρὸς σωτηρίαν, οὐκ ἀνδρῶν ἔργον Ἑλλήνων ἐποίουν· εἰ δ' ὄντως ἤθελον δίκην λαβεῖν, ἔλαβον ἄν, καὶ οὐκ ἦν διάδυσις τῷ πεπονηρευμένῳ, εἵλκετο δ' ἂν καὶ ἀπὸ τοῦ βωμοῦ δικαίως. καὶ οὐκ ἂν οὕτω κακῶς ἠτίμησαν τὸν βωμὸν οὐδὲ αὖ τὸν θεὸν οὗπερ ἦν ὁ βωμός. τουτὶ γὰρ ἦν ἐν τῷ δοκεῖν τιμᾶν τοὺς θεοὺς ἀτιμάζειν τοὺς
R IV 1130 θεούς, εἴπερ τοὺς εἰς ἐκείνους ἀσεβοῦντας δι' | αὐτοὺς ἐκείνους ἔσωζον. 12. ἀλλ', οἶμαι, τοσοῦτόν γε

9 cf. p. 153, 3 sq.

1 ἐδείκνυτο *Es* ἐπεδείκνυτο *PalVat* 2 κάθηντο *BEs* 3 ἵνα *B* edd 4 οὕτω scripsi e libris cum Iacobsio Lect οὐ edd 5 καὶ (1) om *Es* | καλεῖν *BEs* corr All λαβεῖν Re 7 ἐπειδὴ *Es* 8 διέφυγε scripsi διέφευγε libri edd 9 τὸν βωμὸν *Es* cf. p. 129, 5; 130, 1; 153, 5, 7, 12 | εἰς om *EsPal Vat* 10 διέφευγε *Es* 11 ἐπὶ κρίσιν inserui om libri edd 13 πότε *Es* | κεκρυμμένου *Es* 14 ἂν om *Es* 15 οὖν om *EsPal* 16 αὐτοὶ] αὐτὸ *Es* 17 οὕτως *EsPal* 20 ἐτίμησαν *BEsPal* 21 οὐδ' edd 23 ἐκεῖνον *Es*

ᾔδεσαν ὡς τὰς καταφυγὰς ταύτας τοῖς πάσχουσι κακῶς, ἀλλ' οὐ τοῖς ἀδικοῦσιν ἐξεῦρον οἱ νόμοι καὶ οὐκ ἂν τὴν ὀφειλομένην τοῖς χρηστοῖς ἐπικουρίαν ἐπὶ τὸν πονηρότατον ἁπάντων μετήνεγκαν. εἰ γὰρ ἤρκει βωμὸς εἰς παραίτησιν, τί τὸ κωλύον ἦν ἀπὸ τῶν ἀδικημάτων εὐθὺς ἐκεῖσε τρέχειν τὸν ἀνδροφόνον, τὸν μοιχόν, τὸν τυμβωρύχον, τὸν προδότην, τὸν ἱερόσυλον, πάντας ἁπλῶς τοὺς ἀξίους ἀπολωλέναι; 13. καὶ οὕτως ἂν οἵ γε βωμοὶ τοὺς πονηροὺς ἐπήσκουν καὶ παρὰ τῶν θεῶν ἂν ἦν τοῖς ἀνθρώποις εἰς κακίαν παράκλησις ἐπαγγελλομένων ἄδειαν διὰ τῶν βωμῶν τοῖς ἀδικοῦσι. ταῦτ' οὖν ἐγνωκότες οἱ τότε καὶ δι' αὐτό γε μειζόνως ἂν αὐτὸν ἐμίσουν, ὅτι τοὺς αὐτοὺς βωμοὺς οὐδέν τι ἡγεῖτο τοῖς μὲν ἄλλοις ἀσθενεῖς, αὐτῷ δὲ ἰσχυροὺς ἀξιῶν εἶναι. 14. οἱ δὲ οὕτως ἦσαν εὐήθεις ὥστ' ἐκεῖνον ἀφέντες ὥσπερ τῶν θεῶν ἀντειλημμένων τῆς μιαρᾶς κεφαλῆς ἐκκλησίαν ποιήσαντες ἐσκόπουν εἴτ' ἀμελητέον τῶν πρὸς τὴν Ἀθηνᾶν εἴτε καὶ μή. τουτὶ δὲ ἴσον ἦν τῷ σκοπεῖν εἴτ' ἄμεινον ἀπολωλέναι τὸν στρατὸν εἴτε καὶ μή. 15. καὶ διεφέροντο πρὸς ἀλλήλους οἱ παῖδες Ἀτρέως τότε πρῶτον τοῦτο ποιήσαντες. καὶ ὁ πανταχοῦ τὸν Ἀγαμέμνονα τιμῶν καὶ ὑπερχόμενος οὗτος μετὰ τοὺς μυρίους ἐκείνους μόχθους οὓς ὑπὲρ αὐτοῦ καὶ τῆς Ἑλένης ἀνεχόμενος οὐκ ἀπεῖπεν, ἐκεῖνος ὕβριζεν ὑπάγων ἃ τῶν ἐριζόντων ἦν, ἀλλ' οὐ τῶν πειθομένων. καὶ ταῦτα τοῦ

26 Od. γ 136. 148

2 ἀδικοῦσιν scripsi δικάζουσιν *BPalVat* edd ἀδικήσασιν *Es* 5 κωλῦον? at cf. ad t. III 74, 17 6 καὶ ante εὐθὺς *Es* 8 τὸν ἱερόσυλον om *Es* 9 γε scripsi ex *Es* τε *BPalVat* edd 10 ἦν ἂν *Es* 15 αὐτῷ *BPalVat* edd | εἰ δ' *Es* 19 ἴσον edd 20 τὸ στρατόπεδον *Es* 22 ποιήσαντες τοῦτο *Es* 25 ἃ scripsi εἰ libri edd

μὲν καὶ λέγοντος καὶ πράττοντος ἃ κοινῇ συνοίσειν ἔμελλεν, αὐτὸς δὲ τὰ πάντων ἀλυσιτελέστατα. 16. τί δ' ἦν τὸ καὶ τὸν Μενέλαον οὕτω κατάγον; οὐκ ἐφ' ᾧ πάντα ἐπραγματεύετο, τοῦτο εἶχε, τὴν Ἑλένην; οὐ μόνος τῶν Ἀχαιῶν ἐπὶ τῆς Τροίας συνῴκει τῇ γυναικί; σπεύδειν μὲν οὖν, ⟨ὅτ'⟩ ἠπείγετο ἀπὸ Σπάρτης εἰς Τροίαν, εἰκὸς ἦν τὸν τὴν ἡρπασμένην κομίσασθαι ζητοῦντα, ἔχοντα δὲ καὶ κεκομισμένον καὶ λελυμένον τῶν δεινῶν τίν' εἶχε λόγον μικρὸν ὑπὲρ τῶν ἀναγκαίων μὴ βούλεσθαι μένειν; μᾶλλον γὰρ ἦν εἰκὸς τοῦτο παθεῖν τὸν Ἀγαμέμνονα ποθοῦντα τὴν Κλυταιμνήστραν ἢ τὸν ἀπο-
R IV 1131 λαύοντα τῆς ἑαυτοῦ | τὸν ἀδελφὸν Ἀγαμέμνονος.

17. Οὐ τοίνυν οὐδὲ τὴν Ἀθηνᾶν εὑρίσκω δίκην εἰδυῖαν ὑπὲρ αὐτῆς λαμβάνειν. σκόπει γάρ· ἐπήνεγκε χειμῶνα τῷ Μενελάῳ πλέοντι, διὰ δὲ τούτου πολλὰς μὲν τῶν ἐκείνου νεῶν διέφθειρεν, αὐτὸν δὲ εἰς Αἴγυπτον ἀπήνεγκεν, ὅθεν ὕστερον ἀναχθεὶς εἶδε τὴν οἰκείαν καὶ πάλιν ἐβασίλευε τῆς Λακεδαιμονίας. 18. οὐκοῦν ὁ μὲν ὀφείλων ἀποθανεῖν σώζεται, οἱ δ' οὐ σφόδρα μετέχοντες τῶν ἐπὶ τῆς ἐκκλησίας ἡμαρτημένων ἀπόλλυνται. καὶ τίς οὕτως ἀνθρώπων ἄτοπος ὅστις ἐλάττονι μὲν ζημιώσει ζημίᾳ τοῦτον ᾧ τὰ μέγιστα ἐγκαλεῖ, μεγίστῃ δὲ ᾧ μηδὲν μέμφεται; τὸ

1 cf. p. 153, 20 6 cf. p. 154, 13 15 cf. p. 154, 8 sq.

3 μὲν λαὸν *Es* 6 ὅτ' inserui om libri edd 8 δὲ om *Es* | κεκομισμένον scripsi cum Sinteni κεκοσμημένην *B* sed μισμένην supra σμημένην m^2 κεκομισμένην *EsPalVat* edd | λελυμένον scripsi cum Sinteni λελυμένην libri edd 9 μὴ om *Es* | βούλεσθαι scripsi cum Iacobsio Lect Sinteni βουλεύεσθαι libri edd 11 τὸν num cancellandum? 13 δίκη *Es* 14 αὐτῆς edd 18 οἰκείαν scripsi cum Iacobsio Lect οἰκίαν libri edd 22 ζημιώσῃ *Es*

γὰρ δίκαιον ἦν δήπου τοὺς μὲν ὑπηκόους αὐτοῦ σεσῶσθαι, μόνον δὲ ἐκεῖνον ἀπολωλέναι. τοῦτο δὲ ἢ μὴ βούλεσθαι τὴν Ἀθηνᾶν ἢ μὴ βουλομένην δύνασθαι τῆς ἴσης ἀτοπίας.

19. Ἀλλ' ἡ μὲν θεὸς ἐβούλετο τὰ δίκαια καὶ ὅ τι ἂν ἐθέλῃ πράττει, τοῖς δὲ ταῦτ' εἰρηκόσιν ἐπιτιμᾶν ἄξιον.

---

1 *μὲν* om *Es* | *αὐτοῦ* scripsi cum Sinteni *αὐτοὺς* libri edd 2 *δὲ* (2) om *Es* | *ἢ* reposui e libris cum Iacobsio Lect Sinteni *εἰ* edd 5 *ἐβουλεύετο Es* 6 *ἐθέλοι* libri edd | *πράττοι Es*

VI.

Κατασκευαί.

Κατασκευὴν primam inscriptam *Ὅτι εἰκότα τὰ κατὰ τὴν κρίσιν τῶν Ἀχιλλέως ὅπλων* et secundam inscriptam *Ὅτι εἰκότα τὰ κατὰ τὴν Ἀχιλλέως ὀργὴν* hi continent 11 codices:

1. Barberinus II 61 (= Ba) fol. 23^v et 24. Vide supra p. 1 sq. Contuli.

2. Parisinus gr. 2918 (= Pa) fol. 155^v et 156. Vide supra p. 5 sq. Contuli.

3. Barberinus II 41 (= B) fol. 12 et 12^v. Vide t. I p. 25 sq. Contuli.

4. Escurialensis Ψ-IV-12 (= E) fol. 47^v et 51. Vide t. I p. 326, ubi l. 26: *47^v κατασκευὴ ὅ]τι* scribendum erat.

5. Vaticanus Palatinus gr. 148 fol. 105^v et 80. Vide t. II p. 190 sq.

6. Vaticanus Palatinus gr. 277 fol. 269^v et 247. Vide t. II p. 192.

7. Escurialensis Φ-III-19 fol. 21 et 22^v. Vide. t. IV p. 325 sq.

8. Parisinus gr. 3014 (= P) fol. 14^v et 15^v. Vide t. II p. 375 sq. Contulit mihi Henricus Lebègue.

9. Laurentianus LVIII 2 (= L) fol. 106 et 106^v. Vide supra p. 7 sq. Contuli.

10. Vindobonensis Phil. graec. CCLIX (= Vi) fol. 172 et 173^v. Vide supra p. 8. Contuli.

11. Escurialensis T-II-9. Vide supra p. 8 sq.

Priorem tantum *κατασκευὴν* continet codex

12. Oxoniensis collegii Lincolniensis gr. 25 fol. 13. Vide t. I p. 378 sq. et supra p. 9.

E quibus quos in censum vocandos esse duxi codices sex *BaPaBPLVi* necessitudinis rationem habent stemmate supra p. 15 prolato illustratam.

Duos locos primae *κατασκευῆς* laudaverunt excerpta codicis Vaticani gr. 305 fol. 2^v. Vide p. 30.

De editionibus idem valet quod supra p. 15 sq. dixi.

Tertiam *κατασκευὴν* inscriptam *ὅτι εἰκότα τὰ κατὰ τὸν Αἴαντα τὸν Λοκρόν*, quae imitationem quidem, sed non manum Libanii prodit, duo servaverunt codices

1. Barberinus II 41 (= B) fol. 15. Vide t. I p. 25 sq. et qui ex eo descriptus est

2. Escurialensis Ψ-IV-12 (= E) fol. 60. Vide t. I p. 326 sq.

Utrumque contuli sed lectiones codicis *E* ab apparatu critico seclusi.

De editionibus Allatiana (= All) p. 373—381 et Reiskiana (= Re) t. IV p. 1131—1134 ad ea te delego quae supra p. 31 sq. dixi.

Κατασκευαί.

α΄.

R IV 884 *Ὅτι εἰκότα τὰ κατὰ τὴν κρίσιν τῶν Ἀχιλλέως ὅπλων.*

1. Θαυμάζω τῶν ὁμολογούντων μὲν λείπεσθαι τῆς τῶν ποιητῶν ἐνθέου μανίας, αὐτοῖς δὲ τούτοις τολμώντων ἐπιτιμᾶν, εἰ μὴ δύνανται συνεῖναι τοῦθ' ὅτι τὰς Μούσας ἐν ταῖς τῶν ποιητῶν αἰτίαις διαβάλλουσι.
R IV 885 τὰ | μὲν γὰρ λεγόμενα ἐκείνων, ἡ φωνὴ δὲ τούτων. 2. ἀλλ' οἵ γε συκοφάνται πρὸς τοσοῦτον ἥκουσι θράσους ὥστε πλάσματα πειρῶνται δεικνύειν τὰ μετὰ τὴν τελευτὴν Ἀχιλλέως περὶ τῆς πανοπλίας ἐκείνου λεγόμενα. καίτοι πάντα πρὸς τοὔσχατον ἀληθείας ἥκει.

3. Σκοπῶμεν δέ. τὸ μὲν σῶμα εἶχεν ἡ Θέτις τοῦ παιδός, μισθὸν δὲ ἔθηκεν εἰς μέσον τῷ κεκομικότι τὰ ὅπλα. ἐπειδὴ γὰρ Αἴας τε καὶ Ὀδυσσεὺς αὐτὸς ἔφασκεν

---

5 sq. cf. p. 143, 13 sq. 14 Arctin. Aethiop. apud Proclum chrest. ed. Kinkel. Fr. ep. p. 34, 6 sq. Schol. Pind. Nem. IV 79 | Od. ω 85 sq. λ 546

---

3 *κατὰ* om *Vi* | *ἀχιλλέως* delet. *Ba* *ἀχιλλείων* *Pa* 5 *ἔχεσθαι* *BaPa* 6 *ἐνθέου* om *B* 7 *δύνανται* reposui e libris *δύναιντο* edd | *συγγνῶναι* *BaPa* *συνιέναι* Re 10 *τοῦτον* *L* 11 *τὰ* om *B* 13 *λεγόμενα* scripsi e *BaPaB* ut coni Re *διαλεγόμενα* *PLVi* edd | *πάντα* inserui e *BaPa* om *BPL Vi* edd 15 *κεκμικότι* *Ba* *κεκοσμηκότι* coni Re quod refutavit Iacobs Lect 165 Anth. Pal. III 543 16 *αὐτὸς* scripsi e *PaB* delet. *Ba* *αὐτὰ* *PLVi* Mor Re *αὐτὸ* Barb Cam

ἑκάτερος τοῦτο πεποιηκέναι, νομίσασα μηδετέρῳ δεῖν χαρίσασθαι δικαστηρίῳ καὶ ψήφῳ τὸ πρᾶγμα ἐφῆκεν. ἦν μὲν γὰρ αὐτῇ καὶ ἕτερα δοῦναι, τοιοῦτο δὲ εἶχεν οὐδὲν ἄλλως τε καὶ μέλλουσα στρατιώτας ἀμείψεσθαι. πάσας γὰρ δημιουργῶν χεῖρας ὑπερέβαλλεν ἡ περὶ ταῦτα τέχνη. καὶ ἅμα ᾔδει καλῶς ὅτι κείμενα μὲν οἴκοι διαφθαρήσεται, κοσμήσαντα δὲ ἕτερον ἀθάνατον καταστήσει τοῦ παιδὸς τὴν μνήμην. ὁ γὰρ ἰδὼν καὶ θαυμάσας εὐθὺς ἂν ἤκουσε τὸν πρῶτον δεσπότην. 4. *λαβὼν τοίνυν Ὀδυσσεὺς οὗπερ ἐβούλετο τὸν Αἴαντα, τοῦτο δέ ἐστιν ἐν ἀγῶνι λόγων, παῖδα ἄντικρυς ἀπέφηνε. καὶ γὰρ εἰ μηδὲν εἶχε λέγειν δίκαιον, τῇ γε δυνάμει τῶν λόγων τἀληθὲς διέστρεφε σοφιζόμενος, τεχνάζων, πάσῃ δεινότητι χρώμενος. ταῦτα γὰρ ἦν Ὀδυσσέως ἰσχῦσαι ῥητορικῇ δυνάμει καὶ* | *τὴν δόξαν* R IV 886

4 Od. ω 90 sq. 5 cf. p. 167, 6 8 Il. σ 466 11 Luc. mort. Peregr. 11

1 *μηδ' ἑτέρῳ Vi* 2 *δικαστηρίοις B* | *τὸ πρᾶγμα* scripsi e *BaPaBPL* *ταῦτα Vi* edd sed *γρ τὸ πρᾶγμα* in marg Mor | *ἐφῆκεν* scripsi *ἀφῆκεν* libri edd 3 *αὐτῷ PLVi* et *γρ* in marg Mor | *ἕτερον B* | *τοιοῦτον B* | *εἶχεν* om *B* 4 *στρατιώτην Pa* | *ἀμείψεσθαι* scripsi e *PaB* delet. *Ba* *ἀμείψασθαι PLVi* edd 5 *δημιουργῶν* scripsi e *Pa* (*δημηουργῶν*) *B* cum Bastio Epimetr. I praef. ad Arist. Plut. ed. Hemsterh.-Schaefer. Lips. 1811 p. XXV Sinteni delet. *Ba* *δὴ μιαρῶν PLVi* *δὴ μικρῶν* edd sed *μακρῷ* in marg Cam, *γρ μιαρῶν* in marg Mor *μικροῦ* vel *μακρῷ* coni Re | *ὑπερέβαλεν B* *ὑπερέβαλλε Pa* | *ἡ* om *Pa* | *ὑπὲρ Pa* 6 *μὲν οἴκοι* om *B* 7 *διαφθαρήσονται BaPaPL* *καταφθαρήσονται B* | *κοσμήσοντα L* | *ἕτερον* om *B* | *καταστῆσαι Pa* 9 *πρῶτον* scripsi e *BaPaB* *πάντων PL Vi* Barb *τούτων* Cam Mor sed in hoc *γρ πάντων* in marg, Re 10 *τοίνυν*] *δὲ B* 11 *ἂν* ante *ἄντικρυς* inserendum coni Sintenis 12 *εἶχεν ἔτι B* 13 *τῶν* om *B* | *σοφιζόμενος* scripsi e *BaPa* *λογιζόμενος B PL Vi* *λογιζόμενος τῇ δὲ κἀκεῖσε* (*κακεῖσαι* Barb Cam) edd 15 *ἰσχῦσαι* scripsi auctore Sinteni *ἰσχὺς ἃ* (*ἰσχὺς ὀδυσσέως ἃ B*) libri edd sed „*ἃ ῥητορικῇ δυνάμει delenda sunt, ut scholium vocabuli δεινότητι*“ Re

ἐν τοῖς Ἕλλησιν ἐντεῦθεν εἶχεν. ὅταν δὲ εἴπω ῥήτορα, ἄνθρωπον λέγω τὰ μεγάλα μὲν ἱκανὸν ὄντα δεῖξαι μικρά, τὰ μικρὰ δὲ μεγάλα, καὶ τὰ μὲν ἄδικα δίκαια, τὰ δίκαια δὲ οὐ τοιαῦτα.

5. Ὁ δ' αὖ τοῦ Τελαμῶνος ἕτερα ἠπίστατο, ἕτερα πεπαίδευτο, τρέψαι στρατόπεδον ἐναντίων, ἀποσφάξαι πολλούς, δέξασθαι προκαλούμενον, κρατῆσαι ῥᾳδίως, ἀντισχεῖν πρὸς δυσκολίαν τύχης, ἀπὸ τῆς χειρὸς συμβαλέσθαι πράγμασιν. 6. ὥσπερ οὖν, εἰ δι' ὅπλων ἔδοξε περὶ τῶν ὅπλων κρίνεσθαι, τὸν Αἴαντα πάντως ἔδει νικᾶν, οὕτως εἰς λόγους τοῦ πράγματος ἥκοντος οὐ δεῖ θαυμάζειν εἰ τὰς ψήφους Ὀδυσσεὺς ἠνέγκατο, ἐπεὶ καὶ νῦν καθ' ἑκάστην ἡμέραν πολλοὺς ὁρῶμεν ἐν τοῖς δικαστηρίοις μετὰ μὲν τῶν δικαίων εἰσιόντας, ἀπιόντας δὲ ἡττημένους οὐ χρήμασι τοῦ δικάζοντος διαφθαρέντος, ἀλλὰ τέχνῃ τοῦ λέγοντος ἀπατήσαντος.

7. Τὸν οὖν παρ' ἀξίαν καὶ περιφανῶς ἡττημένον τί χρὴ ποιεῖν; ἐπαινεῖν μὲν τοὺς δικαστάς, ἐπαινεῖν δὲ τὸν νενικηκότα; παρελθόντα δὲ Ὀδυσσεῖ μαρτυρεῖν ὡς αὐτὸς οὗτος ἦν τὰ πάντα τοῖς Ἕλλησι γελοῖον.

---

7 Il. ο 745; ε 238 8 Luc. hist. conscr. 29

---

1 *ἐν τοῖς Ἕλλησιν* om *B* | *εἶχε Vi* 2 *δεῖξαι μικρά* scripsi e *BaPaB* *μικρὰ δεῖξαι PLVi* edd 4 *δίκαια δὲ* scripsi e *BaPaBPL* *δὲ δίκαια Vi* edd | *οὐ τοιαῦτα*] *ἄδικα B* 5 *ἕτερα*] *καὶ BaPa* 8 *δυσκολίαν* scripsi e *BaPaB* *δυσκό^λ' P* *δυσκόλου L* *δύσκολον Vi* edd sed „*aut δύσκολον τύχην aut* '*δυσκολίαν τύχης*" Re | *συλλαβέσθαι B* 9 *πράγμασι PaVi* „*fort. τάγμασιν, cohortibus*" Re 10 *πάντα B* | *νικᾶν* scripsi e *BaPaBPL* *νικῆσαι Vi* edd 12 *ὀδυσσέως PLVi* 14 *μὲν* om *B* 15 *οὐ* inser *B²* | *χρήμασι* om *B* 16 *ἀπατήσαντος* scripsi e *BaPaB* ut coni Re *ἀπαντήσαντος PLVi* edd *ἀπατηθέντος* Iacobs Lect 19 *τοὺς νενικηκότας* libri corr Barb | et 141, 2 signum interrogationis posui punctum libri edd | *παρελθόντι PaB* sed in hoc *α* supra *ι* m² 20 *οὗτος* inserui e *BaPa* om *BPLVi* edd

ἀλλ' ἀθυμεῖν καὶ λυπεῖσθαι καὶ ὀργίζεσθαι καὶ χαλεπαίνειν; οὐκοῦν ταῦτά φασιν αὐτὸν οἱ ποιηταὶ πεποιηκέναι. 8. *ἦν μὲν τοίνυν ἀνάνδρου καὶ δειλοῦ καθ' ἡσυχίαν ἀλγεῖν, ἀνδρὸς δὲ μεγαλόφρονος, ἦν δὲ οὗτος ὁ Τελαμῶνος, τὸ καὶ δίκας ἐπιζητεῖν παρὰ τῶν ἠδικηκότων λαβεῖν. τοῦτο τοίνυν ὁρᾷς καὶ προθυμηθέντα καὶ πράττοντα. λαμβάνει μὲν τὸ ξίφος, φέρεται δὲ* | *θυμῷ κατὰ τῶν τε οὐ δίκαια γνόντων κατά τε* R IV 887 *τῶν οὐ δικαίως κεκρατηκότων.* 9. *βλάπτει δὲ Ἀθηνᾶ τὰς φρένας καὶ τρέπει τὸν ἄνθρωπον ἐπὶ τὰ ποίμνια. εἰκότως. ἐκείνῳ γὰρ εἶχε λόγον τὸ ἐπιβουλεύειν, ταύτῃ δὲ τὸ κωλύειν. ὁ μὲν γὰρ τὸ τῶν ἐχθρῶν καὶ λελυπημένων ἐποίει, ἡ δὲ τὸ τῆς κηδεμόνος καὶ βοηθούσης ἐπλήρου. τοιαύτη γὰρ ἡ θεὸς διαπαντὸς παροῦσα τοῖς Ἕλλησι, σώζουσα, ῥυομένη κινδύνων, κράτος παρέχουσα.* 10. *τοῦ κινδύνου τοίνυν παρελθόντος καὶ τῶν Ἑλλήνων ὄντων ἐπὶ τῆς ἀσφαλείας ἀπειλήφει μὲν οὐ-*

---

10 Lesch. Il. parv. apud Proclum chrest. ed. Kinkel. Fr. ep. p. 36, 4 | Il. *ψ* 774. Od. *ξ* 178

---

2 *αὐτὸν* om *Vi* Barb Cam | *ἂν* ante *οἱ Vi* edd sed in *καὶ* mutandum coni Re delevi cum Sinteni 3 *ἦν* — 6 *λαβεῖν* citant excerpt. codicis Vaticani gr. 305 fol. 2ᵛ (vide p. 30) 4 *ἦν δὲ*] *οἷος* exc. Vat. 305 | *καὶ* post *δὲ BaPa* 5 *τὸ* scripsi e *BaPaB* exc. Vat. 305 quae *καὶ τὸ* praebent *ὁ PLVi* Barb Mor Re qui delendum censuit ut delevit Cam *ὀργίζεσθαι* Iacobs Lect | *ζητεῖν B* exc. Vat. *ἐπιζητῶν Vi* Barb 6 *σαφῆ* exc. Vat. | *προθυμήθητι PLVi* 7 *γὰρ* post *μὲν* inserendum coni Re 8 *τε* inserui om libri edd | *μὴ Vi* Barb Cam et *γρ* in marg Mor | *δρώντων Vi* sed *γρ γνώντων* in marg | *κατά* — 9 *κεκρατηκότων* om *B* 9 *οὐ δικαίως* scripsi e *BaPaPL* *μὴ δίκαια Vi* edd 11 *ἐκείνῳ* et *ταύτῃ* scripsi e *Ba* sed *ταύτῃ* delet., *PaB* ut coni Re *ἐκείνων* et *ταῦτα PLVi* edd 12 *ὁ* — 13 *ἐποίει* citant excerpt. Vat. gr. 305 fol. 2ᵛ (vide p. 30) | *τὸ*(2) scripsi ex excerptis *Vat* *ὃ* libri edd | „*fort. λελυπημένων ἦν*" Re 13 *κηδομένης BaPa* 17 *Ἑλλήνων* scripsi e *BaPaB* *κινδύνων*

τος τὸ δύνασθαι λογίζεσθαι, γνοὺς δὲ ἅ τε ἐπεχείρησεν ἅ τε ἥμαρτεν ἀποθανεῖν ἠξίου τὴν ἀπὸ τῆς μανίας ἀδοξίαν οὐ φέρων. τοιοῦτοι γὰρ οἱ γενναῖοι καὶ λαμπροὶ καὶ τοὺς πολλοὺς ὑπεραίροντες· εἰ μὴ σὺν καλῷ τῷ σχήματι ζῆν ἐξείη, κούφην ἡγοῦνται τὴν τελευτήν. 11. τί γὰρ αὐτὸν ἐβούλου πράττειν δείξαντα μὲν τὴν ἔχθραν, ἀποσφαλέντα δὲ τῆς πείρας; ποῦ ζῆν ἢ πῶς ἢ τί πράττοντα; παρὰ τοὺς Τρῶας ἐλθεῖν ἔδει καὶ θεῖναι ἱκετηρίαν μετὰ τοὺς πολλοὺς ἀγῶνας καὶ μάχας καὶ νίκας; ἀλλὰ καὶ τῆς αἰσχύνης χωρὶς οὐδὲν ἦν τὸ πεῖθον ὅτι φείσονται τοῦ τὰ τοιαῦτα δεδρακότος τὴν ἐκείνων πόλιν. 12. ἀλλὰ μετὰ τῶν ὁμοφύλων ὥσπερ πρότερον διατρίβειν; ποίων; τῶν ἀπεσφαγμένων; τῶν κατακοπέντων; τῶν ἀπολωλότων τὸ ἐκείνου μέρος; καὶ ποίοις ἂν ὀφθαλμοῖς εἶδε τοὺς Ἀτρείδας; ποίοις ἂν τὸν Ὀδυσσέα; πῶς δ' ἂν ἐκεῖνοι λαβόντες ἀπέσχοντο R IV 888 καὶ | οὐ κατέλευσαν; οὐ γὰρ δὴ τῆς μανίας ἣν ἐμάνη μισθὸν ἡγήσαντ' ἂν ὀφείλειν αὐτῷ. 13. λοιπὸν τοίνυν ἦν καθελκύσαντα τὰς ναῦς ἀποπλεῦσαι. ποῖ

---

14 cf. t. V 319, 19; 486, 18; IV 289, 14   19 Dem. Phil. I p. 52, 28

PLVi edd sed τῶν κινδυνευόντων in marg Cam et γρ in marg Mor et probat Re

1 γνοὺς scripsi e *BaPaB* ut coni Iacobs Lect App Pors 315 et 332 Sintenis Cobetus Coll 304 ὁ νοῦς *PLVi* edd sed ἔννους δὲ γενόμενος coni Re 2 ἅ reposui e libris coll p. 154, 13; t. IV 125, 5; II 128, 15. Dem. cor. p. 322, 16 et 19 ὧν edd 3 καὶ λαμπροὶ om *Vi* Barb Cam 5 ζῆν post ἐξῇ Barb Cam om *Vi* | ἐξείη scripsi e *BaPaB* ἐξῇ *PLVi* edd 8 περὶ *Ba* 9 τοὺς om *B* 10 ἧττον post οὐδὲν edd delendum vidit Re 11 τὰ om *B* 13 ἀπεσφαλμένων *PLVi* 14 κείνου *Pa* delet. *Ba* | καὶ om *B* 15 οἶδε *BaPa* 18 ἡγήσαντ' scripsi e *BaPaB* ut coni Re ἡγήσατ' *PLVi* edd | αὐτῷ *Vi* edd 19 ποῖ scripsi e *BaPaB* coll Dem. l. l. πῇ *PLVi* edd

μέλλοντα προσορμιεῖσθαι, πρὸς Διός; εἰς τὸν λιμένα τῆς Σαλαμῖνος; καὶ τί καλὸν ἂν εἶπε πρὸς τὸν πατέρα περὶ τῶν ἐπὶ Τροίας πραγμάτων ἐρωτῶντα, τί δὴ τὸν πόλεμον ἀφεὶς ἀτελῆ προαπῆρεν; οἷος ἂν ἦν διηγούμενος τὴν κρίσιν, τὸν ἀγῶνα, τοὺς λόγους, τὴν ψῆφον, τὴν ἧτταν, ἣν ἐζήτησε δίκην τῆς γνώμης, τὴν νόσον;

14. *Εἰ δ' ἔδει τὴν ἁπάντων τούτων λύσιν εὑρεῖν καλῶς καὶ πρέπουσαν ἐλευθέρῳ τῆς αἰσχύνης ἀπαλλαγήν, εὕρατο μὴ περιμείνας ἀνδρὸς δυσμενοῦς δεξιάν, ἀλλ' ἀρκέσας αὐτῷ πρὸς θάνατον.*

β'.

Ὅτι εἰκότα τὰ κατὰ τὴν Ἀχιλλέως ὀργήν.

1. *Ἐλεεῖν ἄξιον τοὺς κατηγοροῦντας τῶν ποι-* R IV 888
ητῶν, εἰ δὴ τοὺς ἔκφρονας καὶ μεμηνότας ἐλεεῖν ἄξιον. πῶς γὰρ οὐκ ἐξεστήκασι σαφῶς οἱ τούτοις ἐπιτιμῶντες ὧν πλεῖστόν εἰσι τῆς σοφίας ἀπολειπόμενοι; θαυμάζω δὲ εἰ μηδὲ τοῦτο δύνανται μαθεῖν, ὅτι προσποι-

---

2 cf. t. IV 1042, 16 sq. R. Chor. Patrocl. p. 247, 6 ed. Boiss.
16 cf. p. 138, 5 sq.

---

1 *προσορμεῖσθαι Pa* Barb Cam | *τὰς ναῦς* post *προσορμιεῖσθαι Vi* edd delevi | *πρὸς Διός* om *Vi* Barb Cam inseruit cancellis inclusa Mor 3 *ἐπὶ* scripsi coll p. 134, 5; t. V 560, 4 ut coni Re *ἀπὸ* libri edd et defendit Iacobsius Lect Anth. Pal. III 42 4 *ἐντελῆ L* | *οἷον B* | *ἢ* Mor Re 5 *τὴν κρίσιν, τὸν ἀγῶνα* reposui e libris *τὸν ἀγῶνα, τὴν κρίσιν* edd 6 *ἐξέτισε B* | *νῆσον Pa L* 7 *δ' ἔδει* scripsi auctoribus Iacobsio Lect Sinteni *δὲ δεῖ* libri edd | *τῶν B* | *εὑρεῖν, καλὴν B* *εὑρεῖν κακῶν,* Sintenis 8 *καὶ πρέπουσαν ἐλευθέρῳ* scripsi e *BaPaBP* et *γρ* in marg Mor *καὶ πρέπουσαν ἐλευθέραν L* Barb *καὶ πρέπουσαν καὶ ἐλευθέραν Vi* *πρέπουσαν καὶ ἐλευθέραν* Cam Mor Re | *τὴν* ante *ἀπαλλαγὴν B* | comma post *ἀπαλλαγήν* inserui om libri edd 9 *ἀξίαν B* 10 *αὐτῷ PaB* 16 *τῆς* om *Pa* 17 *μηδὲ* scripsi auctore Schwabio *μὴ* libri edd | *δύναται* Mor Re

οῦνται μὲν ἐκείνων, κατηγοροῦσι δὲ τῶν Μουσῶν. εἰ γὰρ ἐκ τοῦ παρὰ τῶν Μουσῶν πνεύματος οἱ μὲν ποιοῦσιν, οἱ δὲ τούτους λέγουσι κακῶς, ἀνάγκη τὴν αἰτίαν ἐπ' ἐκείνας ἰέναι τὰς αἰτίας τῶν ποιήσεων. 2. πᾶσιν οὖν οἶμαι δεῖν βοηθεῖν τοῖς ποιηταῖς, Ὁμήρῳ δὲ καὶ πρὸ τῶν ἄλλων δίκαιον κοινῷ προγόνῳ τῆς Ἑλληνικῆς σοφίας γεγενημένῳ. ἤδη γάρ τινες καὶ ἐπὶ τοῦτον ἀφῆκαν τὴν γλῶτταν λέγοντες οὐδὲν γεγονέναι τούτων ἀφ' ὧν ὀργισθῆναι τὸν Ἀχιλλέα συνέβη. δεικτέον τοίνυν ἡμῖν ὡς πάντα γέγονε καὶ λόγον εἶχεν ὁ
R IV 889 | θυμός.

3. Διὰ τί γὰρ οὐκ ἂν ἧκεν ὁ Χρύσης ἐπὶ λύσιν τῆς θυγατρὸς παρὰ τοὺς Ἕλληνας; οὐκ ἦν πατήρ; οὐχ οὗτος τῆς φύσεως νόμος προκινδυνεύειν τῶν ἐγγόνων; οὐχ ὑπὲρ τούτων ὅπλα λαμβάνομεν καὶ παραταττόμεθα καὶ πίπτομεν ἡδέως ταῖς ἡμετέραις χερσὶ κτώμενοι τὴν ἐλευθερίαν ἐκείνοις; 4. ὁ δὲ καὶ γέρων ἦν καὶ οὐκ ἦν λόγος αὐτῷ περὶ μακροῦ βίου. ἀλλὰ καὶ τὴν σωτηρίαν ὑπισχνεῖτο καὶ τὴν ὁδὸν ἔπειθεν οὐ ματαίαν ἔσεσθαι τὸ πλῆθος τῶν λύτρων, τὸ τοῖς Ἕλλησι δεῖν χρημάτων ἐπ' ἀλλοτρίας καθημένοις, τὸ τοὺς αὐτοὺς

5 cf. p. 123, 9 sq. 7 cf. p. 138, 10 sq. 12 cf. p. 123, 3 sq.

2 τῶν] τοῦ *B* | οἱ μὲν scripsi auctore Re οἵδε libri edd 3 τούτους] τοὺς λόγους *B* | ἀνάγκη om Barb Cam | τὴν αἰτίαν inserui e *BaPaBPVi* om *L* edd sed γρ in marg Mor 4 ἐκείνους *PLVi* Barb Mor sed in hoc γρ ἐκείνας in marg, Re 6 καὶ om *Pa* | δίκαιος Re | προλόγῳ *B* 7 ἐπ' αὐτὸν *Vi* Barb Cam 8 γλῶσσαν edd 10 ἡμεῖς *B* 12 διατὶ *Vi* | ἂν om *B* | ἦλθεν *B* | τὴν ante λύσιν *B* 14 ἐκγόνων *B* 16 πίπτομεν scripsi e *BaPaBPL* προσπίπτομεν *Vi* edd | κτώμενοι τὴν] πρὸς *B* 17 ἐκείνων *B* 19 ματαίαν scripsi e *Ba Pa* μάτην *BPLVi* edd 20 δεῖ *PLVi* 21 καθημένους *Pa* | τὸ scripsi e *BaPaB* καὶ *PLVi* edd

τούτους πολλὰς ἀφεικέναι αἰχμαλώτους χρημάτων. οὐ γὰρ αὐτὸς ἤρχετο καταδείξων τὸν νόμον, ἀλλὰ παλαιῷ χρησόμενος. 5. μεγάλη δὲ κἀκείνη συμμαχία τὸ τῶν ἱερῶν προεστηκέναι, τὸ τοῦ θεοῦ δεικνύναι τὸ σκῆπτρον, τὸ φέρειν τὰ στέμματα. τοὺς γὰρ Ἕλληνας ὄντας Ἕλληνας οὐ ῥᾳδίως ἡγεῖτο τούτων ὑπερόψεσθαι. 6. εἰ δὲ κατηρᾶτο τοῖς Τρωσὶ καὶ συνηύχετο τούτοις μὴ θαυμάσῃς. ᾔδει γὰρ ὡς οἱ μὲν ἠδίκουν, οἱ δὲ ἠδίκηντο, καὶ τῶν Τρώων οἱ περίοικοι πλεῖστα ἐπεπόνθεσαν κακὰ διὰ τὴν ἐκείνων ὕβριν. εἰ γὰρ ἐκεῖνοι τὸ δίκαιον ἐτίμων, οὐδὲν ἂν τούτοις κακὸν ἦν. 7. εὖ δὲ τὸ στρατόπεδον καὶ ἐψηφίζετο δοῦναι, τοιοῦτον γὰρ τὸ πλῆθος, ὀξὺ πρὸς ἔλεον καὶ δεινὸν ἐπικαμφθῆναι πρὸς οἶκτον, καὶ ἅμα μετῆν αὐτοῖς παρρησίας, οὐ γὰρ ἐδούλευον, ἀλλὰ γνώμῃ συνεμάχουν· ὁ δ' Ἀγαμέμνων ἄρχων ὢν καὶ τῷ λογίζεσθαι τοὺς πολλοὺς πλεονεκτῶν καὶ τὸ πρᾶγμα ἐξετάζων καλῶς οὐκ ἐνέδωκεν εὖ φρονῶν. 8. πρῶτον μὲν γὰρ ᾔδει καταλύσων τὴν ἀρχήν, εἰ

---

4 sq. cf. p. 125, 4   16 cf. p. 131, 21   18 cf. p. 126, 7 sq.

---

1 *πολλάκις* Cam Mor Re   3 *χρησάμενος Ba* | *μᾶλλον B*   4 *προεστηκέναι* scripsi e *PaBPL* *προ ηκέναι* cum 3 litt deletis *Ba* *προεσχηκέναι Vi* edd   5 *τὰ* inserui e libris om edd   6 *Ἕλληνας* delendum censet Iacobsius Lect   7 *δὲ* inserui auctore Re om libri edd | *κατηγοροῖτο Vi* Barb Cam   8 *οἱ μὲν ἠδίκουν, οἱ δὲ ἠδίκηντο* scripsi e *BaPaB* (qui pro *ἠδίκουν* habet *ἠδίκησαν*) *PL* *οὐδὲν ἠδίκουν οἱ Ἕλληνες, οἱ δὲ τούτους μᾶλλον ἠδίκουν Vi* edd   9 *ἐπεπόνθεισαν B*   10 *κακὰ* inserui e *BaPaBPL* om *Vi* edd | *ὕβριν ἐκείνων B*   11 *τούτοις κακὸν ἦν* scripsi e *BaPaB* *ἦν τούτοις κακόν PLVi* edd | *δὲ*] *καὶ L*   14 *μετὰ τὴν Ba* | *αὐτοῦ BaL* | *παρρησίαν B* *παρρησία Pa*   16 *τῷ* scripsi e *B* ut coni Re *τοῦ* reliqui libri edd | „*fort. συλλογίζεσθαι*" Re   17 *ἐξετάξων Pa*   18 *γὰρ μὲν B* Cam Mor Re qui *μὲν γὰρ* scribendum vidit | *ἤδη* Barb Cam Mor | *καταλύων B*

πάντα ἐπὶ τῷ στρατοπέδῳ ποιοῖτο. δεύτερον δὲ ἠπίστατο μικρὰ τὰ αὑτοῦ ποιήσων, εἰ τοῦ γέρως ἀποσταίη, R IV 890 *τρίτον δὲ | προδώσων τὸν ἀδελφόν, εἰ τῆς Ἑλένης παρ' ἐκείνοις οὔσης αὐτὸς ἀποπέμποι τοῖς πολεμίοις τὰς ἐκείνων γυναῖκας καὶ γίγνοιτο πρᾷος εἰς πονηρούς. καὶ μὴν κἀκεῖνο ἐφύλαττε μὴ τῶν αἰχμαλώτων ἡ πρόφασις ἀφορμὴ γένοιτο τοῖς ἐναντίοις εἰς κατασκοπὴν καὶ δοκοῦντες ἐπὶ λύσει φοιτᾶν ἐκμανθάνοιεν τὰ τῶν Ἑλλήνων.* 9. *τοῖς στέμμασι δὲ οὐ προσεῖχεν ὁ βασιλεὺς πολέμου νόμῳ. ταῦτα γὰρ πρότερον μὲν ἂν ᾐδοῦντο, νῦν δ' οὐδὲ τούτων ἀπέχονται, ἀλλ' ἅμα τε ἐμβαίνουσιν εἰς πόλεμον ἄνθρωποι καὶ πάντα τὰ τῶν ἐναντίων δυσμενῆ κέκριται, ἡ γῆ, οἱ τάφοι, ὅσα ἱερά. εἰ δὲ τὸ σκῆπτρον αὐτὸν ἐποίησε μετριώτερον, τί ἂν ἐκώλυσε τὸν γέροντα ἐκεῖνον αὐτὰ ταῦτα προτεινόμενον ἀξιοῦν αὐτὸν ἀποστῆναι τῆς Τροίας;*

10. *Οὑτωσὶ μὲν οὖν σωφρόνως ὁ βασιλεὺς ὑπερεῖδε τῆς ἱκετηρίας, θαυμαζέτω δὲ μηδεὶς εἰ κατὰ τῶν Ἑλλή-*

18 Il. *α* 42 cf. p. 127, 13 sq.

---

1 *ποιοῖτο* scripsi e *BaBPL* *ποιεῖτο PaVi* edd sed „*aut ἐποιεῖτο aut ποιοῖτο*“ Re 2 *αὑτοῦ Pa* *αὐτὰ PLVi* | *ἀποσταίη* scripsi e *BaPaBPL* cum Sinteni coll p. 150, 12 *ἀποστεροίη Vi* edd 4 *ἐκείνης PLVi* | *ἀποπέμποι* scripsi *ἀποπέμψοι B* *ἀποπέμπει* reliqui libri edd sed „*aut ἀποπέμποι aut ἀποπέμπῃ*“ Re | *πολέμοις Ba* 5 *γίνοιτο PLVi* *γένοιτο B* edd 6 *τοὺς* ante *πονηρούς B* | *καὶ μὴν* om *B* | *ἐφυλάττετο* Re 7 *εἰς κατασκοπὴν* reposui e libris *κατασκοπῆς* edd sed *γρ εἰς κατασκοπὴν* in marg Mor 10 *γὰρ* om *Pa* 11 *ἂν* om *B* | *δ' οὐδὲ* scripsi auctore Re *δὲ* libri edd | *ἀλλὰ Pa* 14 *ὅσα* scripsi e *BaPaBPL* *ὅλα Vi* edd sed *γρ ὅσα* in marg Mor *ὅσια* coni Re, *τὰ* Iacobs Lect | *δὴ B* | *σκῆπτρον αὐτὸ αἰτοῦντα αὐτὸν ἐποίησε* coni Re *αὐτὸ ἐποίησε σεμνότερον* Iacobs Lect App Pors 327 | *ἐποίη Ba* *ἐποίει Pa* 15 *ἐκώλυε PL* 17 *Οὑτωσὶ μὲν οὖν* scripsi auctore Re *οὕτως ἰὼν μὲν* libri edd *τοῦτο ἰδὼν* vel *τοῦτ' εἰσιδὼν μάλα* Iacobs Lect

νων ἐκάλει τὸν θεὸν ὁ πρεσβύτης, οἳ συνηγόρουν αὐτῷ. πρῶτον μὲν γὰρ οὐ διὰ τέλους αὐτῷ συνηγωνίσαντο οὐδ' ἔπραξαν ὅπως ἀπολήψεται, ἀλλ' ἐνδειξάμενοί τινα φιλανθρωπίαν κατέλειψαν τὴν σπουδὴν ὡς δέον αὐτοὺς εἰρωνεύεσθαι μᾶλλον ἢ παντὶ θυμῷ βοηθεῖν. εἰ γὰρ ἤθελον ἀφελόμενοι δοῦναι, τί ἦν ἐμποδών; αἱ χεῖρες Ἀγαμέμνονος, νὴ Δία. 11. πρῶτον μὲν οὖν, ὅπερ ἔφην, κατὰ ἀνθρώπων οὐ πάντα αὐτῷ κεχαρισμένων ηὔχετο. ἔπειτα τούτῳ ᾔδει μάλιστα τὸν Ἀγαμέμνονα λυπήσων, εἰ τὰ πράγματα αὐτῷ διαφθείροι καὶ διασείοι τὴν δυναστείαν καὶ καταλύοι | τὴν ἀρχήν. R IV 891 οὐ γὰρ ἴσον ἀνθρώποις εἰς συμφορὰν ἀπελθεῖν εἰσάπαξ ἢ ζῆν εἰς ἀθυμίαν. ὁ μὲν γὰρ τεθνεὼς ἀναίσθητος κεῖται, ὁ δὲ ἐν τῷ ζῆν ἀνιώμενος ὡς ἀληθῶς κολάζεται. 12. πρὸς δὲ τούτοις ᾔδει τοῦτο, ὅτι τοῦ μὲν τελευτήσαντος ὁ πόλεμος πέπαυται καὶ μετὰ τῶν Ἑλλήνων οἰχήσεται τὸ θυγάτριον, εἰ δὲ τὸ στρατόπεδον πιέζοιτο νόσῳ καὶ ἀναλίσκοιτο, ζήτησις μὲν ἔσται τοῦ κακοῦ, φανεῖται δὲ ἡ πρόφασις καὶ κομιεῖται τὴν

1 cf. p. 125, 18

1 ὁ πρεσβύτης ἐκάλει τὸν θεὸν *B* 4 κατέλειψαν scripsi e *BaPa* κατέλυσαν *BPLVi* edd | ὡς δέον scripsi ὥστ' οὖν libri edd 6 τί scripsi e *BaPaBP* τίς *LVi* edd 7 δία; *PaB* 9 τούτῳ scripsi e *BaPaBP* τοῦτο *LVi* edd 10 λυπήσων scripsi coll p. 149, 20 λυπήσειν libri edd | αὐτῷ *PL* edd | διαφθείροι scripsi e *BaL* sed in hoc η supra οι διαφθείρει *PaB* διαφθείρει (η supra ει) *P* διαφθαρείη *Vi* edd „*fort.* διαφθείρῃ“ Re 11 διασείοι scripsi e *Ba* διασείει reliqui libri διασείῃ edd | καταλύοι scripsi κατάγοι *BaPa* κατάγει *BPLVi* Barb κατάγῃ Cam Mor Re 12 ἴσον *Ba* | εἰς συμφορὰν scripsi auctore Re coll p. 152, 8 συμφορὰν *B* συμφορᾶς *BaPaPLVi* edd | ἐπελθεῖν *B* 14 κεῖται scripsi κείσεται libri edd | ὡς om *B* 15 δὲ om *BaPa* 16 πολεμήσαντος *BaPa* 18 πιέζοιντο *Ba* | ἀναλίσκοιτο scripsi e *BaPaB* ἁλίσκοιτο *PLVi* edd | ἔστι *PLVi*

παῖδα. διὰ τοῦτο καὶ οὗτος ταῦτα ᾔτει καὶ θεὸς ἐχαρίζετο τῷ θεραπεύοντι τὸν νεὼν ἀντεισφέρων τὰς ἀμοιβάς.

13. *Τῶν τοίνυν Ἑλλήνων πιπτόντων Ἀχιλλεὺς αἰσθάνεται πρῶτος ὅ τι ποτ' ἦν τὸ συμβάν. ἀλλὰ σὺ ἐβούλου τὸν Ἀγαμέμνονα, τὸν Ὀδυσσέα, τὸν Νέστορα πρὸ τοῦ τῆς ἰατρικῆς ἐπιστήμονος; ἦν συνετὸς ὁ Νέστωρ, ὁμολογῶ. ἦν δεινὸς Ὀδυσσεύς, οὐδὲ τοῦτο ἀπιστῶ. ἀλλὰ τούτων ἑκάτερος ἴσχυεν ἐν ἐκκλησίαις [ἐν] τῷ τὸ δέον ἰδεῖν καὶ δεῖξαι τί τὸν πόλεμον ὀνήσει. ὅπου δὲ καὶ λοιμὸς καὶ νόσος, ὁ καιρὸς τὸν ἰατρὸν ἐκάλει, ὥστε θαυμάζειν ⟨δεῖν⟩ εἰ τὸν Ἀχιλλέα μὲν ἐλάνθανεν, ὑπ' ἐκείνων δὲ τὸ λυποῦν εὑρίσκετο δέον τούτῳ πρὸ τῶν ἄλλων γενέσθαι τοῦ πράγματος αἴσθησιν. φαίην δ' ἂν ὅτι καὶ γνόντες οὐκ ἂν εἰς μέσον ἤνεγκαν τοῦ κακοῦ* R IV 892 *τὸν λόγον. πολλὰ | γὰρ πολλοῖς σιγᾶται τῇ πρὸς τοὺς ἄρχοντας χάριτι.* 14. *ἔτι δὲ πολλαχόθεν ἔχων τὸ μέγα φρονεῖν εἰκότως ἐχρῆτο παρρησίᾳ δικαίᾳ καὶ οὐκ ἠξίου κρύπτειν ἃ γνοίη καὶ συνῆγεν εἰς ἐκκλησίαν*

---

2 Il. α 39 sq. 4 Il. α 54 6 Il. λ 830 sq. 10 Chor. Patr. p. 259, 4 ed. Boiss.

---

1 *διατοῦτο PaVi* | *οὗτος* scripsi e *BaPaB* *αὐτὸς PLVi* edd | *ταύτην B* 2 *θεραπεύοντι τὸν νεὼν* scripsi e *BaPa* coll. Il. l. l. *θεράποντι τῶν νεῶν* (*ναῶν B*) *BPLVi* edd | *τῶν εὐχῶν* coni Re 4 *μόνος* ante *αἰσθάνεται B* | *πρῶτος* scripsi e *BaPa* cum Sinteni *πρῶτον BPLVi* edd | *ποτέ ἐστιν B* | *σὺ* scripsi auctoribus Re Sinteni coll p. 149, 2 *τί* libri edd 5 *νέστορα τὸν ὀδυσσέα BaPa* 7 *τούτῳ BaPa* 8 *τούτῳ* Mor Re | *ἐκκλησία Pa* | *ἐν* libri edd cancellavi | *ᾧ B* 9 *δεῖξαι* om *B* 10 *λιμὸς Vi* 11 *θαυμάζειν* scripsi e *BaPaB* cum Iacobsio Lect *λανθάνειν PLVi* edd | *δεῖν* inserui om libri edd sed *ἀνάγκη* inserendum coni Re | *ἐλάνθανε Pa* 12 *δὲ*] *καὶ L* | *εὑρίσκετο* scripsi e *BaPaB* *ηὑρίσκετο PL* *γρ* in marg Mor Iacobs Lect *ἐγίνετο Vi* edd | *τοῦτο PLVi* 13 *δ' ἂν* scripsi *δὲ* libri edd 15 *τὴν λύσιν B* | *πολλοῖς*] *πολλὰ L* *πολλοῖς συνόντα Vi* edd sed *γρ* *πολλοῖς* in marg Mor *πολλοὶ συνέντες σιγῶσι* coni Re 18 *ἃ γνοίη*] *ἀγνοίᾳ* libri Barb corr Cam

κύριος ὤν, φαίην δ' ἄν, καὶ τοῦ πολέμου κεφάλαιον. σὺ δ' ἐβούλου τὸν Ἀχιλλέα πονεῖν μὲν ὑπὲρ τοὺς ἄλλους, ἄκυρον δὲ εἶναι τοῦ ποιεῖν ἐκκλησίαν τὸν αἱροῦντα τὰς πόλεις, τὸν καταστρεφόμενον, τὸν κομίζοντα λάφυρα, τὸν παρέχοντα πλουτεῖν, τὸν κατακλείοντα τοὺς Τρῶας, ἐν ᾧ τὰς ἐλπίδας εἶχε τοῦ πολέμου ἀνακειμένας ὁ στρατός; 15. *οἱ δὲ Ἕλληνες, εἰ καὶ μὴ πρότερον ὑπήκουον καλοῦντος, τότ' ἂν ὑπήκουον. διὰ τί; ὅτι τὸ νοσεῖν καὶ κακῶς πράττειν πολλὰ τῶν καθεστηκότων ἐκίνει. καὶ τὸ προσδοκᾶν ἀκούσεσθαί τι χρηστὸν ταχέως αὐτοὺς συνήγαγεν. οὑτοσὶ γὰρ τῶν ἐν ταῖς ἀτυχίαις ὁ τρόπος ἄγεσθαι ὑπὸ τῶν ἐλπίδων τὸν νοῦν.* 16. *οὐκοῦν ὅτι μὲν λοιμὸς ἦν τὸ κατέχον ἀπὸ τῆς τέχνης ἦν ἰδεῖν, τὸ δὲ ὅθεν ὁ λοιμὸς ἐμπεπτώκει, τοῦτο δὴ τοῦ μάντεως ἐγίγνετο. οὐκοῦν συνῆγε μὲν εἰς ἐκκλησίαν ὡς εὐδοκιμῶν ἀπὸ τῶν ἔργων, εὕρισκε δὲ τοῦ κακοῦ τὴν φύσιν ὡς ἰατρός. ἐκάλει δὲ ἐπὶ τὴν δήλωσιν τῆς αἰτίας τὸν ταῦτα ἀνιχνεύοντα τῇ μαντικῇ.* 17. *ὁ δὲ ἔδεισεν, εἶτα ἐθάρρησεν, ἑκάτερον οὐκ ἄνευ λόγου. τὸν μὲν γὰρ Ἀγαμέμνονα λυπήσων ᾔδει καὶ διὰ*

---

14 Dem. fals. leg. p. 424, 4 15 cf. p. 131, 15 19 Il. *α* 92 20 Il. *α* 78

---

1 *δ'* inserui om libri edd | *κεφα^λ'* *P* *κεφαλὴ* *B* 2 *δὲ* *B* | *ποιεῖν* *Ba* sed *ι* in *ν* corr, *PLVi* et *γρ* in marg Mor 3 *καὶ* ante *τοῦ* *PaPL* 6 *τοῦ πολέμου* om *B* 7 ; posui e *B* punctum reliqui libri edd 8 *ἂν ὑπήκουσαν ἂν* *B* | *διατί* *Pa* 11 *τῶν* — 12 *ἄγεσθαι*] *ὁ τρόπος τῶν ἐν ταῖς* (om *Pa*) *ἀτυχίαις* (*εὐτυχίαις* *Pa*) *ἀγόντων* *BaPa* *τὸν ἐν ταῖς ἀποτυχίαις ἄγεσθαι κινδυνεύσαντα ὁ τρόπος* *B* *τῶν ἐν ἀτυχίαις ἄγεσθαι ὁ τρόπος* (*ὁ τρόπος ἄγεσθαι* Cam Mor Re) *PLVi* edd 12 *τὸν νοῦν*] *τονοῖ* *B* num delendum? 14 *ἐμπεπτώκει* scripsi cum Sinteni coll Dem. l. l. *ἐπεπτώκει* libri edd sed *ἐπεπεπτώκει* coni Re 15 *τοῦτο*] *τοδὶ* *B* | *δὴ* inserui e *BaPa* *δὲ* *LP* om *BVi* edd | *ἐγίνετο* *LVi* edd *ἐγένετο* *B* 17 *λύσιν* *B* 19 *ἐθάρσησεν* edd

τοῦτο ἐφοβεῖτο, λαβὼν δὲ ἐγγυητὴν τῆς σωτηρίας τὸν φόβον ἀνεῖλεν, ὥστε εἰκότως καὶ σιγᾷ τὴν πρώτην καὶ μετὰ τοῦτο φθέγγεται.

18. Τῷ δὲ Ἀγαμέμνονι τὰ τρία λόγον ἔχει, καὶ τὸ τὸν μάντιν ὑβρίσαι καὶ τὸ τὴν θυγατέρα τοῦ Χρύσου ταχέως ἀποπέμψαι καὶ τὸ Ἀχιλλέως ἀφελέσθαι γέρας. τὸ μὲν γὰρ ὡς ἐρῶν ἐποίησε, τὸ δὲ ὡς τοῦ στρατοῦ κηδόμενος, τὸ δὲ ὡς τιμῆς ἀντιποιούμενος. ἤλγησεν. ἐπεθύμει γὰρ τῆς γυναικός. ἀπέδωκεν. ἠνάγκαζε γὰρ
R IV 893 τὸ κακόν. ἀφαιρεῖται τὸ γέρας Ἀχιλλέως | δεινὸν ἡγούμενος τῷ μὲν εἶναι, ἑαυτῷ δὲ μὴ εἶναι. 19. ὁ δὲ τῆς μὲν κόρης ἀπέστη τὸν θεσμὸν τῆς ἀρχῆς αἰδούμενος, τοῦ πολέμου δὲ ἀπέστη παροινεῖσθαι μὴ φέρων καὶ ἅμα τοῖς Ἀχαιοῖς δεῖξαι βουλόμενος τὴν ἐν τῇ παρουσίᾳ ῥοπὴν ἐκ τῆς ἀπουσίας.

20. Οὕτω πάντα μετ' ἀληθείας εἴρηται τῷ ποιητῇ, καὶ παραφρονοῦσι σαφῶς οἱ τὸν σοφώτατον Ὅμηρον κακῶς λέγειν ἐπιχειροῦντες.

γ'.

Ὅτι εἰκότα τὰ κατὰ τὸν Αἴαντα τὸν Λοκρόν.

R IV 1131 1. Οἱ τὸν Αἴαντα τὸν Ὀιλέως μὴ φάσκοντες ἃ τετόλμηκε περὶ τὴν Κασάνδραν τετολμηκέναι μηδ' ὅσα τούτοις ἠκολούθησε γεγονέναι δοκοῦσί μοι τοῦτο

1 Il. α 76 sq. 5 Il. α 310 9 Il. α 113 13 Dem. Con. p. 1258, 6

1 τοῦτ' *B* 2 ἀνεῖλε *L* | εἰκότως καὶ scripsi e *B* καὶ εἰκότως καὶ *BaPaPL* καὶ εἰκότως *Vi* edd 3 ταῦτα *PL* 4 δ' *BaPa* 6 ταχέως om *B* 7 ἐποίει *Pa* πεποίηκε *L* 9 ἀπέδωκε *Pa* | γὰρ om *L* 10 ἀφαιρεῖται τὸ γέρας Ἀχιλλέως scripsi e *BaPa* ἀφῃρεῖτο γέρας ἀχιλλέως *B* ἀφῃρεῖτο γὰρ τὸ ἀχιλλέως γέρας *PLVi* ἀφῃρεῖτο τὸ Ἀχιλλέως γέρας edd 11 τὸ *Pa* | τῶ *B* | ὁ δὲ om *B* 12 μὲν inserui e *BaPaB* om *PLVi* edd | δεσμὸν *PLVi* Barb 16 οὐ *B* 22 et p. 152, 13 Κασσάνδραν et 151, 9 Κασσάνδρας edd cf. p. 128, 17

πάσχειν ὅπερ ἐγκαλοῦσιν αὐτοί, ψεύδεσθαί τε καὶ τοῖς ἀληθῶς πεπραγμένοις μάχεσθαι. πρῶτον μὲν γὰρ τί καινὸν ἢ κόρην κάλλει διενεγκεῖν ἢ τοῦτο στρατιώτην ἰδόντα θαυμάσαι ἢ θαυμάσαντα παθεῖν τι πρὸς τὸ κάλλος καὶ τοῦ καιροῦ διδόντος ἐξουσίαν μιγῆναι; 2. νενικηκότες γάρ, οἶμαι, καὶ τὴν τῶν πολεμίων μόλις ἑλόντες πόλιν ἐν τοῖς τῶν ἡττωμένων ἐτρύφων. τοῖς μὲν οὖν ἄλλοις ἄλλα ἐφαίνετο καλὰ καὶ ταῦτα ἐκτῶντο, Αἴαντα δὲ τὸ τῆς Κασάνδρας πρόσωπον πάντων ἔπειθε τῶν ἄλλων ὑπερορᾶν, καὶ ταύτην ἐδίωκεν. εὐχὴ δὲ ἄρα ἦν τοῖς Ἕλλησι πολεμοῦσι τοῖς ἴσοις τοὺς ἐναντίους ἀμύνασθαι καὶ περὶ τὰς ἐκείνων γυναῖκας δρᾶσαι τοῦτο ὃ περὶ τὴν Ἑλένην ἐκεῖνοι. 3. τὴν Ἀθηνᾶν δὲ οὐκ αἰσχυνόμενος Αἴας οὐ καλῶς μέν, ἐρῶντος δὲ ἔργον ἔπραττεν. τοῦτο δέ ἐστιν ὑπὸ τοῦ κρατοῦντος ἄγεσθαι καὶ πάντα τολμᾶν ἀναγκάζοντος τοῦ θεοῦ.
| θεὸς τοίνυν ἐνίκα θεόν, ὁ Ἔρως τὴν Ἀθηνᾶν, R IV 1132
μᾶλλον δέ, τὴν πρὸς ἐκείνην αἰδῶ τὰ τούτου βέλη, ὧν οὐδὲν πικρότερον οὐδὲ δυνατώτερον. τοῦτο ἀσθενῆ πάντα τἄλλα ποιεῖ, πατρὸς λόγους, μητρὸς δεήσεις, φίλων παραινέσεις, νόμων ἀπειλάς, ἐπεὶ καὶ τῶν μοιχευόντων ἕκαστος οἶδε μὲν ὡς οὔτε λαθεῖν ῥᾴδιον ἄλλως τε ἀποσφαγήσεται, χωρεῖ δὲ ὅμως ἐπ' ἐκεῖνα ἐν οἷς οἶδε ταῦτα ὄντα. 4. καὶ τί δεῖ τὸν Ἔρωτα λέγειν καὶ τὴν Ἔρωτος δυναστείαν; ἀλλ' ἡ πενία τοὺς ἱεροσύλους ποιεῖ, καὶ νυκτὸς ἐπιθέμενός τις τοῖς ἀγάλμασι στεφάνους ἀφελόμενος τῶν κεφαλῶν ἀπῆλθε φέρων, οὐχ ὡς λήσων τοὺς θεοὺς οὐδ' ὡς μὴ ληψόμενος

14 cf. p. 130, 15 sq.

13 δρᾶσαι B edd 19 πικρὸν B corr All 23 τε scripsi δὲ B edd

τῆς ἐκείνων πεῖραν ὀργῆς, ἀλλ' ὡς οὐκ ἐώσης τῆς παρούσης ἀπορίας οὐδὲν ἐκείνων λογίζεσθαι. καὶ ὅτι οὐκ ἴσον εἰς ἀνάγκην ἔρως τε καὶ τὸ σπανίζειν ἀργυρίου τίς τῶν ἁπάντων οὐκ οἶδεν; 5. ὁ τοίνυν Αἴας τῷ λογισμῷ μὲν οὐδὲν ἔδρα, πάντα δὲ ἐπιθυμίᾳ, δι' ἣν ἴσως κἀκεῖνο ἔπειθεν ἑαυτὸν ὡς ἐκλέλοιπεν ἡ θεὸς ἑαλωκυῖαν τὴν πόλιν, τῆς δαίμονος δὲ ἀπούσης οὐδὲν ἀμείνων εἴη τῶν βεβήλων ὁ νεώς. ἡ δὲ ἔνδον τε ἦν καὶ τοῖς γινομένοις ἤλγει καὶ τῶν Ἑλλήνων ἡγεῖτο κοινὸν τὸ ἀσέβημα τῶν οὐδεμίαν ἐπιστροφὴν πεποιημένων. τούτῳ γὰρ ὁ μάντις τῶν ἄλλων βελτίων τῷ τὰ τοὺς ἄλλους διαφεύγοντα ἐπίστασθαι. 6. καὶ οὐκ ἂν μὲν φαίην ὡς οὐκ ᾔσθοντο τῶν περὶ τὴν Κασάνδραν, ἡγοῦντο δὲ ἴσως, ὥσπερ ἄλλων πολλῶν οὐ λαμβάνουσιν οἱ θεοὶ δίκην, οὕτως οὐδὲ τούτων τὴν Ἀθηνᾶν ζητήσειν ἢ καί, νὴ Δία γε, ζητοῦσαν παρὰ μόνου λήψεσθαι τοῦ δεδρακότος. ἀπῆγεν, ὡς εἰκός, αὐτοὺς κἀκεῖνα τῆς περὶ αὐτὰ προνοίας ἥ τε ἀπὸ τοῦ νενικηκέναι χαρὰ καὶ ἡ περὶ τὴν λείαν σπουδὴ καὶ τὸ πρὸς τὴν θάλατταν ἤδη βλέπειν καὶ τὸ τοῖς παροῦσιν ἀγαθοῖς μὴ δεινὸν ἐπεισάγειν μηδέν. 7. οἱ μὲν οὕτως ὧν ἥκιστα ἐχρῆν ἠμέλουν καὶ τῶν νεῶν ἥπτοντο, ὁ δὲ τὴν τῶν θεῶν ἄριστα γνώμην εἰδὼς ὁ Κάλχας ὁ καὶ τὸν λοιμὸν αὐτοῖς λελυκὼς τῇ τέχνῃ καὶ συνιεὶς τῆς ὀργῆς καὶ τὰ γενησόμενα δεινὰ προεώρα καὶ ὅπως τις ἔσται τῶν ἡμαρτημένων ἴασις συνεβούλευε σκοπεῖν καὶ

12 cf. p. 131, 8

3 τὸ scripsi cum Iacobsio Lect 191 Sinteni τοῦ *B* edd 5 τῷ delendum? 21 δεινὸν scripsi auctore Iacobsio Lect App Pors Adv 288 δεῖν *B* edd 25 προεώρα scripsi cum Iacobsio Lect Sinteni παρεώρα *B* edd 26 συνεβούλευε scripsi ἀνεβούλευε *B* edd διεκελεύετο? Iacobs Lect

τίς ἦν ἡ θεὸς πρὸς αὐτοὺς ἐφ' | οἷς ὕβριστο πα- R IV 1133
ρελθὼν ἔφραζεν. 8. ἐντεῦθεν ἐφέροντο ἐπὶ τὸν πεπαρῳνηκότα, ὁ δὲ ἐπὶ τὴν μόνην ⟨ἣν⟩ ἐν τοῖς τοιούτοις καταφυγὴν εἶδε, τοὺς βωμούς. οὐκοῦν ἐκεῖνοί τε ἔπραττον ἃ τῶν τὴν θεὸν δεδοικότων ἦν οὗτός τε ⟨διέφευγε⟩ τὴν τιμωρίαν; ἀποσπᾶν δὲ ἄνδρα τῶν βωμῶν ἐχόμενον οὔτε νόμιμον οὔτε καλὸν καὶ ταῦτα ὁμόφυλον καὶ στρατηγὸν κἂν τῇ τῶν Ἑλλήνων ἀκαιρίᾳ τὸν ὁμώνυμον πολλαχοῦ μεμιμημένον. 9. ὅλως δὲ οὐκ εἶχε λόγον ταὐτὰ καὶ μέμφεσθαι καὶ ποιεῖν καὶ τὸ τὴν θεὸν ὀλιγωρεῖσθαι δεινὸν ἡγουμένους αὐτοὺς τῶν βωμῶν καταλύειν τὴν τιμὴν καὶ τὰ Αἴαντος κακὰ δι' αὐτῶν τῶν εἰς τὸν Αἴαντα μιμεῖσθαι. 10. ταυτὶ μὲν ἐκεῖνον ἔσωσεν, ὡς δὲ πάλιν εἰς ἐκκλησίαν ᾔεσαν, οὐ ταὐτὰ τοῖς Ἀτρείδαις παρειστήκει φρονεῖν. τοῦτο δὲ οὐδὲν καινὸν μὴ τὰ αὐτὰ τοῖς συμβουλεύουσιν ἐφ' ἑκάστου τῶν πραγμάτων ἀρέσκειν, ἀλλὰ τῷ μὲν τοῦτο, τῷ δὲ ἕτερον δοκεῖν. τοῦτο τοίνυν καὶ τότε συνέβη τὸν μὲν πρεσβύτερον καὶ τῶν ὅλων ἐπιστατοῦντα τὸ συνοῖσον ἅπασι τοῖς Ἕλλησι καθορᾶν, τὸν δὲ Μενέλαον ἀμείνω τὰ χείρω νομίζειν. 11. ἀπειληφὼς γάρ, οἶμαι, τὴν Ἑλένην καὶ οὐκέτι

---

3 cf. ad t. VII 564, 4   9 cf. ad t. IV 380, 8   20 cf. p. 133, 26 sq.

---

2 post ἐφέροντο „desidero ἐπὶ τὸ δίκην λαβεῖν" Sintenis | ἐπὶ τὸν πεπαρῳνηκότα scripsi παρὰ τοῦ πεπαρῳνηκότος *B* edd ἐπὶ τοῦ πεπαρῳνηκότος Iacobs Lect 3 ἦν inserui cum Sinteni om *B* edd | εἶδε scripsi ex *E* cum Iacobsio Lect Anth. Pal. III 595 App Pors Adv 294 Sinteni οἶδε *B* edd 4 οὐκοῦν scripsi cum Iacobsio Sinteni οὐκ ἂν *B* edd 5 οὗτός τε scripsi cum Iacobsio Sinteni οὕτως τ cum lac 8—10 litt *B* edd | διέφευγε inserui ἔφυγε Iacobs τὰ Sintenis om *B* edd 8 κἂν scripsi cum Sinteni καὶ *B* edd 9 ὅλως et ταὐτὰ scripsi ὅμως et ταῦτα *B* edd 17 τῷ(2) scripsi e *B* τὸ edd 18 ἀνέβη *B* corr All

ἀξιῶν ὁμοίως εἴκειν Ἀγαμέμνονι καὶ σπεύδων ἀποδοῦναι τῷ μὲν οἴκῳ τὴν γυναῖκα, τὸν οἶκον δὲ τῇ γυναικὶ καὶ τὴν μὲν ἐπὶ πλέον διατριβὴν ἡγούμενος ζημίαν, εὔδαιμον δὲ ἐπιβῆναι τῆς Σπάρτης δεικνύντα τοῦ πολέμου τὸ ἆθλον, διὰ δὴ πάντα ταῦτα περὶ τοῦ δεῖν ἀποπλεῖν ἐμάχετο τῷ ἀδελφῷ συμβουλεύοντι μένειν κακῶς μὲν φρονῶν, ⟨αὐτὸν δὲ τῶν κοινῇ⟩ συμφερόντων προτιθείς. 12. *καὶ τοῦτο ἐμάνθανεν ἤδη πλέων ὁρῶν μὲν τὰς πολλὰς τῶν νεῶν ἀπολλυμένας, ὁρμιζόμενος δὲ εἰς Αἴγυπτον, οὐκ εἰς Λακεδαίμονα καὶ πενθῶν μὲν τοὺς ἀποπνιγέντας τῶν στρατιωτῶν, ὀδυρόμενος δ' ἑαυτὸν ἐν τῇ ξένῃ καθήμενος, δίκην ταύτην μεγίστην διδούς, ὧν ἕνεκα ἠπείγετο, ταῦτα ἡμαρτηκέναι.* 13. *θεοὶ δὲ ἀνθρώπους οὐ τοῖς αὐτοῖς κολάζουσιν εἴδεσιν, ἀλλὰ τὸν μὲν εἰς πενίαν ἐνέβαλον, τὸν δὲ παίδων ἀπεστέρησαν, τῷ δὲ τὸ σῶμα ἐπήρωσαν, καὶ τῷ μέν τις ἐτελεύτησεν, ὁ δὲ ζῶν ἐν πλάνῃ κακοπαθεῖ. ταύτην καὶ Μενέλαος ἐδίδου δίκην πόρρω μὲν ὢν τῆς*
R IV 1134 *οἰκείας, αἰσχυνόμενος δὲ τοὺς ζῶντας ὑπὲρ τῶν* | *οἰχομένων, ἀντὶ δὲ τῆς ἐν Σπάρτῃ βασιλείας ⟨ἀπολαύων⟩ πολλῷ ταπεινότερα τῆς ἀξίας τῆς αὑτοῦ, περὶ θύρας ἀλλοτρίας ἠναγκασμένος περιπατεῖν.*

---

9 cf. p. 134, 17 19 Od. γ 284 sq. 20 Plat. Phaedr. p. 255 E 22 Od. γ 302

---

4 *εὔδαιμον* scripsi cum Sinteni *εὐδαίμων* *B* edd 5 *διὰ* scripsi *διὸ* *B* edd 7 *αὐτὸν — κοινῇ* inserui lac 8 litt *B* edd *τὰ αὐτῷ ἀρέσκοντα τῶν κοινῇ* Iacobs Lect 9 *πλέων* scripsi cum Iacobsio Lect App Pors et Sinteni coll p. 134, 16 *πολεμῶν* *B* edd 10 *ὁριζόμενος* Re 19 *οἰκείας* scripsi *οἰκίας* *B* edd 20 *ἀπολαύων* inserui coll Plat. l. l. om *B* edd participium desiderari vidit Sintenis 21 *πολλῷ* scripsi *πολλὰ* *B* edd | *αὐτοῦ* *B* edd

VII.

Κοινοὶ τόποι.

Omnes quinque *κοινοὺς τόπους* continent hi quidem octo codices:

1. Barberinus II 61 nunc Vaticanus Barb. 240 (= Ba) saec. XIII/XIV valde lacer fol. 25. Vide supra p. 1 sq. Contuli.

Ex hoc nondum mutilato descriptus est

2. Parisinus gr. 2918 (= Pa) saec. XV fol. 156ᵛ. Vide supra p. 5 sq. Adhibuit Bastius. Contuli.

3. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 15ᵛ. Vide t. I p. 25 sq. Ut nonnulla unus fide servavit, ita ab interpolationibus ut p. 206, 12 sq; 173, 10; 175, 1; 174, 5 haud liber est. Raro correctus est manu secunda. *Κοινὸν τόπον κατὰ ἀνδροφόνου* mihi contulit Hugo Hinck, *κατὰ προδότου* idem atque Ivo Bruns, reliquorum ectypum photographicum misit Pius Franchi de Cavaleriis.

Ex hoc descriptus est

4. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) (= E) saec. XVI fol. 68ᵛ. Vide t. I p. 326 sq.

5. Escurialensis Φ-III-19 (235 in catalogo Milleriano) (= Es) saec. XVI fol. 25ᵛ. Vide t. IV p. 325 sq. et supra p. 62, ubi rationem quae ei cum *B* intercedit stemmate illustravi.

6. Parisinus gr. 3014 (= P) saec. XIV fol. 17. Vide t. II p. 375 sq. Adhibuit Morellus. Contuli.

Ex eodem atque hic exemplari descriptus est codex

7. Laurentianus LVIII 2 (= L) saec. XV fol. 107ᵛ. Vide supra p. 7 sq. Contuli.

E communi cum his duobus codicibus exemplari fluxit

8. Vindobonensis Phil. graec. CCLIX (= Vi) saec. XV fol. 175ᵛ. Vide supra p. 8. Contuli.

Ex his quos in censum vocandos esse duxi codices sex *BaPaBPLVi* quo necessitudinis vinculo inter se coniuncti sint stemmate supra p. 15 prolato illustravi.

Tres tantum *ὑπὲρ τυραννοκτόνου*, *κατὰ τυράννου*, *κατὰ ἰατροῦ φαρμακέως* locos communes continet codex

9. Bodleianus Miscellaneus 89 saec. XVI fol. 33. Vide supra p. 6. Contuli sed cum dubitari non posse perspexerim quin e *Pa* descriptus sit, ab apparatu critico seclusi.

Duos *κατὰ προδότου* et *κατὰ ἰατροῦ φαρμακέως* locos communes continet codex qui prope a *B* stat

10. Oxoniensis collegii Lincolniensis 25 saec. XV fol. 14ᵛ. Vide t. I p. 378 sq. et supra p. 9.

Duos *κατὰ ἀνδροφόνου* et *κατὰ προδότου* locos communes continet codex ex editione Barbati descriptus

11. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide supra p. 8 sq.

Κατὰ ἰατροῦ φαρμακέως locum communem servaverunt codices

12. Vaticanus gr. 82 (= Va) saec. XIV fol. 347 (vide t. I p. 48 sq.) et qui ex eodem exemplari descriptus est

13. Laurentianus LVII 20 (= La) saec. XV fol. 91 (vide t. I p. 39 sq.) qui uno folio perdito tituli et prioris partis privus a vocabulis p. 188, 12 *ὁ δὲ γυναῖκα* incipit.

Exemplar utriusque codicis commune[1]) textus formam praebet haud raro ei ad quam reliqui codices redeunt[2]) praeferendam. Vaticani ectypum photographicum debeo amicitiae Pii Franchi de Cavaleriis, Laurentianum contuli.

Postquam duo *κατὰ ἀνδροφόνου* et *κατὰ προδότου* loci communes per Barbatum (= Barb) in lucem protracti sunt, cuius textus forma a Camerario (= Cam) nonnullis correctis fere repetita est, editio omnium quinque a Fed. Morello (= Mor) facta est atque ita quidem, ut in duobus

1) Vide t. I p. 69.
2) Quantam labem haec ceperit ostendit p. 166, 15.

illis textum Camerarii paucis e codice Parisino 3014 correctis retineret, tres vero reliquos ut ex illo codice descripserat paucis correctis typis mandaret. Reiskius vero (= Re) codicum subsidiis privus multa egregie emendavit quae uxor textu Morelliano repetito (t. IV p. 893—924) in notis reliquit.

Nonnulla correxerunt Fr. Iacobsius cum alibi tum Lectionum[1]) libro, Bastius, qui codice Parisino 2918 usus est, C. Sintenis.[2])

1) Vide t. I p. 77; V p. 198.
2) Vide t. I p. 78.

Κοινοὶ τόποι.

α'.

R IV 893

Κατὰ ἀνδροφόνου.

1. Ὅτι μὲν καὶ τὴν γραφὴν ἡμεῖς ἐπὶ πᾶσι δικαίοις πεποιήμεθα καὶ τοῖς ἐγκεκλημένοις οὗτος ἔνοχός ἐστιν οἶμαι πάντας ὑμᾶς ἀκριβῶς ἐξ ὧν εἴρηκα μεμαθηκέναι. δεῖ τοίνυν ὃ λοιπόν ἐστι τοῖς ἐλέγχοις προσθεῖναι. τοῦτο δέ ἐστι ψῆφος τῆς ὀργῆς τῶν ἀδικημάτων ἀξία. ἢ πλέον οὐδὲν τῶν ἡμετέρων λόγων, εἰ τὰ παρ' ὑμῶν ἐλλείποι. κατηγορία γὰρ προσήκουσαν τὴν ἀγανάκτησιν προσλαβοῦσα τῶν δικαστῶν ἰσχυρὰ γίνεται, ταύτης δ' ἀπούσης φλυαρία φαίνεται.

2. Πολλῶν δὲ ὄντων εἰς ἃ δεῖ βλέψαντας ὑμᾶς παροξυνθῆναι τὴν ἀρχὴν ἀπὸ τῶν νόμων ποιήσασθαι βούλομαι τῶν φονικῶν, οἳ πάντων τῶν παρ' ἡμῖν εὐδοκιμούντων πολὺ τῶν ἄλλων ἀκριβέστερον ἔχουσι. τί οὖν ἐκεῖνοι λέγουσι; πάντων τῶν κατὰ ἀνθρώπους

---

17 sq. Dem. Lept. p. 505, 8 sq.

---

1 *Κοινοὶ τόποι. α'. κατὰ ἀνδροφόνου*] *Κοινὸς τόπος κατὰ ἀνδροφόνου* libri edd 4 *δικαίως L* 5 *ἐγκεκλημένοις* reposui e libris *ἐκλελεγμένοις* Barb *λελεγμένοις* Cam Mor sed in hoc *γρ ἐγκεκλημένοις* in marg, Re | *ἔστι Pa* 6 *ἡμᾶς Pa* 9 *ἡμῶν BaPa* 10 *ἐλλείπει PaB* | *προσήκουσαν* reposui e libris sed *ηκ* in *P*, *ν* in *Vi* eras, cum Sinteni *προσήκουσα* edd 13 *βλέψαντας* scripsi e *BaPaB* *βλέποντας PLVi* edd | *ἡμᾶς BaPa* 15 *φοινίκων BaPaB* *φονιτικῶν L* | *τῶν* om *Ba* | *ἡμῖν* scripsi e *BaPaB* *ὑμῖν PLVi* edd 17 *κατ' Pa* | *ἀνθρώπους* scripsi e *BaPaBPL* coll p. 164, 12 *ἀνθρώπων Vi* edd

τετολμημένων τοῦτ' εἶναι δοκεῖ τὸ δεινότατον. καὶ διὰ τοῦτο χερνίβων εἰργέσθω, φησί, σπονδῶν, κρατήρων, ἱερῶν, ἀγορᾶς ἢ κἂν ὑπὸ τὰς ψήφους ἔλθῃ, θανάτῳ ζημιούσθω. 3. κάλλιστον μὲν οὖν καὶ τῶν μεγίστων ἀγαθῶν τὸ μυστηρίων μετέχειν, ἀλλὰ καὶ τούτων τὸν ἀνδροφόνον ἀποκεκλείκασι καὶ οὐδὲ τοῖς ἀκουσίοις φόνοις παντελῶς συγγνώμην εἴασαν εἶναι, ἀλλὰ μισοῦσι μὲν μειζόνως τοὺς ἑκουσίους, τιμωρίαν δὲ | κἀκείνοις εὑρήκασι φυγὴν τάξαντες, R IV 894 *δι' ἣν ἔστιν ἀποστερεῖσθαι τῶν καλῶν τῆς οἰκείας. οὕτω δὲ δεινὸν καὶ θεοῖς ἐχθρὸν ἡγήσαντο τὸν ἀνδροφόνον ὥστε κἂν τὸν αὐτὸν ὄροφον ὑπέλθῃ τις τῷ τοῦτο τετολμηκότι, κοινωνὸς τῆς ἀδικίας νενόμισται. καὶ τοῦ δεδρακότος οὐ πολὺ τιμιώτερος ὁ τῷ δεδρακότι συγγεγενημένος. 4. καὶ πρὸς εἰδότας ἂν λέγοιμι τὰ λοιπά, διόπερ παρήσω. τῷ γὰρ τούτοις ἐπεξιόντι*

---

8 Dem. Mid. p. 528, 5 sq. | cf. t. I 482, 2 12 Dem. Mid. p. 553, 5 sq.

---

1 *τοῦτο PLVi* edd | *δοκεῖ* scripsi e libris *δὴ* edd sed *γρ δοκεῖ* in marg Mor | *διατοῦτο PaPVi* 2 *σποδῶν BaPa* 3 *ἱερῶν, ἀγορᾶς* scripsi e Dem. Lept. 505, 15 *ἀγορᾶς, ἱερῶν* libri edd | *οὐ* ante *κἂν L* *οὐκ ἂν P* 4 *ἔλθοι BaBVi* edd 5 *μυστήριον L* 6 *τὸν ἀνδροφόνον* scripsi e *BaPaBPL* *τῶν μυστηρίων Vi* edd sed *γρ τὸν ἀνδροφόνον* in marg Mor, *τῶν μυστηρίων τὸν ἀνδροφόνον* scribendum coni Re, *τὸν μιαρὸν* Sintenis 9 *τιμωρίαν δὲ* om *B* | *κακείνης B* | *εὑρήκασιν L* 10 *ἣν* scripsi ut coni Re *ὧν* libri edd | *καλῶν τῆς οἰκείας* scripsi e *BaPaB* *τῆς οἰκείας* (*οἰκίας LVi*) *καλῶν PLVi* edd sed *οἰκείας* coni Re 12 *ὑπέλθῃ* scripsi *ὑπέλθοι BaB PLVi* edd *ἐπέλθοι Pa* 14 *τιμιώτερος* reposui e libris *μειότερος* edd sed *γρ τιμιώτερος* in marg Mor, *τι σεμνότερος* vel *τι τιμιώτερος* coni Re *ἀμιάντερος* vel *ὁσιώτερος* Iacobs Lect 15 *συγγεγενημένος* scripsi e *BaPaB* *συγγενησόμενος PLVi* Barb Cam Mor *συγγενόμενος* Re 16 *τὸ Pa* | *ἐπάξιόν* (*τι* supra) *Pa*

μετ' ἀκριβείας οὐκ ἂν εἴη μνημονεῦσαι τῶν ἄλλων. τῆς δ' οὖν τοιαύτης προνοίας καὶ φυλακῆς ἄξιον ἀκοῦσαι τὴν αἰτίαν.

5. Ἡ πόλις οὐδέν ἐστιν ἕτερον πλὴν τὰ τῶν ἐνοικούντων σώματα. καὶ γὰρ ὁ περίβολος καὶ τὰ τῆς κατασκευῆς ἐδάφη καὶ βέλη καὶ νῆες καὶ ἵπποι καὶ ὅπλα διὰ τούτων ἐστὶ χρήσιμα. πᾶν γάρ, ὅ τι ἂν εἴπῃς, ἄνευ τῶν χρησομένων μάταιον. δῆλον τοίνυν ὡς ⟨τούτων⟩ σωζομένων μόνον τοῖς ὅλοις ἔνεστι συνέχεσθαι. σκοπεῖτε γάρ. δεῖ πλεῖν, δεῖ πεζῇ παρατάττεσθαι, πρεσβεύειν, ἀποκρίνασθαι, ἐνδεικνύναι τοὺς ὀφείλοντας, εἰσάγειν τοὺς ἀδικοῦντας, ψηφίσματα γράφειν, νόμους τιθέναι. πάντα δὲ ταῦτ' ἐστὶν ἀνθρώπων ἔργα. τὸ δὲ μέγιστον, πολυανθρωπία φοβερὰ μὲν τοῖς ἐναντίοις, τοὐναντίον δὲ λίαν εὐκαταφρόνητον. 6. ἑώρων τοίνυν οἱ ταῦτ' ἐξ ἀρχῆς τὰ νόμιμα διελόντες ὡς, εἰ μὴ πικρῶς κολάσουσι τοὺς παρ' ἀλλήλων φόνους, φθή-

1 μετὰ *PLVi* edd 2 τοιαύτης scripsi e *PaB* delet. *Ba* τοσαύτης *PLVi* edd | φυλακῆς scripsi e *BaPaB* cum Bastio comm. pal. (Greg. Cor. ed. Schaefer) p. 837 φύσεως *PLVi* edd sed ῥύσεως coni Re, ῥήσεως Sintenis 5 περίβολος, τὰ ἐδάφη, τὰ τῆς κατασκευῆς coni Re 6 βέλη καὶ νῆες καὶ ἵπποι καὶ ὅπλα scripsi e *BaPaBPL* νῆες καὶ βέλη καὶ ἵπποι καὶ ὅπλα *Vi* νῆες καὶ ἵπποι καὶ ὅπλα καὶ βέλη edd 7 τούτων scripsi e *BaPaB* τούτους *PLVi* edd | πῶς *L* | ὅ τι ἂν εἴπῃς scripsi ὅτι ἂν εἴποις (εἴποιμι *B*) libri edd 8 δῆλον scripsi ἤδη libri edd | ὡς scripsi e *BaPaB* ἐπὶ *PLVi* edd „*Num* ἤδη τοίνυν ἔτι σωζομένων (*sc.* τῶν πολιτῶν) ἐν τοῖς ὅπλοις ἔνι συνέρχεσθαι? *tum deest aliquid.* ἀπολωλότων δὲ οὐδείς ἐστιν ὁ ἀμυνούμενος" Re ἤδη πόλιν ὑπὸ σωζομένων μόνον Iacobs Lect 9 τούτων inserui om libri edd | μόνον scripsi cum Iacobsio μὲν libri edd | ὅλοις ἔνεστι scripsi e *BaPaB* ὅπλοις ἔνι *PLVi* Mor Re ὅπλοις ἔδει Barb Cam | συνεύχεσθαι *Vi* Barb Cam 12 σοφίσματα *Pa* 13 ταῦτα *BaPa* 16 ταῦτ' scripsi e *BaPaB* ταὐτὸν *PLVi* Barb ταῦτα Cam Mor Re | διελθόντες *Vi* διελθὸν Barb 17 κολάσουσι scripsi e *BaPaB* cum Iacobsio Lect κολάσωσι *PLVi* edd | ἑλλήνων *BaPa* | φθάσονται Mor Re cf. t. II 487, 4

σονται τοὺς πολεμίους οἱ πολῖται σφᾶς αὐτοὺς ἀναλώσαντες. διόπερ τὸν ἐγκαλεῖν τι τῷ πλησίον | ἔχοντα (R IV 895) πρὸς τὸ δικαστήριον ὁρᾶν κελεύουσι καὶ δείξαντα ὡς ἠδίκησεν εἰσπράττεσθαι νομίμως τὴν δίκην, ἀλλ' οὐκ αὐτόν, ὡς βούλεται, τιμωρίαν λαμβάνειν. εἰ γὰρ ὁ μὲν ἀγανακτήσας ὑπὲρ τοῦ τυχόντος ἀποκτείνοι τὸν λυπήσαντα, πάλιν δὲ οἱ τούτῳ προσήκοντες τὸν ἀνῃρηκότα, ἐκείνους δὲ ἕτεροι, τί πέρας ἔσται τῆς τοιαύτης ὁδοῦ; 7. τούτοις μέντοι καλῶς οὕτω καὶ σφόδρα εὐσεβῶς κειμένοις ὑμεῖς μὲν καλῶς ποιοῦντες πείθεσθε, μόνος δὲ οὗτος ἐξ ἁπάντων ἠναντίωται καὶ νομίσας ὕθλον ὡς ἀληθῶς εἶναι καὶ γράμματα κενὰ τὴν αὑτοῦ δεξιὰν κυριωτέραν τοῦ θεσμοῦ πεποίηται σχῆμα μὲν ἐπιεικὲς προβαλόμενος, γνώμῃ δὲ πονηρᾷ χρησάμενος καὶ τοῖς φαινομένοις ἐναντίαν τὴν προαίρεσιν κεκτημένος, ἐν μέσῳ μὲν πρᾷος, ἐν δὲ ταῖς ἐρημίαις ἀπηνής, λόγῳ μὲν φιλάνθρωπος, ἔργῳ δὲ ὠμότατος, ἐπὶ μὲν τῆς ἀγορᾶς μέτριος, ἔξω δὲ τειχῶν θηριώδης. 8. καταλαβὼν γὰρ τόπον ὑψηλόν τε καὶ ἀπόκρημνον τοὺς μὲν πορευομένους ἀθρεῖ πόρρωθεν, τοὺς δὲ ἀνῃρημένους ἀφανίζει τὴν νύκτα λαβὼν εἰς τὸ τόλμημα

1 πολεμισταί *BaPa* | αὐτοὺς *BaVi* edd ἑαυτοὺς *B* 2 τῷ *Pa* | τί *P* 4 ἠδίκηκεν *Ba* sed κ in σ corr ἠδίκηκε *B* | πράττεσθαι *BaPaB* cf. t. II 144, 3; VI 445, 11 6 τὸν λυπήσαντα ἀποκτείνῃ *Pa* | ἀποκτείνοι scripsi ἀποκτείνῃ *BaPaB* ἀποκτείνει *PLVi* Barb ἀποκτενεῖ Cam Mor Re 7 λυπήσοντα *L* | τούτου *Pa* 8 ἐστὶ *BaPaB* 9 σφόδρα καὶ οὕτω (οὕτως *B*) *BaPaB* 10 ἡμεῖς *BaPa* 11 καὶ om *Pa* 12 ὕθλον ὡς ἀληθῶς εἶναι scripsi e *Ba* (ὕσθλον) *PaB* ὡς ἀληθῶς ὕθλον εἶναι *PLVi* ὡς ἀληθῶς εἶναι ὕθλον edd 13 αὐτοῦ *BaPaBPL* edd 14 προβαλόμενος scripsi ut coni Re προβαλλόμενος libri edd 15 ἐναντίοις *B* τοὐναντίαν *L* 16 μὲν] δὲ *Vi* | ταῖς ἐρημίαις δὲ *Vi* Barb Cam 19 ἀπόκρυφον *Vi* 20 ἀθρεῖ scripsi ut in marg coni Cam, unde γρ ἀθρεῖ in marg Mor ὠθεῖ libri edd sed „*fort.* ὠθεῖ κατὰ τῶν πετρῶν“ Re | δ' *BaPa*

συνεργόν. Ἡράκλεις, οἵων δραμάτων ἐπλήρωσε τὴν ὁδόν. ἠπείγετό τις εἰς τὸν δῆμον ἐλθεῖν καὶ ἀπώλλυτο. ἀνέστρεφεν ἕτερος εἰς ἄστυ καὶ διεφθείρετο. μετῄει δέ τις οἰκέτην ἀποδράντα καὶ ἀπεσφάττετο. 9. *ῥᾴδιον δὲ τῷ παρεσκευασμένῳ τὸν ἀφύλακτον κτεῖναι, τῷ δὲ πεπτωκότι σωτηρίας οὐκ ἦν πόρος. ὁ δὲ τοὺς ἀνθρωπίνους λογισμοὺς ἐκβαλὼν ὤθει τὸ ξίφος ἀφειδῶς ἐγκαλεῖν μὲν οὐδὲν ἔχων, ὅπως δὲ τῶν χρημάτων ἀποστερήσας κερδαίνοι τὸν ἔλεγχον. καὶ οὔτε τὴν νύκτα ᾐσχύνετο ἣν ἐμίαινε τοῖς φόνοις οὔτε τὸν ἥλιον προσβαλεῖν μέλλοντα τὴν ἀκτῖνα τοῖς σώμασιν οὔτε τὴν γῆν αὐτὴν τὴν δεξαμένην τοὺς νεκρούς.* 10. *ὢ τῆς ἀπονοίας. οὐκ εἰσῆλθέ σε τότε τῶν ἁπάντων οὐδέν;* R IV 896 *οὐ σχῆμα | πολιτείας ἧς ἐκοινώνεις τοῖς ἀνῃρημένοις; οὐκ ἐκκλησίας ἣν μετ' αὐτῶν ἐπλήρωσας; οὐ βουλῆς; οὐ δικαστηρίων; οὐχ ἱερῶν; οὐ σπονδῶν; οὐ μυστηρίων; οὐ τελετῶν; οὐκ ἔπαυσε τὴν ὁρμὴν ἄνθρωπος τὴν αὐτὴν φωνὴν ἀφιείς; οὐκ ἔκλασεν ὁμοιότης σώματος; ἀλλ' ἱκετεύοντας ἔπαιες καὶ δεομένους ἀπέσφαττες καὶ προκυλινδουμένους κατέκοπτες.*

11. *Οὗτος μὲν οὖν ἐν τοῖς ἑτέρων θανάτοις ἐτρύ-*

---

1 *οἷον Ba* 2 *ἠπείγετο* reposui e libris sed delet. *Ba*, ut coni Re *ἐπείγετο* edd | *τὸν* inserui e *Ba* sed *τ* delet., *PaB* om *PLVi* edd | *ἀπώλετο Pa* 3 *ἕτερος* inserui e *BaPaB* om *PLVi* edd | *εἰς ἄστυ* om *Pa* 4 *ἀποδράσαντα BaPaB* | *ἀπεσφάττετο* reposui e libris *διεσφάττετο* edd sed „*aut lectio marginis* (*γρ Mor*) *ἀπεσφάττετο est optanda aut leg. καὶ δὴ ἐσφάττετο*" Re 9 *κερδαίνοι* scripsi e *Ba* *κερδαί* (ν superscr.) *Pa* *κερδαίνῃ P Vi* *κερδάνῃ BL* edd sed *γρ κερδαίνῃ* in marg Mor 10 *αἰσχύνε* (τ superscr.) *Pa* | *ἐμίαινε* scripsi *ἐμίανε* libri edd 11 *οὐ B* 14 *οἷς BaPa* 15 *ἐκκλησίαις* Mor Re qui *ἐκκλησίας μνήμη* coni 16 *οὐ χειρῶν BaPa* *οὐχ χειρῶν B* 17 *ἔπαυε Vi* Barb Cam | *τῆς ὁρμῆς PaB*

φα, περιῆν δὲ ἡμῖν ἀλγεῖν. ἀναμνήσθητε γὰρ τῶν δακρύων ἐκείνων οἷς ἐχρώμεθα πρὸς τὴν ἀκοήν. ἤγομεν ἑορτὴν καὶ παραχρῆμά τις ἤγγελλε φόνον καὶ τὸ τερπνὸν τῶν δρωμένων ὑπὸ τῆς φήμης διεφθείρετο. διελύομεν ἐκκλησίαν. καὶ πάλιν ἕτερος φόνος καὶ συνεχὴς οἰμωγὴ κατὰ τὴν πόλιν παίδων ὀδυρομένων, γυναικῶν θρηνουσῶν, μετεχόντων τῆς λύπης τῶν οἰκείων, διαβαίνοντος ἐφ' ἅπαν τὸ γένος τοῦ κακοῦ. 12. δεινότατον δὲ τῆς συμφορᾶς τὸ μηδὲ τῶν πιπτόντων τοὺς πολλοὺς ὑπάρχειν ἀνελέσθαι. τοῦ γὰρ μέλλοντος ὁ φόβος εἴσω πυλῶν καθεῖργεν ἅπαντας καὶ πολλὰ πραχθῆναι δέον ἔλιπε προδήλου τῆς τελευτῆς οὔσης, εἰ πρὸ τῶν τειχῶν τις φανείη.

13. Τούτων δὴ γινομένων καὶ τῶν μὲν ἀπολλυμένων θρηνουμένων, τοῦ δὲ τούτων αἰτίου λανθάνοντος ἐπράττομεν ὃ μόνον ἔστιν ἐν τοῖς τοιούτοις, ηὐχόμεθα τὸν τούτων αἴτιον ὑπὸ χεῖρα λαβεῖν ὡς, εἰ τοῦτο γένοιτο, προσληψόμενοι τὸν δήμιον. 14. τί οὖν; ἐπειδὴ τὰ παρὰ θεῶν ἠκολούθησε καὶ πέφηνεν ὁ τέως ἀγνοούμενος καὶ νῦν ἐφ' ἡμῖν ὁ καθ' ἡμῶν ἀνδρεῖος καὶ

20 cf. p. 171, 18

1 *ἀναμνήσθητε* scripsi e *BaPaBPL* *ἀνεμνήσθητε Vi* edd | *τῶν δακρύων ἐκείνων οἷς ἐχρώμεθα πρὸς τὴν ἀκοήν* scripsi e *BaPaBPL* et *γρ* in marg Mor *πρὸς τὴν ἀκοὴν οἷς ἐχρώμεθα δακρύοις Vi* edd 3 *παραχρῆμα τίς P* | *ἤγγελλεν B* *ἤγγελε Vi* | *καὶ* om *Vi* Barb Cam 5 *ἐκκλησίαν* scripsi e *B* *ἐκκλησίας BaPaPLVi* edd 6 *παίδων*] *πόνων BaPa* 7 *μετέχοντες Vi* Barb 9 *μὴ δὲ PaPVi* Barb 10 „*malim τοῖς πολλοῖς*“ Re 13 *τυχῶν P* sed *υ* in *οι* corr m[3] | *τίς P* 14 *δὴ* scripsi *δὲ* libri edd | *γιγνομένων Vi* edd 15 *θρηνουμένων* inserui e libris om edd sed *γρ* in marg Mor 16 *ἐπράττομεν* scripsi e *BaPaB* *ἐπράττετο μὲν PLVi* edd | *ἔστιν* scripsi *ἐστιν* (*ἐστὶν PaL*) libri edd sed „*fort. μόνον λοιπόν ἐστιν*“ Re *ἔνεστιν* Iacobs Lect 18 „*fort. παραληψόμενον*“ Re 19 *τῶν* ante *θεῶν PL* Mor Re delevi | *ἠκολούθηκε*?

νῦν ὑπὸ νόμοις ὁ καταγελῶν τῶν νόμων, οὐκ ἀγανακτήσετε διότι καὶ τρὶς ἀποθανών, εἴπερ οἷόν τε, οὐκ ἀρκοῦσαν ἀποδώσει τὴν δίκην; τὸ δὲ πάντων δεινότα-
R IV 897 τον, ὅτι | τοιαῦτα ποιῶν ἐπ' ἐρημίας ἰὼν ἡμῖν ἀνεμίγνυτο καὶ τῶν αὑτοῦ μιασμάτων ἀγνοοῦντας ἡμᾶς κοινωνοὺς ἐποιεῖτο. ἦ που καὶ ἔλαχε μεθ' ἡμῶν πολλάκις καὶ περὶ φόνου ψῆφον ἐξήνεγκεν. ἦ που καὶ ταῖς νουμηνίαις μεθ' ἡμῶν προσῆλθε τοῖς ἱεροῖς καὶ ταῖς χερσὶν αἷς ἔδρασε τὸν φόνον συνεφήψατο τῶν ἱερῶν θυσιῶν. 15. παροξύνθητε τοίνυν ὑπὲρ ἀγορᾶς, ὑπὲρ βωμῶν, ὑπὲρ ἀνακτόρων, ὑπὲρ τοῦ τῆς πόλεως ἐδάφους, ἃ πάντα οὗτος ἔχρανεν ἐνδιατρίβων. λάβετε δὴ ἐν λογισμῷ πάνθ' ὅσα κατὰ ἀνθρώπους τολμᾶται καὶ παράθετε τῷ κρινομένῳ νῦν τῶν ἀδικημάτων ἕκαστον. εὑρήσετε γὰρ τῶν πάνυ νομιζομένων εἶναι δεινῶν τοῦτο χαλεπώτατον. εἰ γάρ τις ὑμᾶς ἔροιτο, τί μάλιστα μισεῖτε; τὰς μοιχείας εἴποιτ' ἂν καὶ τὰς ἱεροσυλίας καὶ ὅσα περὶ τοὺς κειμένους ⟨νόμους⟩ ἁμαρτάνε-

---

8 Dem. Aristog. I p. 799, 28 sq. 9 Aeschin. fals. leg. § 84 p. 39, 16 11 cf. ad t. V 550, 11 | Dem. Chers. p. 99, 19; Phil. IV p. 134, 14

---

1 *νοουμένοις Vi* Barb Cam | *ἀγανακτήσητε P* 2 *διότιπερ B* | *εἴπερ εἰ BaPa* | *οἷόν B* *οἷός* Re 5 *αὐτοῦ BaPaBP* 6 et 8 *ὑμῶν* Cam Mor Re 7 *περὶ φόνου* om *B* | *καὶ* ante *ψῆφον Ba* | *ἐπήνεγκεν BaPa* *ἐξήνεγκε Vi* cf. t. V 402, 4 8 *προῆλθε BaPa* 9 *ἔδρα BaPa* | *συνεψηφίσατο BaPa* 10 *ὑπὲρ θυσιῶν* ante *ὑπὲρ βωμῶν Vi* edd delevi 12 *ἃ πάντα* scripsi e *BaPaLVi* ut coni Re *ἅπαντα BP* edd | *δὴ* scripsi *δὲ* libri edd 13 *κατ' B* | *ἀνθρώπων BaPaB* cf. p. 158, 17 | $\text{τολμ}^{\tilde{α}τ}$ *Ba* *τολμᾶ PaB* *τολμᾶτε PLVi* 14 *τῶν ἀδικημάτων ἕκαστον* scripsi e *BaPaB* *ἕκαστον τῶν ἀδικημάτων PLVi* edd 15 *δεινῶν νομιζομένων εἶναι Vi* Barb Cam | *δεῖν L* 18 *κρινομένους BaPaB* | *νόμους* inserui om libri edd | *ἁμαρτάνετε PLVi*

ται. πρὸς δὲ τὸ παρὸν κἀκεῖνα μικρὰ ⟨ἂν⟩ φαίνοιτο. 16. κάλλους τις ἡττηθεὶς ἀδικεῖ μέν, ἀλλ' ἔχει παραίτησιν. ἐβιάσθην γάρ φησιν ὑπὸ τοῦ θεοῦ. καὶ πρὸς τὴν Ἔρωτος δυναστείαν ἀνταίρειν οὐκ εὔπορον. ἔπειτα τῇ γυναικὶ καταλείπεται διορθῶσαι τὸν τρόπον. πολλαὶ γὰρ ὑπαχθεῖσαι τὴν πρώτην εἶτα πρὸς τὰ βελτίω μετέστησαν. ὅλως δ' ἐπ' ἐκείνων ἀκόλαστος μὲν ἡ γνώμη, πρὸς δὲ τὸ θηριῶδες οὐκ ἐκβαίνει, τούτῳ δὲ τί καὶ γένοιτ' ἂν εἰς ἀναχώρησιν; τίς δαίμων ἐπαναγκάσας, τίς εὐπρόσωπος αἰτία; καὶ γάρτοι τοῖς μὲν εἰς ταὐτὸν ἐλθεῖν οὐ κωλύουσιν οἱ νόμοι, τὴν δὲ πρὸς τούτους κοινωνίαν ἐν ἀδικήμασι κρίνουσιν. 17. ἔτι τοίνυν ὁ μὲν ὥρας σώματος ἥττων γεγενημένος οὔπω δῆλον εἰ καὶ φόνον ἂν τολμήσειεν, ὁ δὲ φόνον τετολμηκὼς οὐδ' ἐκεῖν' ἂν κατοκνήσειε. καὶ μὴν ὁ μὲν τῆς γυναικὸς
| ἀποστερῶν τὸν συνοικοῦντα τὸ γύναιον αὐτὸ R IV 898

9 cf. VI 217, 10. Dem. fals. leg. p. 354, 11

1 νῦν post παρὸν edd delevi | κἀκεῖνα reposui e libris ἐκεῖνα edd | ἂν inserui om libri edd | φαίνοι^τ BaPa φαίνεται Vi edd sed γρ φαίνοιτο in marg Mor 2 τίς P 3 ἐβιάσθην γάρ φησιν scripsi e BaPaB ἐβιάσθη γὰρ PLVi edd 4 τὴν ἔρωτα L τὸν ἔρωτα Vi Barb Cam Mor | ἀντερεῖν BaPa PLVi 5 καταλείπεται scripsi e BaPaB κατείληπται PLVi edd sed „*fort.* καταλέλειπται" Re 6 μὲν ante γὰρ Ba | γὰρ bis Pa 7 ὅλως scripsi auctore Iacobsio Lect Anth. Pal. III 674 ὅμως libri edd 9 γένοιτο Vi edd | ἀναχώρησιν scripsi e BaPaB συγχώρησιν PLVi edd 11 τούτοις Ba 12 ἀδικήματι BaPaB | κρίνουσι Vi | ἔτι reposui e PaBLVi delet. Ba ἔστι P edd 13 σωμάτων PLVi edd 14 ὀδ' Vi 15 ἐκεῖν' ἂν scripsi ἐκείνων BaPaB ἐκεῖνον ἂν PL ἐκεῖνο ἂν Vi edd | κατοκνήσειεν Vi 16 αὐτὸ scripsi αὐτ^ῶ Ba sed ῶ parum certum, PaB αὐτοῦ PLVi edd (οὐ τοῦ Cam) „*fort.* τὸ γύναιον αὐτὸ τοῦ ζῆν ἀποστερεῖται (*sola uxor occiditur*)" Re

τοῦ ζῆν οὐ προσαποστερεῖται, ὁ δὲ τὴν γυναῖκα τοῦ συνοικοῦντος ἀποστερήσας κἀκείνην αὐτὴν ἀφείλετο τοῦ περιεῖναι.

18. Δεινὸν ὁ τυμβωρύχος, ἀλλ' οὐχ ὅσον ἀνδροφόνος. ὁ μὲν γὰρ τεθνεὼς παροινούμενος ἔξω τῆς λύπης καθέστηκεν, ἐπεὶ καὶ τῆς αἰσθήσεως τῶν γιγνομένων ἔξω, τῷ δὲ δεχομένῳ τὴν πληγὴν οὐκ ἔστιν ἀγνοεῖν ἃ πάσχει. ὅσῳ δὴ τοῖς πάσχουσι τοῦτ' ἐκείνου μᾶλλον ἀνιαρόν, τοσούτῳ μιαρώτερος ὁ τοῦτο δρῶν τοῦ τολμῶντος ἐκεῖνο. 19. μᾶλλον δέ, καὶ τὰ τῶν τυμβωρύχων ὁ κρινόμενος ἐν αὐτῷ τῷ φόνῳ συνείληφεν. ἀποσφάττων γὰρ προσαφαιρεῖται τὰ ὄντα, τούτων δὲ ἦν ἀποστερῆσαι ταφῆς. εἰ δὲ δεῖ τἀκριβὲς εἰπεῖν, ἀνοσιώτερος τῶν τυμβωρύχων εἰς αὐτὴν τὴν τῶν κειμένων ⟨νόμων⟩ ὕβριν. οἱ μὲν γὰρ οὐ κωλύουσι τῶν νομι-
† ζομένων τυχεῖν, ἀλλὰ τυχόντας τινὰς ἐκδύουσιν, οἱ δὲ

. . . .

τοσούτῳ τυμβωρύχος ἀνδροφόνου πρᾳότερος.

20. Ἀλλά, νὴ Δία, τὸ τῶν ἱεροσύλων ἁμάρτημα μεῖζον. τοῖς γὰρ τῶν θεῶν ἀναθήμασι

1 τὸ Barb | οὐ om *Vi* Barb Cam | πρὸσ ἀποστερεῖται *Pa* ἀποστερεῖται *Vi* Barb Cam 2 στερήσας *BaB* | ἀφείλετο reposui e libris ἀφείλατο edd 5 τῆς om *B* 6 καθέστηκε *B* | γινομένων *PLVi* 8 δὲ *BPaB* | ἐκεῖνο *Pa* 10 τυμβορύχων *Pa* 11 τῷ om *BaPa* 12 προσαφαιρεῖ *BaPaB* | τούτων scripsi τοῦτο libri edd sed „*fort.* τοῦ τυμβωρύχου" Re cui oblocutus est Iacobsius Lect Anth. Pal. III 685 τούτου Sintenis 13 δεῖ inserui e *PaB* ut coni Re delet. *Ba* om *PLVi* edd | ἀνοσιώτερον *Pa* ἀνοσιώτερα *B* 14 τυμβορύχων *Pa* 15 νόμων inserui om libri edd 16 ἐκδύουσι *PaBL* | οἱ δὲ delet. *Ba* om *PaB* | post δὲ lac nulla *BaPaB*, 25 fere litt *PL*, unius versus (= 40 litt) *Vi* edd, quam in hunc fere modum explendam censeo τοὺς ἀνῃρημένους ἀφανίζουσι (cf. p. 161, 20) καὶ ἀτάφους ἐῶσιν (cf. t. VI 96, 8). ὅσῳ δὴ τὸ τῶν νομιζομένων τυχεῖν ἀναγκαιότερον 18 τοσούτῳ scripsi e *BaPaB* coll l. 9 τοσοῦτον *PLVi* edd | τυμβωρύχος om *Vi*Barb Cam τυμβορύχος *Pa*

προσάγουσι τὰς χεῖρας. ἄνθρωπος δὲ οὐ θεῶν κτῆμα πολὺ τιμιώτερον τῶν φιαλῶν; αὗται δὲ αἱ φιάλαι τίνων ἀναθέντων ὑπάρχουσιν; οὐκ ἀνθρώπων; θυσίαι δὲ πόθεν καὶ παιᾶνες καὶ πρόσοδοι; βωμοὶ δὲ καὶ νεῴ καὶ τεμένη θεῶν καὶ αὐτὰ δὲ τὰ ἀγάλματα τίνων δημιουργήματα; μὴ τοίνυν ἔλαττον κεκρίσθω πονηρὸς τῶν ἐκεῖνα σεσυληκότων ὁ τούτους διαφθείρας παρ' ὧν ἐκεῖνα γεγένηται.

21. *Φρίττετε τυραννίδος καὶ τοὔνομα νοῦν ἔχοντες, ὡς ἡγοῦμαι. τί ποτ' οὖν τῶν ἐκείνης τοῦτον ὑμῖν ἐμποιεῖ τὸν φόβον; ἆρά γε δημεύσεις | καὶ φυγαὶ* R IV 899 *καὶ τὸ δεδέσθαι τινὰς οὐ δικαίως; οὔ. ἀλλὰ τὸ κωνείῳ τινὰς τῶν πολιτῶν ἀναρπάζειν. ἐνθυμεῖσθε γὰρ ὅτι τοὺς μὲν πεφευγότας ἔνεστι κατελθεῖν καὶ τοὺς τὴν οὐσίαν ἀφαιρεθέντας ἀπολαβεῖν αὖθις καὶ κομίσασθαι, θάνατον δὲ οὐκ ἔστιν ἰάσασθαι. ὃ τοίνυν τῶν ἐν τυραννίδι κεφάλαιον, τοῦθ' οὗτος ἐν δημοκρατίᾳ τετόλμηκε, καὶ τὸ φοβερωτάτην ἐκείνην ποιοῦν ὑπὸ τοῦδε πέπρακται τοῦ ξίφει τὰ κωνείου πληρώσαντος, ὅσπερ δὴ τρόπος τελευτῆς ἀλγεινότατος.* 22. *εἶτα ἂν μὲν*

---

1 Plat. Phaed. p. 62 D   6 cf. p. 139, 5; I 533, 7

---

3 *ὑπάρχουσι PaVi* | *ἢ* ante *οὐκ PLVi* edd delevi 4 signum interrogationis posui comma libri edd 5 *νεῴ* scripsi *νεὼς BaPaBPL* *νεὼ Vi* edd | *καὶ* (3) inserui e *BaPaB* om *PLVi* edd 6 *ἔλαττον* scripsi *ἐλάττων BaPaBPL* Mor Re qui aut *ἔλαττον* aut *ἐλαττόνως* legendum coni om *Vi* Barb Cam qui *ἧττον* inserendum coni 7 *διαφθείρας* inser *P*[2] 10 *ἡμῖν BaPaPLVi* | *ἐκποιεῖ PVi* Barb 11 *ἄρα Ba* 12 *κωνείῳ* scripsi ut coni Re *κώνειον* libri edd 13 *ἀναρπάζεσθαι?* 14 *μὲν* om *B* 17 *οὕτως Vi* | *τετόλμηκε* scripsi e *BaPaBPL* *τετέλεκε Vi* edd sed *γρ τετόλμηκε* in marg Mor 18 *φοβερώτατον PVi* Barb Cam Mor 19 *τῷ* Cam Mor Re | *ὥσπερ BaPa*

μοιχὸν κρίνητε, δεῖ χαλεπαίνειν καὶ κατὰ τοῦ τυμβωρύχου τὴν ὀργὴν εἶναι μεγάλην, κἂν διασπάσησθε, μικρὰν οἴεσθε λαβεῖν τὴν δίκην· νῦν δὲ κάθησθε τῶν ἡμετέρων δεόμενοι λόγων, παρ' οἷς ὑβριστὴς μισεῖται, παρ' οἷς κλέπτης κολάζεται. καὶ τί κωλύσει τὴν πόλιν οἴχεσθαι τῶν εἰς ἀλλήλους φόνων λαβόντων ἄδειαν; μᾶλλον δέ, πῶς χαλεπανεῖτε τοῖς ταῦτα κακουργοῦσιν, ὅταν τοῖς αὐτοῖς πρᾴως ἔχητε; 23. πρότερον μὲν οὖν ἡ τῶν ἀνθρώπων φύσις πολλοῖς καὶ μεγάλοις τῶν θηρίων διεστῶσα μάλιστα τῷ μὴ κτείνειν ἀλλήλους ἐξεῖναι διέφερεν, οὗτος δὲ συγχεῖ καὶ συνταράττει τοὺς ἄνωθεν καθεστῶτας νόμους. τί λέγω συνταράττει; τῶν θηρίων αὐτῶν ἀγριώτερος πέφηνε. τῶν μὲν γὰρ τὰ πολλὰ φείδεσθαι τῶν ὁμοφύλων φασὶ καὶ πρὸς τοὺς ἐπιόντας ἀλλήλοις ἀμύνειν, ὁ δὲ ἄνθρωπος ὢν ἀνθρώπους ὥσπερ τι τῶν θηρίων μετακεχείρισται.

24. Νῦν μὲν οὖν εἴληπται τὸ δεινότατον εἰργασμένος, ἥκειν δέ μοι δοκεῖ πρὸς τοῦτο ἀπὸ τῶν ἐλαττόνων πεπορευμένος. πολλὰ κεκλοφὼς ἔλαθεν, οὐκ ὀλίγους τοίχους διώρυξεν, ἐπεβούλευσε γάμοις, βεβίασται, τὰ μὴ προσήκοντα ῥᾳδίως ἥρπασε. τῷ δ' ἐφ' ἑκάστῳ
R IV 900 μὴ διδόναι δίκην ἐπαιδεύθη | μηδὲν ἀποκνεῖν

1 κρίνητε reposui e libris κρίνοιτε edd | δεῖν *P* 2 διασπάσασθε *BaPa* 3 λαβεῖν scripsi e *BaPaBPL* προσλαβεῖν *Vi* edd sed γρ λαβεῖν in marg Mor 5 παρ' οἷς] καὶ *BaPa B* 6 οἴχεσθαι reposui e libris οἰχήσεσθαι edd 7 χαλεπαινεῖτε *BaPaPLVi* Barb 8 πρᾴως libri edd | πότερον *Vi* Barb 9 τῶν θηρίων scripsi e *BaPaBPL* θηρίοις *Vi* edd sed γρ τῶν θηρίων in marg Mor et reponendum coni Re 10 τὸ *Pa* 11 ἐξεῖναι om *Vi* Barb Cam 13 τῷ *PLVi* τὸ Barb | μέν γε *BaPaB* 16 ἄλλων ante θηρίων edd delevi 18 ἀπὸ scripsi e *B* ἃ *BaPaPLVi* Barb ἐκ Cam Mor Re

21 μὴ om *BaPa* | δὲ edd | ἑκάστου *BaB* ἑκά^στ *Pa*
22 μηδὲν ἀποκνεῖν, καὶ γέγονεν scripsi e *BaPaBPL* et γρ in

καὶ γέγονεν ἡμῖν ἀνδροφόνος ἐν τοῖς ἄλλοις οὐ κεκολασμένος. 25. *πόθεν τοῦτο τεκμαιρόμενος λέγω; φύσει τῶν κακούργων ἕκαστος ἀπὸ τῶν οὐ σφόδρα δεινῶν οὐδ' ἀπὸ τῆς πονηρίας ἄρχεται. κατὰ πεῖραν αὐτοῦ λαμβάνων ἐν τοῖς πρώτοις χωρεῖ πρὸς τὰ δεύτερα κἀκεῖθεν τὰ χαλεπώτερα μέτεισι καὶ τελευτῶν ἐπ' αὐτὸ βαδίζει τῶν ἀδικημάτων τὸ κεφάλαιον, ἐπεὶ καὶ τὴν καλοκἀγαθίαν καὶ τὴν τῶν τρόπων ἀρετὴν οὕτως ἴσμεν τελουμένην. οὐδεὶς εὐθὺς ἐξ ἀρχῆς ἄκρος, ἀλλὰ κατὰ βραχὺ τοιοῦτος γίνεται.* 26. *νῦν οὖν εἴσῆκται μὲν αὐτὸς ἐπὶ φόνῳ, πολλῶν δὲ ὀφείλει δίκην, ὃς οὐκ ἠθέλησεν εὐπορεῖν ἀφ' ὧν βέλτιον οὐδὲ τὴν αὐτὴν ἦλθεν ὁδὸν τοῖς ἄλλοις ἡμῖν. διὰ τί γάρ, ὦ κακὴ κεφαλή, τὴν γεωργίαν ἀπεστράφης; διὰ τί τὴν κατὰ θάλατταν ἐμπορίαν πέφευγας; πόνου μὲν δεῖ πρὸς ἐκεῖνα τὰ κέρδη, κερδαίνειν δὲ ἔστιν ἄνευ μέμψεως. οὐδέτερον βούλει τούτων· ἐπ' ἀγορᾶς ἐργάζου, μεταχειρίζου τέχνην τούτου χρησιμωτέραν. ἀλλ' ἀνδρεῖος εἶ καὶ γέμεις θυ-*

13 cf. ad p. 191, 10 et ad t. V 548, 6

marg Mor *μὲν ἀποκνεῖν μηδαμῶς. γέγονε δὲ Vi* edd *μὲν ἀποκτείνειν μηδαμῶς* coni Re, *μὴ ἀποκνεῖν μηδαμῶς* Sintenis 1 *ἐν ου τοῖς ἄλλοις οὐ P* 2 *τοῦτο* scripsi e *PaB* delet. *Ba* *οὕτω PLVi* edd 4 *οὐδ' ἀπὸ τῆς πονηρίας ἄρχεται* scripsi e *PaBVi* et *γρ* in marg Mor *οὐδ' ἀπὸ τῶν πονηρίας ἄρχεται Ba* sed *ἄρχεται* deletum, *PL* *ἀλλ' ἀπὸ τῆς πονηρίας* Barb *ἄρχεται τῆς πονηρίας* Cam Mor Re | *κατάπειραν BaPa* | *αὐτοῦ BaPaLVi* edd 5 *τοὺς δευτέρους L* 6 *χαλεπώτερα* scripsi *χαλεπώτατα* libri edd 7 *ἀδικημάτων* scripsi e *BaPaB* *ἀτυχημάτων PLVi* edd 8 *χρηστῶν* ante *τρόπων B* | *ἀρετὴν* scripsi auctore Re *ἀρχὴν* libri edd 9 *ἐξαρχῆς BaPa BLVi* edd cf. t. VII 81, 14 10 *γίγνεται Vi* | *αὐτοῖς PLVi* 11 *φόνον B* | *πολλὴν BaPa* 12 *ὠφελεῖν Vi* sed *γρ εὐπορεῖν* in marg 13 et 14 *διατί PaPVi* | *ὦ*] *οὐ Ba* 15 *ἐκεῖνου BaPaB* 17 *τούτου PLVi* 18 *χρησιμώ* (*τρ* supra) *P*

μοῦ· γενοῦ μισθοφόρος, ἐπ' ἀργυρίῳ παρατάττου. ἀλλ', οἶμαι, τοῦτο μὲν ἱδρῶτος ᾔδει προσδεές, ἐφ' ἃ δὲ νῦν τέτραπται, πλοῦτον ἔχειν ἀθρόον, πραγματείας ἄμοιρον. 27. *ὑμεῖς οὖν τὸν σκοπήσαντα μόνον ὅπως τι λήψεται, τὸ δ' εἰ καλῶς ἢ μή, τοῦτο οὐδὲ ζητήσαντα ἀφήσετε λαβόντες; διὰ τί; ὅτι, νὴ Δία, δακρύσει καὶ δείξει τοὺς παῖδας καὶ δεήσεται μὴ τούτους ὀρφανοὺς καταστῆσαι. τοῦτο γάρ ἐστι λοιπόν, ὃ τοῖς ἀτυχοῦσιν ὀφείλεται, τοῖς πονηρευομένοις δοθῆναι.* 28. *πολὺ διενήνοχεν, ὦ δυσσεβέστατε, πράττειν παρὰ τὴν ἀξίαν κακῶς ἢ δικαίως κολάζεσθαι. τὸ μὲν γάρ ἐστι δαίμονι δυσκόλῳ, τὸ δὲ προαιρέσει δεινῇ κεχρημένων. μὴ τοίνυν εἰς τοὺς δευτέρους τελῶν* | R IV 901 *τὸν ἄλλοις ἀποκείμενον ἔλεον ὑφάρπαζε. πολλὰς ὑπερεῖδες ἱκετείας τῶν ὑπὸ σοῦ κατενεχθέντων. μὴ τοίνυν ὧν οὐ μετέδωκας, ταῦτα ἔχειν παρ' ἑτέρων ἀξίου. πολλὰς δεήσεις διέπτυσας τῶν δεχομένων τὰς πληγάς. μὴ τοίνυν ζήτει φιλανθρωπίαν ἣν ἀνῄρηκας.* 29. *δεινὰ πείσεσθαι τοὺς σοὺς παῖδας ἡγῇ σοῦ τεθνεῶτος, τοὺς δὲ ἐκείνων ὧν ἀπέκτεινας οὐ δεινὰ πεπονθέναι; καίτοι τοὺς σοὺς μὲν παραμυθήσεται τὸ τῷ νόμῳ τὸν πατέρα τεθνηκέναι,*

6 cf. t. V 15, 12 sq.

2 *τοῦτο μὲν*] *τούταις Ba τούτοις PaB* | *ἱδρῶτας BaPaB* | *προσδεές* in lac 7 fere litt om *B* *προσδέον Ba* *πρὸς δέον Pa* 4 *τι* inserui *τί BaPaBPL* om *Vi* edd 5 *δ' εἰ*] *δὴ Ba Pa* *δὲ B* 6 *διατί BaPaVi* 9 *οὐ* ante *τοῖς Vi* Cam Mor Re delevi | *πονηρευομένοις* scripsi e *BaPaB* *πεπονηρευμένοις PLVi* edd | *διενήνοχας PaB* 10 *τὰ* ante *παρὰ Vi* edd delevi auctore Re 12 *κεχρημένων* scripsi *κεχρημένω BaPa* *κεχρημένου B* et coni Sintenis *κεχρημένον PLVi* edd 14 *ὑφάρπαζε* scripsi auctore Re *ἐφάρμοζε BaPaB* *ἐφάρπαζε PVi* Mor Re *ἐφ' ἅρπαζε L* *ἅρπαζε* Barb Cam 17 *διέστησας Pa* 18 *σοῦ* ante *πείσεσθαι Pa* 19 *τεθνεῶτος* reposui e libris *τεθνηκότος* edd | *ὧν* scripsi e *BaPaB* *οὓς PLVi* edd 20 *τοὺς σοὺς*] *τούτους* libri corr Barb

τοῖς δὲ οὐδέν ἐστιν ὃ κουφίζει τὴν συμφοράν. ὅλως δέ, εἰ πλέον ἰσχύσει τοῦ προσήκοντος τὰ δάκρυα, κεκλείσθω τὰ δικαστήρια. τί γὰρ δεῖ τοὺς ἀδικοῦντας ἐλέγχειν, εἰ τοῖς ἁλοῦσιν ἀπὸ τῶν θρήνων σωτηρία; 30. *τοιοῦτον ἐβουλόμην εἶναι τοῦτον ἐπὶ τῆς ἐρημίας, ὁποῖος νῦν εἶναι πλάττεται, καὶ τὴν μέχρι τοῦ σχήματος ταύτην ἐπιείκειαν ἐπὶ τῶν ἔργων δεικνύναι καὶ μὴ θρασὺν μὲν ἐν τῷ ὄρει, ἐν δὲ τῷ δίκην ὑποσχεῖν ταπεινὸν δρᾶσθαι.*

31. *Γένεσθε δὴ τῷ λογισμῷ ἐπὶ τῶν φονικῶν, ἐννοήσατε τοῦτον μὲν ἐφεστηκότα μετὰ τοῦ ξίφους, τὸν δὲ εἰλημμένον ἀντιβολοῦντα, θεῶν ἀναμιμνήσκοντα, φύσεως, νόμων, δικαστηρίων, τοῦτον δὲ ταῦτα πάντα λῆρον ἡγούμενον καὶ ἀποσφάττοντα καὶ διαφθείροντα καὶ μὴ ἐπικαμπτόμενον πρὸς τὸν ὀδυρμόν.*

β΄.

Κατὰ προδότου.

1. *Τὸ τοῦτον ἐφ' ἡμῖν εἶναι τήμερον, ἀλλὰ* R IV 901
μὴ τοὺς πολεμίους ἡμῶν δεσπότας παρὰ τὴν τῶν θεῶν

18 cf. p. 163, 20

1 *κουφίζει* scripsi e *BaPaB* *κουφίσει PLVi* edd 2 *πλεῖον PLVi* edd | *ἰσχύει L* 4 *ἀλγοῦσιν Pa* 5 *τοῦτον*] *τοιοῦτον BaPaB* 7 *ταύτην* inserui e *BaPaB* coll t. I 270, 11; III 115, 15 om *PLVi* edd 9 *δρᾶσθαι* reposui e libris *εἶναι* edd sed *γρ δρᾶσθαι* in marg Mor 10 *τὸν λογισμὸν PaVi* *τῶν λογισμῶν B* cf. t. II 271, 12 | *τὸν φονικὸν. BaPa* *τὸν φονικὸν B* | *ἐννοήσατε* reposui e libris *κατανοήσατε* edd sed *γρ ἐννοήσατε* in marg Mor 11 *μεταξὺ BaPa* 14 *ἀποφυλάττοντα BaPa* 17 *κοινὸς τόπος* ante *κατὰ* libri edd delevi 18 *Τὸ* — 172, 3 *δίκην* imitatione expressit Nicolaus prog. 7, 1 ed. Walz. Rhet. gr. I 319, 10 *Τοῦτον ὑφ' ἡμῖν γενέσθαι τήμερον, ἀλλὰ μὴ ὑπὸ τοῖς πολεμίοις ἡμῶν ἡ θεῶν εὔνοια δέδωκε. δεῖ δὲ ἀμφοτέροις τὸ προσῆκον ἐκτῖσαι, θεοῖς μὲν εἰδέναι τοῦ σωθῆναι χάριν, τοῦτον δὲ ὧν ἥμαρτεν εἰσπράξασθαι δίκην* 19 *ἡμῶν* inserui e *BaPaB* om *PLVi* edd

εὔνοιαν ὑπῆρξε. δεῖ δὲ ὑμᾶς, εἴπερ εὖ φρονεῖτε, τοῖς μὲν ὧν ἐκώλυσαν εἰδέναι χάριν, τὸν δὲ ὧν ἐπεχείρησεν ἀπαιτῆσαι τὴν δίκην. ὡς ἔστι τῶν ἀτοπωτάτων τὴν ἡμετέραν εὐτυχίαν τούτῳ γενέσθαι σωτηρίαν. 2. *οἱ μὲν οὖν εὖ πεποιηκότες τὴν πόλιν ἔχουσι τὰς ἀμοιβάς, οἱ μὲν στεφάνους, οἱ δὲ εἰκόνας, οἱ δὲ ἕν τι τῶν εἰς τιμὴν τοῖς εὐεργέταις εὑρημένων. ἄξιον δὲ ἡμᾶς μὴ* R IV 902 | *μόνον φαίνεσθαι θαυμάζοντας τὴν ἀρετήν, ἀλλὰ καὶ μισοῦντας τὴν κακίαν. ὡς ἀμφοτέρωθεν ἔστι τὴν πόλιν σῴζεσθαι, τῶν μὲν ταῖς τιμαῖς παρακαλουμένων εἰς τὰ βελτίω, τῶν δὲ ταῖς τιμωρίαις παιδευομένων μηδὲν ἀδικεῖν.* 3. *τοῖς μὲν οὖν πολεμίοις ἡ τούτου κρίσις συμφορὰ καὶ τὰς ἐλπίδας ἃς εἶχον ἐν τούτῳ νῦν ἀπολωλεκότες στένουσιν· ὅστις δὲ κρινόμενος τοὺς πολεμίους λυπεῖ, παρ' ἡμῖν οὗτος ἀπολωλέναι δίκαιος. οὐ γάρ ἐστιν εὔλογον ᾧ παρὰ τοῖς ἐχθροῖς ἔστιν εὐδοκιμεῖν, τοῦτον ἐνθάδε σωτηρίας τυγχάνειν.*

4. *Οἱ μὲν οὖν ἄλλοι πάντες ὑμεῖς τὰ δίκαια ποιεῖτε πρὸς τὴν πατρίδα φέροντες αὐτῇ πάντα ἃ δυνατόν ἐστιν ἑκάστῳ φέρειν. ὁ δεῖνα ἐπέδωκε τριήρη, τάλαντον*

20 cf. p. 201, 9; 206, 9; ad t. V 75, 18; VII 662, 13. Dem. Mid. p. 566, 12 sq.

1 *εὐφρονεῖτε PL* Mor Re 2 *τοῖς B* | *ἐνεχείρισαν Ba ἐνεχείρισεν Pa ἐπεχείρησαν B* 3 *τὴν* inserui e *BaPaB* om *PLVi* edd | *ὃ Ba* 7 *ἡμᾶς* scripsi e *BaPa ὑμᾶς BPL Vi* edd 8 *εἰς* ante *μόνον* Re delevi | *τὴν* om *Pa* 9 *τὴν*(1) om libri inser Barb 10 *ταῖς* om Barb Cam 11 *εἰς τὰ βελτίω* om *Vi* Barb Cam 15 *λυπεῖν BaPa* | *ἀπολωλέναι* scripsi e *BaPaB* ut coni Re *ἀπολωλεκέναι PLVi* edd 17 *ἐνθάδε* reposui e libris *καὶ παρ' ὑμῖν* edd sed *γρ ἐνθάδε* in marg Mor *καὶ* del Sintenis 19 *ταῦτα BaPa* 20 *ἐστιν* inserui e *B* om reliqui libri edd | *αὐτῇ* post *φέρειν Vi* Barb Cam | *ἐπέδωκε* scripsi ut coni Re coll ll. ll. *ἀπέδωκε* libri edd | *τάλαντα Vi*

οὗτος, ἕτερος ἔθηκε νόμον συμφέροντα, ψήφισμα ἐκεῖνος ἔγραψε γενναῖον. οἱ μὲν ἐπρέσβευσαν δικαίως, οἱ δὲ εἰσηγήσαντο τὰ δέοντα. καλὰ μὲν οὖν καὶ ταῦτα, πολὺ δὲ τούτων ἀμείνους ἐκεῖνοι οἱ τῶν κινδύνων καλούντων τὰ ὅπλα θέμενοι δυοῖν θάτερον ἀξιοῦσιν, ἢ νικᾶν ἢ πεσεῖν τῆς εὐνοίας ἐπίδειξιν ἐν τῷ σώματι παρεχόμενοι. 5. ταῦτα ὑμεῖς ποιοῦντες ἀκολουθεῖτε τοῖς νόμοις οἳ πολλὴν ποιησάμενοι πρόνοιαν καὶ περὶ τῶν μειζόνων καὶ περὶ τῶν ἡττόνων μάλιστα περὶ ταῦτα σπουδάζουσιν ἀφ' ὧν ἐστι φυλακὴ τῷ κοινῷ. καὶ τί δεῖ λέγειν τοὺς γεγραμμένους νόμους, ὧν ἔστιν εἰπεῖν ἄνθρωπον νομοθέτην; ἡ φύσις αὐτὴ διαλέγεται πᾶσι τὴν πατρίδα ⟨πλείστου⟩ ποιεῖσθαι μετὰ τοὺς θεούς. 6. καὶ τούτῳ τῷ νόμῳ καὶ τοὺς βαρβάρους ὁρῶμεν πειθομένους, οἳ τοῖς θηρίοις ἐοίκασι. καὶ τἄλλα διεστηκότες τῶν Ἑλλήνων τοῦτον αἰδοῦνται δικαίως. πολλῶν γὰρ ὀφείλουσιν ἄνθρωποι ταῖς πατρίσι χάριτας,

1 Dem. Phorm. p. 918, 21 et 27

2 *δικαίως* scripsi e *BaPaPLVi* *γενναίως B* edd sed *γρ δικαίως* in marg Mor 3 *εἰσηγήσαντο τὰ δέοντα* scripsi e *Ba Pa* *εἰσηγήσαντο τὰ δίκαια BP* *εἰσήγαγον τὰ δίκαια L* *τὰ δίκαια εἰσηγήσαντο Vi* edd | *καὶ* om *BPLVi* 6 *τεθνάναι B* | *τὴν* ante *τῆς* edd delevi | *ἀπόδειξιν BaPa* 7 *ἀκολουθοῦντες* in *ἀκολουθεῖντε* corr *Pa* 9 *ἡττόνων* scripsi e *BaPaBPL* *ἐλαττόνων Vi* edd sed *γρ ἡττόνων* in marg Mor 10 *ἐστὶν ὠφελεῖν τὸ κοινὸν B* 11 *δεῖν* Mor Re qui *δεῖ* scribendum vidit 12 „*fort. αὐτή, ᾗ διαλέγεται, κελεύει πρώτην τὴν πατρίδα*“ Re *αὐτὴ νὴ Δία λέγει ἅπασι* Iacobs Lect 166 App Pors 382 at cf. Thuc. V 59, 5 *Ἄγιδι διελεγέσθην μὴ ποιεῖν μάχην* 13 *πλείστου* inserui om libri edd | *τοὺς* om *Vi* Barb Cam 15 *τ' ἄλλα Vi* edd 16 *τοῦτον* inserui e *B* om reliqui libri edd | *μισοῦνται* Cam Mor sed in hoc *γρ αἰδοῦνται* in marg, Re | *πολλῶν* scripsi e *BaPaB* *πολλὰς PLVi* edd 17 *ταῖς πατρίσι χάριτας* scripsi e *BaPaB* *χάριτας ταῖς πατρίσι PLVi* edd

τοῦ φῦναι καὶ γενέσθαι καὶ τοῦ τὸν ἥλιον ἐπιδεῖν, R IV 903 ἔτι πρὸς τούτοις τροφῆς, παιδείας, γάμων, | παιδοποιίας, κτήσεως χρημάτων, δόξης ἀγαθῆς, βίου σχήματος ὅτου ἂν εἴποις ἐνταῦθα. παρ' ἧς οὖν ἡμῖν ταῦτα, πῶς οὐχὶ καὶ ταύτῃ τὰ παρ' ἡμῶν εἶναι δίκαιον; μηδεὶς γὰρ οἰέσθω πλείω τοῖς γονεῦσιν ὀφείλειν ἢ τῇ πατρίδι. αὕτη καὶ τοὺς γονεῖς ἤνεγκε καὶ διὰ ταύτης εἰσὶν ἡμῖν πατέρες.

7. Ἀλλ' οὐ τούτων τῶν πολλῶν καὶ καλῶν νόμων οὗτος ἀκήκοεν, ἀλλὰ πάντα ἀνελὼν καὶ τοῦ μηδενὸς ἄξια νομίσας ὅσα διῆλθον καὶ καταγνοὺς φλυαρίαν τούτου τοῦ θεσμοῦ καὶ νομίσας ματαίαν εἶναι σπουδὴν τὸ ταῦτα τηρεῖν καὶ πᾶσαν γῆν ταὐτὸν ἡγησάμενος, μᾶλλον δέ, οὐ ταὐτόν, ἀλλὰ τὴν μὲν ἐχθρὰν φίλην,

1 *φύναι BaPa* | *τουτονὶ τὸν B* | *ὁρᾶν BaPa* 2 *παιδείας* scripsi e *BaPaBL* cum Iacobsio Lect Wolf. Litter. Anal. t. I p. 382 Bastio Comm. palaeogr. (Greg. Cor. ed. Schaefer) p. 835 Sinteni Cobeto Coll 304 *παίδων PVi* edd sed *„aut παίδων delendum aut leg. τροφῆς αὐτῶν τε καὶ παίδων“* Re 3 comma post *βίου* libri edd delevi *βίου εὐσχήμονος* Iacobs Lect Litt. Anal. 4 *ὅτου* scripsi e *BaPaB* cum Sinteni *ὅσου PLVi* edd *„fort. ὅσου ἂν εἴποις. εἶτα, παρ' ἧς“* Re *πάντα ὅσα ἂν εἴποις ἐνταῦθα* Iacobs Lect | ⟨*τῶν*⟩ *ἐνταῦθα* Schwabe num *ἐνταῦθα* ut e dittographia ortum delendum? 5 *καὶ* om *Pa* | *ταύτῃ* inserui post *καὶ* e *BaPaB*, ante *πῶς* Iacobs Lect ll. ll. om *PL Vi* edd | *τὰ* om *B* | *εἶναι δίκαιον* scripsi e *BaPaB* *δίκαιον εἶναι PLVi* edd | *εὔνοιαν* post *δίκαιον B* 6 *γὰρ*] *οὖν B* 7 *αὕτη* scripsi e *B* cum Schwabio *αὐτῇ, ἣ BaPa* *αὐτοῦ, ἣ PLVi* edd *αὐτοῦ* Wernsdorf Himer. 166 | *τοὺς γονεῖς*] *τὸ γῆρας* Barb Cam *αὐτόν τε καὶ τοὺς γονεῖς* coni Re *τὸ γέρας* Wernsdorf | *διὰ ταύτης* scripsi e *BaBPL* *διὰ ταύτην Pa* *δι' αὐτῆς Vi* edd 8 *ἡμῖν εἰσιν Pa* 9 *Ἀλλ' οὐ*] *ἀλλὰ B* 10 *οὗτος*] *οὐκ B* | *ἀνελεῖν ὡς τοῦ μηδενὸς ἄξια τολμήσας* coni Iacobs Lect 11 *νομίσας* scripsi e *BaPaB* *τολμήσας PLVi* edd sed *„imo vero νομίσας, aut alias leg. τολμήσας ἡγεῖσθαι“* Re cf. t. IV p. 934, 25 R | *πολλὴν* ante *καταγνοὺς* inserendum coni Iacobs Lect 13 et 14 *ταὐτὸν* scripsi e *BaPaB* *ταυτὴν PLVi* Barb Cam *αὐτὴν* et *ταυτὴν* Mor Re qui *τὴν αὐτὴν* coni 14 *δικαίως* vel *φύσει* ante *ἐχθρὰν* inserendum coni Re

δυσμενῆ δὲ τὴν ἐκ τῶν δικαίων φίλην ἀνέτρεψε καὶ συνέχεε τὰ πανταχοῦ πεπηγότα τὴν μὲν εὔνοιαν ἐκείνοις νείμας οὓς ἔδει μισεῖν, μισήσας δὲ τούτους ὧν ἔδει κήδεσθαι. 8. *γενόμενος γὰρ παρ' ἡμῖν, ὡς οὐκ ἔδει, καὶ τραφεὶς ἐπὶ τῷ τῆς οἰκείας κακῷ καὶ εἰς ἄνδρας ἥκων καὶ πιστευθεὶς τὰς μὲν τῶν ἄλλων πολιτῶν γνώμας οὐκ ἐζήλωσεν οὐδ' ἐν τοῖς ἐπείγουσι τῶν καιρῶν παρέσχεν ἑαυτὸν χρήσιμον, πλαττόμενος δὲ εὔνοιαν καὶ τοῖς ῥήμασι τοῖς αὐτοῦ φηλῶν καὶ παρακρουόμενος καὶ διὰ τούτου γινόμενος ἀεί τινος κύριος οἷον, ὦ γῆ καὶ ἥλιε καὶ ἱερὰ καὶ τάφοι, βούλευμα ἐβούλευσεν ἐφ' ἡμῖν.* 9. *παρ' ἡμῖν μὲν ἦν, εἶδε δὲ ἑτέρωσε. μετὰ μὲν ἡμῶν συνέζη, τοῖς δὲ πολεμίοις ἔζη. μετὰ μὲν τῶν πολιτῶν ἔθυε, τοῖς δ' ἐναντίοις συνηύχετο. βουλῆς ἐκοινώνει καὶ μετεῖχεν ἐκκλησίας καὶ ψηφίσματα ἔγραφεν, οὐχ ὅπως τι γένηται τῶν ἡμετέρων βέλτιον, ἀλλ' ὅπως ἐκείνων τὰ ἡμέτερα | γένοιτο.* R IV 904 *καὶ παραχρῆμα ἡνίκα τι παρ' ἡμῖν, καὶ παρ' ἐκείνοις*

---

1 *δυσμενῆ δὲ τὴν ἐκ τῶν δικαίων φίλην* scripsi e *BaPaP L* *τὴν δὲ οἰκείαν πολεμίαν B* *τὴν δὲ δικαίως φίλην ἐχθρὰν Vi* edd sed *γρ δυσμενῆ δὲ τὴν ἐκ τῶν δικαίων φίλην* in marg Mor | *ἀνέστρεψε BaPa* 2 *πανταχῇ B* | *τὴν δ' L* | *μὲν* inserui e *B* om *BaPaPLVi* edd 4 *παρ'* om Re | *ἡμῶν B* 7 *ἐζήλωσε Pa* | *οὐδ' ἐν* scripsi *οὐδὲ ἐν B* *οὐδὲ* reliqui libri edd 8 *αὐτὸν B* 9 *καὶ* om *Vi* Barb Cam | *ῥήμασιν LVi* edd | *τοῖς* om *Vi* Barb Cam | *αὐτοῦ BaBPL* Mor Re | *φηλῶν* reposui e *PLVi* *φιλῶν BaPaB* *κηλῶν* edd sed *γρ φηλῶν* in marg Mor 10 *διατούτου Vi* | *τοῦτο B* | *γιγνόμενος B Vi* *γενόμενος* edd | *τινὸς ἀεὶ Pa* 12 *ὑμῖν*(1) *BaPa* | *μὲν* inserui cum Iacobsio Lect om libri edd 13 *τοῖς — ἔζη* om Barb Cam *πολεμίοις δὲ Vi* 14 *ἀντὶ BaPaB* | *μὲν* inserui e libris om edd | *ἔθυεν BaPa* | *δὲ BaPaBVi* edd | *ἐναντίοις* scripsi e *BaPaBPL* *πολεμίοις Vi* edd sed *γρ ἐναντίοις* in marg Mor 16 *τι* om *B* *τί* reliqui libri Cam Mor Re | *γένοιτο BaPa* 18 *τί* libri edd

ἔγνωστο πάντα τούτου φράζοντος καὶ πωλοῦντος. 10. συνῆλθες λάθρα τοῖς πολεμίοις, ὦ μιαρὰ κεφαλή, ἐκοινολογήσω τοῖς κοινοῖς ἐχθροῖς, ἐδέξω λόγους κατὰ τῆς πατρίδος, ἐδέξω χρυσίον κατὰ τῆς ἐνεγκούσης, πρατὴρ ὑπέμεινας γενέσθαι τῶν τιμιωτάτων, ὑπέσχες τὴν χεῖρα τῷ λήμματι καὶ οὐκ ἔφριξας ἐνθυμηθεὶς ἐφ᾽ ᾗ κερδανεῖς, ἀλλ᾽ ἤγαγες εἰς τὴν πόλιν κατὰ τῆς πόλεως χρήματα καὶ ᾤκεις ἣν ἐπώλεις. 11. εἰπὲ τοῖς δικασταῖς τοὺς λόγους οἳ πρὸς ἀλλήλους ὑμῖν ἐγένοντο· στῆθι μεθ᾽ ἡμῶν ἀφεὶς τοὺς πολίτας. στήσομαι. δέχου μισθὸν κατὰ τῆς πατρίδος. δέξομαι. μηδὲν ἡμᾶς τῶν ἐκεῖ λανθανέτω. πάντα εἴσεσθε, τούτοις ἴσως προστιθεὶς τὸ μηδὲν αὐτοῖς δεήσειν πόνων καὶ πραγματείας πρὸς τὸ καὶ τὴν πόλιν ἑλεῖν ὡς τῆς προδοσίας μεῖζον ἰσχυούσης τῶν ὅπλων. 12. βλέψατε δὴ πρὸς τὴν πόλιν ἅπασαν, ἐννοήσατε τὸ μέγεθος, τὸ κάλλος, νεώς, ἀγοράς, τὸν κοινὸν πλοῦτον, τὰ ὄντα ἑκάστοις, ὁπλίτας, ἱππέας, παῖδας, γυναῖκας,

---

5 cf. ad t. VI 158, 9 12 Nicol. prog. VII 1 p. 320, 14

---

1 ἔγνωστο scripsi e *BaPaB* ἔγνωσται *PVi* edd sed γνωσθῇ, καὶ παρ᾽ ἐκείνοις ἔγνωσται coni Re ἄγνωστον *L* | τούτου φράζοντος scripsi e *Ba* τούτοις φράζοντος *Pa* τούτου φροντίζοντος *B* τούτῳ φροντίζοντι *PLVi* edd sed „*videntur quaedam deesse*" Re | πωλοῦντος scripsi e *B* πολεμοῦντος *BaPa* πωλοῦντι *PLVi* edd 3 ἐκοινολογήσω scripsi e *BaPaB* ἐκοινολόγησας *PLVi* edd | λάθρα ante τοῖς edd delevi | λόγους scripsi e *BaPaB* λόγον *PLVi* edd 5 πράτὴρ *Pa* πατὴρ *PLVi* Barb προδότης *B* | τῆς τιμιωτάτης *B* 6 καὶ om *PaB* 7 οἰκίαν *B* 9 ἡμῖν *BPLVi* 12 ὑμᾶς *BaB* 13 προσετίθει *B* | δεήσειν scripsi e *BaPaBPL* δεήσει *Vi* δεήσῃ edd sed γρ δεήσειν in marg Mor et scribendum coni Re 16 τὸ μέγεθος om *BVi* Barb Cam 17 κάλλος, νεώς scripsi cum Barb Sinteni κάλλος· νεὼς *L* κάλλος νεὼς reliqui libri Cam Mor Re qui νεῶν coni | ἀγοράς scripsi e *B* cum Sinteni ἀγορᾶς reliqui libri edd 18 τὰ] τὸν *B*

ἀφθονίαν, εὐδαιμονίαν. ταῦτα πάντα οὗτος ὥσπερ τι τῶν ἐξ ἀγορᾶς ἀπέδοτο καὶ τὴν ἀναίρεσιν τῆς πόλεως πρόσοδον ἐποιήσατο. καὶ πεπλουτηκὼς ἐκ τοσαύτης ἀσεβείας εἰς ὑμᾶς βλέπει τοὺς πεπραμένους. 13. *καὶ ὑμεῖς μέλλετε καὶ λόγων ἀκούετε; τί τῶν δεινῶν καὶ καθ' ὧν εἰσι τιμωρίαι τῷ παρόντι παραπλήσιον δρῶντες; ποίαν μοιχείαν, ποῖον φόνον, ποίαν εἰς θεοὺς ὕβριν, ποίαν εἰς οἰχομένους; ὁ μοιχὸς ἔρωτι πληγεὶς ἔβλαψεν οἰκίαν μίαν. δεινὸν μέν, ἀλλ' ἐν ἑνὶ τὸ κακὸν ἵσταται. ὁ τὸν ἐχθρὸν ἀποσφάξας οὐ πάντας ἐφεξῆς τὸ αὐτὸ δρᾷ. τῶν ἀναθημάτων ἥψατό τις, ἀλλ' οὐ τὰ ἀγάλματα | προσαφῄρηται. περὶ* R IV 905 *νεκρούς τις ἐπλημμέλησε καὶ τάφον ἐκίνησεν, ἀλλ' ὅσων ἀπέσχετο πλείονες ἢ ὅσοις προσῆλθε.* 14. *καὶ μὴν ἐκείνων ἕκαστος τοῦ μὲν ἀπέσχετο, τοῦ δὲ οὐ καθαρεύει. ὁ μοιχὸς οὐ πάντως ἀνδροφόνος, ὁ μὴ τὴν χεῖρα καθαρὸς οὐκ ἤδη καὶ ἐμοίχευσεν. ἐκ τῶν ἱερῶν ὁ πλουτῶν οὐκ ἤδη τυμβωρύχος. ὅτῳ γέγονεν ἀπὸ τῶν τά-*

---

1 *εὐδαιμονίαν* scripsi e *BaPa* *εὐσχημονίαν BPLVi* edd 3 *τοιαύτης B* 4 *ἡμᾶς BaPaPLVi* | *πεπραγμένους L* 5 *μελέ* (τ superscr.) *Ba* *μέλετε PaPLVi* Barb | *λόγων* scripsi e *BaPaBPL* cum Sinteni *λόγον Vi* edd 6 *καὶ κακῶν εἰς τιμωρίαν B* 7 *ποίαν* — 8 *οἰχομένους*] *ποίαν εἰς θεοὺς τόλμαν, ποίαν εἰς κατοιχομένους ὕβριν B* 9 *ἔβλαψεν οἰκίαν μίαν* scripsi e *BaPaB* *ἔβλαψε μίαν οἰκίαν PLVi* edd | *ἐν* om libri Barb Cam Mor inser Re 10 *οὐ πάντας* om *Vi* Barb Cam 11 *ὁμοίως* ante *τὸ* *B* 12 *ἀλλὰ τὰ ἀγάλματα οὐ Vi* Barb Cam *ἀλλὰ οὐ τὰ ἀγάλματα* Mor 13 *νεκροὺς τίς P* | *ἐπλημμέλησε PL* | *τὸν* ante *τάφον* *B* 14 *ὅσων* scripsi e *BaPaB* cum Sinteni Cobeto Coll 304 *ὅσον PLVi* edd | *πλείονες* scripsi e *B* *πλείονα* reliqui libri edd | *ὅσοις* scripsi e *B* cum Cobeto *θεοῖς* reliqui libri edd sed „*locus mendosus et perceptu invius*" Re *πλείονα ἢ* Cam sed *κείνων ἃ* in marg, *ἴσ. κείνων* vel *πλειόνων ἃ* in marg Mor *ὀστέων ἀπέσχετο, ἃ πάλιν ἐγκαταθεὶς ἀπῆλθε* Iacobs Lect Anth. Pal. III 284 16 *οἷον* ante *ὁ B* 18 *τυμβορύχος Pa*

φων εὐπορεῖν, ἀπέσχετο τῶν ἱερῶν. προδότην δὲ ὅταν εἴπω, πάντα τὰ ἀδικήματα λέγω. ἃ γὰρ ἐκεῖνοι διῄρηνται, ταῦτα μόνος συνείληφεν. ἴστε γὰρ δήπου τοῦθ' ὅτι πόλεως ἁλούσης γυναῖκες ὑβρίζονται, ἄνδρες ἀποσφάττονται, τάφοι παροινοῦνται, ἱερὰ οὐ συλᾶται μόνον, ἀλλὰ καὶ κατασκάπτεται. 15. τῷ τε οὖν πάντας ἀδικεῖν ἐκείνους ὑπερβέβληκε καὶ τῷ καθέκαστον πλείω. παρὰ μὲν γὰρ ἐκείνων εἰς μέρος ἡ βλάβη, τῇ δὲ ἐκ τῆς προδοσίας ἀδικίᾳ τὸ κοινὸν ζημιοῦται. μὴ γὰρ ἐκεῖνο σκοπῶμεν, ὡς οἱ πολέμιοι ταῦτ' ἂν ἔδρων, ἀλλ' ὡς ἐκείνοις ταῦτα ἐξεῖναι ὑπῆρξε παρὰ τοῦδε. δεῖ δὲ τὰ ἀδικήματα νομίζειν οὐ τῶν ταῖς χερσὶν ἐργαζομένων μᾶλλον ἢ τῶν τὸ δυνηθῆναι δεδωκότων. ὁ δὲ νῦν ἐκείνοις τὰ ἡμέτερα διδοὺς οὗτος ἂν ἦν ὁ πάντας ποιῶν ὅσα ὑπ' ἐκείνων πάσχειν ἔδει.

16. Εἰ δέ τις ὑμᾶς ἔροιτο, τί δεινότατον νομίζετε; πάντες εὖ οἶδ' ὅτι φήσετε τὸ συγχυθῆναι τοὺς νόμους, τὸ γενέσθαι τύραννον. ἔστι δὲ τοσούτῳ χαλεπώτερον προδοσία τυραννίδος, ὅσῳ τῇ μὲν τὸ τέλος μηκέτι εἶναι τὴν πόλιν, ἡ δὲ τὰ ἄλλα κινοῦσα τῆς πόλεως κήδεται. δῆλον γάρ ἐστι τῷ γε βουλομένῳ τυραννεῖν ὅτι δεῖ σώζεσθαι τὴν πόλιν, εἴ γε κἀκείνῳ

2 sq. cf. p. 200, 13

3 οὗτος ante μόνος edd delevi 5 συλᾶται scripsi e *Ba PaB* ut coni Re συλεῖται *PLVi* edd 7 τῶν *PaB* 8 ἡ βλάβη] ἐβλάβη *BaPa* 10 ταῦτ' ἂν scripsi e *BaPa* οὐ ταῦτα ἂν *B* τοῦτ' ἂν *PLVi* Barb τοῦτ' οὐκ Cam Mor sed in hoc γρ ἂν in marg, Re 11 τοῦδε reposui e libris τούτου edd sed γρ τοῦδε in marg Mor 12 τοῦ ante τῶν inser *Pa* 14 πάντας scripsi auctore Re πάντα libri edd 15 ὅσα scripsi οἷα *BaPaB* ἵνα *P* οἷα *L* ἕνα *Vi* edd sed ἃ ἕνα coni Re, ἃ Iacobs Lect | πράττειν *B* 16 νομίζετε δεινὸν *B* | δεινότατον scripsi δεινὸν libri edd sed μάλιστα δεινὸν coni Re 17 θήσετε *BaPa* συμφήσετε *B* „*malim* φήσαιτε" Re 19 τῆς *B* 21 γε om *BVi* Barb Cam

| *δεῖ τὴν ἐξουσίαν σεσῶσθαι. τῷ προδότῃ δὲ ὁ* R IV 906 *διδοὺς ἐπ' αὐτῷ τῷ τῆς πόλεως ἐδάφει δίδωσι.* 17. *τί μάλιστα πόλιν ἄρδην ἀπόλλυσι; πολέμιοι κεκρατηκότες οἶδ' ὅτι φήσαιτ' ἄν. ἀλλ' οὑτοσὶ καὶ τῶν ταῦτα ποιούντων πολεμίων μᾶλλον ἄξιος μισεῖσθαι. διὰ τί; ὅτι τοῖς μὲν νόμῳ πολέμου τὰ τοιαῦτα πράττεται καὶ τὸ ἔργον ἀκολουθεῖ τῇ προσηγορίᾳ, πολέμιοι γὰρ τὰ πολεμίων ἐργάζονται, ὁ δὲ τὴν αὑτοῦ συναναιρῶν ἐκείνοις ἐν τῷ διαφθείρειν ἣν σώζειν ἔδει τῶν πολεμίων πικρότερος. ἔτι τοίνυν τούτους μὲν ἔνι φυλάξασθαι, κηρύττουσι γὰρ τὴν ἔχθραν, ὁ δὲ συνὼν τούτοις οὓς ἀπόλλυσι λανθάνων κακῶς ποιεῖ.* 18. *εἰ δὲ τοὺς πολεμίους ἥδιστ' ἂν ἀποκτείναιμεν, πῶς οὐχὶ μικρὰ τούτῳ ζημία θάνατος, ὅς γε ἐκείνους νικᾷ; ἐγὼ πολλάκις τινὰς εἶδον φεύγοντας κλοπῆς καὶ ὑμᾶς ὀργιζομένους εἰκότως. δεῖ γὰρ πρὸς μηδὲν ἀδίκημα πράους εἶναι. εἶτα τοὺς ἐπὶ πέντε δραχμαῖς ἁλόντας κολάζετε, προδότην δὲ ἐν χερσὶν ἔχοντες οὐ διασπάσεσθε; ὃς νῦν μὲν ἐπὶ προδοσίᾳ κρίνεται, πάντα δὲ ἐκεῖνα διεξελήλυθε, κλοπάς, μοιχείας, ἱεροσυλίας, ἐν οἷς μοι δοκεῖ παιδευθεὶς μηδὲν φοβεῖσθαι τελευτῶν εἰς*

---

4 *φήσαιτ'* scripsi e *BaPa* *φήσετ' BPLVi* edd sed „*φήσαιτε malim*" Re 5 *διατί BaPaP* 6 *πολέμου* scripsi e *B* *πολεμούντων* reliqui libri edd sed „*non improbo, praeferam tamen πολέμου*" Re | *τὰ τοιαῦτα* scripsi e *BaPaBPL* *ταῦτα Vi* edd 7 *τῇ* inserui e *BaPaB* om *PLVi* edd 8 *αὐτοῦ BaPaBP* | *συναιρῶν Pa* 10 *τοὺς B* | *ἔνι* reposui e libris *ἔδει* edd sed *γρ ἔνι* in marg Mor 11 *συνὼν* scripsi e *BaPa B* *σὺν PLVi* edd 13 *ἥδιστα BPLVi* edd | *ἀποκτείναιμεν* scripsi e *BaPaB* ut coni Re *ἀποκτείνομεν PLVi* edd 14 *μακρὰ L* | *ὅς γε ἐκείνους νικᾷ* scripsi auctore Re *ὥστ'* (*ὥστε* edd) *ἐκεῖνο νικᾶν* (*νικᾷ PLVi* edd) *BaPaPLVi* edd *ὃς τὰ ἐκείνων ἐργάζεται B* 15 *κλοπήν B* 17 *δραχμὰς PLVi* Barb Cam Mor 19 *ἐκεῖ Pa* 21 *τελευτῶν* et *ἥκειν* scripsi *καὶ τελευτῶν* et *ἧκεν* libri edd

τοῦθ' ἥκειν. οἱ γὰρ τὰ μέγιστα ἀδικοῦντες, οἷα νῦν οὗτος, δῆλον ποιοῦσιν ὡς ἀπ' ἐλαττόνων ἐνταυθοῖ προὔβησαν τῷ μὲν λαθεῖν οὐ δόντες δίκην, τῷ δὲ μὴ δοῦναι μειζόνων ἐπιθυμήσαντες.

19. Ἦν σοι πλουτεῖν, ὦ μιαρὸν θηρίον, καὶ μὴ κρίνεσθαι. ὁρᾷς τὴν γῆν; γεώργησον. ὁρᾷς τὴν θάλατταν; πλεῦσον. ἀλλὰ φεύγεις ἐκεῖνα καὶ ζῆν ἐπιθυμεῖς ἐν ἄστει; εἰσὶν ἐργασίαι κἀνταῦθα πολλαὶ δι' ὧν ἕκαστος τῶν μετρίων πολιτῶν αὐτός τε εὐπορεῖ καὶ τῇ πόλει λειτουργεῖ. ἀλλ', οἶμαι, μόνον οἶδας ὅσον R IV 907 λήψῃ, τοῦτο δὲ οὐκ οἶδας, ὡς οὐχ ὅθεν ⟨οὐκ⟩ | ἄξιον. ἀλλὰ τὸ μὲν κέρδος ἐθαύμασας, τὴν δὲ τοῦ κέρδους ἀφορμὴν οὐκ ἐξήτησας.

20. Εἶτα τὸ τῶν οὐδὲν ἐχόντων δίκαιον ποιήσει. δακρύσεται καὶ περὶ τοῦ δεῖν ἐλεεῖν πολλὰ διαλέξεται. ἐγὼ δὲ τί φημι; εἰ μὲν ἀτυχεῖς, ἄνθρωπε, σῴζου, δίκαιον γάρ· εἰ δὲ πεπονήρευσαι, μὴ τὰ μὲν τῶν ἀδικούντων ἐπιτέλει, τὰ δὲ τῶν ἠτυχηκότων ἐπιζήτει. δημοκρατία γὰρ τὸ μὲν τηρεῖ τοῖς ἐπταικόσι, τῷ δὲ χρῆται πρὸς τοὺς ἐργαζομένους οἷα σύ. 21. σὲ δ' εἰ σώσουσι, παρὰ τοῦ δίκην ἔτι λήψονται; τοῦ τὰ ἐλάττω κακουργοῦντος; καὶ πῶς; ἀλλὰ τοῦ τὰ αὐτά σοι τολ-

5 cf. t. III 203, 13   15 Nicol. prog. 7, 1 p. 321, 5 ed. Walz.

2 ἐπ' *Vi* | ἐνταυθοῖ scripsi e *BaPa* ἐνταῦθα *BPLVi* edd 7 πλῆσον *Ba* 10 εἶδες *B* | ὅσον λήψῃ scripsi e *BaPa* ὅθεν λήψει *B* ὃ λήψῃ *PLVi* ὃ λήψει edd 11 οὐκ inserui om libri edd cf. p. 192, 5 12 τὴν δὲ τοῦ κέρδους scripsi e *Ba PaBPL* τοῦ δὲ κέρδους τὴν *Vi* edd sed γρ τὴν δὲ τοῦ κέρδους in marg Mor 14 ἐχόντων οὐδὲν *B* 19 χρᾶται *P* 20 δὲ *BPLVi* edd | σώζουσι *B* 21 παρ' ὅτου *B* παρά του Mor Re qui παρὰ τοῦ coni | δίκην ἔτι scripsi e *BaPa* δίκην *B* δίκαιον ἄρτι *PLVi* edd sed δίκην ἄρα coni Re | λήψονται om *B* | ταῦτα *B* 22 κατηγοροῦντος *PL* | καὶ πῶς om *PL* | αὐτὰ συντολμῶντος *BaPaPLVi* Barb αὐτὰ τολμῶντος *B* corr Cam

μῶντος; καὶ πῶς ἔνι προδότην νῦν μὲν ἐλεεῖν, νῦν δὲ μισεῖν; οὐκοῦν ἀνάγκη μάτην γεγράφθαι τοὺς νόμους, μάτην ἑστάναι τὰ δικαστήρια; τοῦ κολάζειν γὰρ οὓς ἄξιον οὐκ ὄντος ἐν τῇ πόλει τί δεῖ τούτων; 22. οὐ μόνον οὗτος κρίνεται σήμερον, ἀλλὰ καὶ νομοθετεῖτε τῇ ψήφῳ πότερον δεῖ πάντας τὰ τούτου ζηλοῦν ἢ δικαίους εἶναι περὶ τὴν πόλιν. ἂν μὲν γὰρ οὗτος ἀφεθῇ, προδόται πάντες· ἂν δὲ δῷ δίκην, οὐδεὶς ἐλέου μεμνήσεται. πόλιν ὅλην οὐκ ἐλεήσας ἐλεεῖσθαι παρὰ τούτων ἀξιοῖς οἳ τὸ σὸν μέρος οὐκ εἰσί; πολλὰ ἂν ἐδάκρυσαν αἱ ἡμέτεραι γυναῖκες, πολλὰ ἂν οἱ παῖδες, οὓς οὗτος οὐκ ἠλέησε. 23. μεταστήσατέ μοι τὸν λογισμὸν ἀπὸ τῶν τούτου δακρύων ἐπ᾽ ἐκείνην τὴν τύχην ἣ κατεῖχεν ἂν τὴν πόλιν. ὁρᾶν οἴεσθε στρατιὰν προσβάλλουσαν, μηχανήματα προσιόντα, τείχη κατασκαπτόμενα, τάφους ἀναρρηγνυμένους, χρήματα διαρπαζόμενα, γυναῖκας ἑλκομένας, παῖδας ἀγομένους, ἱερὰ συλώμενα, πάντα ἀπολλύμενα σιδήρῳ καὶ πυρί. γέγονε μὲν γὰρ τούτων οὐδὲν μηδὲ γένοιτο, νοῦν δὲ ἐχόντων ἂν εἴη τοῦ μὲν εἰδέναι τοῖς | βεβοηθηκόσι θεοῖς τὴν χάριν, ἐπὶ R IV 908 δὲ τοῦτον νῦν ἔχειν ὀργὴν ἣν εἶχετ᾽ ἂν ἁλισκόμενοι.

---

2 Nicol. prog. 7, 1 p. 319, 21 sq.

---

2 γεγράφθαι scripsi e *BaPaB* συγγεγράφθαι *PLVi* edd 3 κολάξειν *Pa* 5 τήμερον *B* | νομοθετεῖτε scripsi auctore Re νομοθετεῖ τοὺς *BaPa* νομοθετεῖ *B* νομοθετεῖται *PLVi* edd 6 πάντα *BaPLVi* 8 post μεμνήσεται punctum posui, comma libri edd, post 9 ἐλεήσας punctum libri edd delevi 9 ἠλέησας *B* | παρὰ τούτων ἀξιοῖς scripsi e *BaPaB* ἀξιοῖς (ἄξιοι Mor) παρὰ τούτων *PLVi* edd 13 τὴν om Mor Re 14 οἴεσθαι *Pa* 19 μηδὲ reposui e libris (μὴ δὲ *B*) οὐδὲ edd | νῦν *BaPa* | δὲ om Barb Cam δ᾽ Mor Re | τὸ *BaPaP* Mor Re τούτον *B* 20 τὴν om *B* 21 νῦν om *Vi* Barb Cam

γʹ.

R IV 908 **Κατὰ ἰατροῦ φαρμακέως.**

1. Ἔχετε, ὦ ἄνδρες, τὸν τῷ καλλίστῳ σχήματι κακῶς κεχρημένον καὶ προσειπόντα μὲν ἑαυτὸν ἰατρόν, ἀπεκτονότα δὲ φαρμάκῳ πλείους τῶν αὐτὸ τοῦτο πεποιημένων βίον. ὃν οὖν, εἰ ὑπείδεσθε, καὶ πάντως ἂν πρὸ τῶν ἔργων κατελύσατε, τοῦτον ἐπὶ τοσούτοις τοῖς ἀπολωλόσιν οὐ διασπάσεσθε; δίκαιον γὰρ ἃ μὴ γενέσθαι βούλοισθ' ἄν, τούτων τετολμημένων τιμωρίαν ἀπαιτεῖν. 2. οἱ μὲν οὖν οἰκεῖοι τῶν τεθνεώτων περιεστᾶσιν, ὡς ὁρᾶτε, δεικνύντες ἃ πεπόνθασι καὶ διὰ τῆς ἐσθῆτος καὶ διὰ τῶν ἄλλων ἁπάντων, ὑμῖν δὲ εἰ μὲν ἀναστῆσαι τοὺς ὑπὸ τούτου τεθνεῶτας ἐνῆν, πάντως ἂν αὐτοῖς ταύτην ἐβοηθεῖτε τὴν βοήθειαν· ἐπεὶ δὲ τοῦτο τῶν ἀδυνάτων, δότε τὴν δυνατὴν παραμυθίαν αὐτοῖς μὴ μόνον τοῦτον ἀποκτείναντες, ἀλλὰ καὶ δῆλον ποιήσαντες ὡς ἀγανακτεῖτε τῷ μὴ δύνασθαι μείζω θανάτου τιμωρίαν εὑρεῖν. 3. μάλιστα μὲν οὖν, εἰ καὶ

2 cf. t. IV 447, 11

1 γʹ. et 2 *Κατὰ ἰατροῦ φαρμακέως* om *Va* 3 *ὦ ἄνδρες*] *ὧδε Va* | *τῷ* om *Va* | *σχήματι* scripsi e *Va* *χρήματι* reliqui libri edd 4 *αὐτὸν Vi* 5 *αὐτῷ Pa* | *τὸν B* 6 *ὑπείδεσθε* scripsi *προείδεσθε BaPLVi* edd *προίδοισθε Pa* lac 10 fere litt *B* | *καὶ* om *Va* | *πάντως* scripsi e *Va* ut coni Mor *πάντα* reliqui libri edd sed *πάντες* coni Re *προείδεσθε καταπράξοντα ταῦτα* vel *κτενοῦντα* Iacobs Lect 7 *κατελεύσατε* coni Re Iacobs | *τοσούτοις* inserui e *Va* om reliqui libri edd 8 *διασπάσεσθε* scripsi e *PaBVa* *διασπάσασθε Ba* *διασπάσησθε PLVi* edd 11 *ὁρᾶται Va* 12 *ὑμῖν* scripsi e *BaPaBVa* cum Sinteni *ἡμῖν PLVi* edd 13 *ὑπὸ τούτου* inserui e *Va* sed *ου* ut videtur ex *ων* correctum parumque certum om reliqui libri edd | *ἐνὸν Va* 14 *ἂν* reposui e libris ut coni Re *ἐν* edd | *αὐτοῖς ταύτην*] *ταύτην ἂν αὐτοῖς Va* | *αὕτη BaPa* | *ἐκβοηθῆ* (*ἐκβοη* superscr. *θῆ* *Ba*) *ἡ βοήθεια BaPaB* 18 *οὖν* inserui e *Va* om reliqui libri edd

τοῦθ' ἓν ἐκερδαίνομεν μόνον διὰ τῆς τιμωρίας τὸ τὰ τούτου φάρμακα διαφυγεῖν, οὐκ ἂν ἦν οὐδὲ τοῦτο μικρὸν ἀπηλλάχθαι τὴν πόλιν τοιούτου ἰατροῦ καὶ τοῖς ἀπολωλόσιν ἐζημιῶσθαι μόνοις· ἐπεὶ δὲ καὶ τοὺς ἄλλους ἅπαντας ἰατροὺς βελτίους ποιήσομεν τῇ δίκῃ δείξαντες ὡς ἕνα δεῖ χρηματισμὸν αὐτοὺς εἰδέναι τὸν ἀπὸ τῶν σώζειν δυναμένων φαρμάκων, ἀμφοτέρων ἕνεκα κολαστέος, ὅπως μήτ' αὐτὸς εἴη μήτ' ἄλλος τοῦτον μηδεὶς ζηλώσειε. 4. *τοὺς* | *μὲν οὖν θεοὺς οὐκ* R IV 909 *ἂν αἰτιάσαιτό τις ὡς ἠμεληκότας ἡμῶν καὶ τῇ τῶν νοσημάτων ἰσχύι τὰ τῶν ἀνθρώπων ἐκδεδωκότας σώματα, ἀλλ' ἐπαινῶ μὲν αὐτοὺς καὶ τῶν ἄλλων δωρεῶν ὧν ἔδοσαν, ἔδοσαν ⟨γὰρ⟩ καρπούς, μυστήρια, λόγους, σοφίαν, ταλασίαν, γεωργίαν, ναυτιλίαν, ἄλλας τέχνας μυρίας, μεγίστῳ δὲ ἡμᾶς ἐδωρήσαντο τῇ τῆς ἰατρικῆς τέχνης δόσει.* 5. *καὶ ποιεῖται παῖδα ὁ Ἀπόλλων Ἀσκληπιόν, δι' οὗ τὴν τέχνην ἐτελειώσατο. καὶ ὁ μὲν διὰ τοῦτο*

---

16 Pind. Pyth. III 8 sq.

---

1 *μόνον* om *Vi* 2 *φυγεῖν Va* | *ἦν* scripsi e *B Va* ut coni Re *ἐνῆν* reliqui libri edd | *οὐδ' BaPa* | *τοῦτο* scripsi *οὕτω τοῦτο B* et coni Iacobs Lect *οὕτω* reliqui libri edd | *τὴν πόλιν τοιούτου ἰατροῦ* scripsi e *Va* *τοῦ τοιούτου τὴν πόλιν ἰατροῦ* reliqui libri sed *τοῦ* om *BaPa*, edd 4 *ἐζημιῶσθαι* scripsi *ἐζημιοῦσθαι Ba PL Vi* edd *ἐζημιοῦσθε Pa Va* | *μόνον Vi* 6 *αὐτοῖς Va* | *τῶν Pa* 8 *μήτε Ba Va* | *αὐτὸς κακὸς εἴη* coni Re | *τοῦτον* reposui e libris *τοῦτο* edd 9 *οὐδεὶς Va* | *ζηλώσειε* scripsi e *BaPaB Va* *ζηλώσῃ PL Vi* edd 10 *αἰτιάσαιτό* scripsi e *B* cum Iacobsio Lect *ᾐτιάσατό* reliqui libri edd 11 *ἰσχύει Pa* | *τὰ τῶν ἀνθρώπων ἐκδεδωκότας* scripsi e *Va* *ἐκδεδωκότας* (*εἰσδεδωκότας PL Vi* edd) *τὰ τῶν ἀνθρώπων* reliqui libri edd 12 *ἐπαινῶ μὲν* scripsi e *PaBPViVa* *ἐπαινῶμεν BaL* *ἐπαινοῖμεν* edd | *καὶ τῶν ἄλλων δωρεῶν* et 13 *καρπούς* inserui e *Va* om reliqui libri edd | *οἷων BaPaB Va* sed in hoc *γρ ὧν* suprascr 13 *γὰρ* inserui om libri edd sed „*fort. ἔδοσαν δὲ μυστήρια*“ Re 15 *ἐδωρήσατο BaLViVa* sed in hoc *ν* inser 16 *ποιεῖ L* | *παῖδ' Pa* 17 *ἐτελειώσατο* reposui e libris sed *ει* delet *P* *ἐστελώσατο*

γίνεται θεός, οἱ δὲ ἐξ ἐκείνου φιλάνθρωποί τε ὄντες καὶ τοῦ πατρὸς ἄξιοι γῆν καὶ θάλατταν ἐνέπλησαν τῆς ἐπικουρίας ἢ τοὺς κάμνοντας ἐξαιρεῖται θανάτων. 6. *εἰ δ' οὐκ ἦν ἰατρικὴ καὶ τοῖς κάμνουσιν ἐπήμυνε, κομιδῇ τινες ἂν ὀλίγοι πρὸς γῆρας ἀφικνοῦντο κατὰ πολλὴν τοῦ κωλύοντος ἐρημίαν τῶν ἀρρωστημάτων κρατούντων. τοῖς μὲν οὖν θεοῖς ἐμέλησε τοῦ γένους, ἐμέλησε δέ, οἶμαι, καὶ τοῖς βελτίστοις τῶν περὶ τὴν τέχνην τοῦ μήτε τῶν δόντων μήτε τοῦ πράγματος ἀναξίους φανῆναι.* 7. *τί οὖν τὸ πρᾶγμα πρὸς αὐτοὺς λέγει; τῶν ἰατρευόντων εἷς καὶ αὐτὸς ἐπιθυμήσας γενέσθαι καὶ διδασκάλων τυχὼν μέτασχε ἱκανῶς τῆς τέχνης, χρηστότητα ἄσκει, φιλανθρωπίαν μελέτα, καλούμενος τρέχε, εἰσελθὼν ὅλῃ τῇ διανοίᾳ τὸν ἀσθενοῦντα σκόπει, συνάλγει τοῖς ἀνιωμένοις, σύγχαιρε τοῖς ῥαΐσασι, κοινω-*

---

6 Dem. synt. p. 171, 28 9 sq. cf. p. 193, 13 16 sq. cf. M. Dibelius, Comm. zu den Briefen an Timotheus und Titus p. 171

---

1 *ὁ Μαχάων καὶ ὁ Ποδαλλίριος* suprascr *Va*

---

edd sed *ἴσ. ἐτελεώσατο* in marg Mor, *ἐστερεώσατο* coni Re, *ἐστυλώσατο* Iacobs Lect Anth. Pal. III 382 *ἐστηλώσατο* Tafel Dilucid. Pind. I 594 | *διατοῦτο Pa* | *τούτου B* 2 *θάλατταν* scripsi e *Va* *θάλασσαν* reliqui libri edd | *ἐπλούτησαν Va* 3 *θανάτου Va* 4 *δὲ* edd | *κάμνουσιν* scripsi e *Va* *νοσοῦσιν* (*νοσοῦσι Pa*) reliqui libri edd | *ἐπήμυνεν Va* *ἐπήμυναν LVi* 5 *κομιδὴ B* | *ἀφικνοῦνται Pa* 6 *πολλὴν* scripsi e *BaPaBVa* *πολλὰ PLVi* edd | *ἐρημίαν* inserui e *Va* lac 8 litt *B* om reliqui libri edd 7 *κρατούντων* scripsi e *B ViVa* *κρατοῦντος BaPaPL* edd 8 *δέ* scripsi e *BaPaBVa* *γὰρ PLVi* edd | *τῶν* scripsi e *PaBVa* *του Ba* sed in ras m² *τοῖς PLVi* edd 10 *ἀναξίου BaPa* *ἀναξίων B* | „*fort. sic est distinguendum: τί οὖν τὸ πρᾶγμα; πρὸς αὐτοὺς λέγει τῶν ἰατρευόντων εἷς* (*Hippocrates*) *aut sic: τί οὖν τὸ πρᾶγμα πρὸς αὐτοὺς λέγει;* respondet *λέγει τῶν ἰατρ.*" Re 12 *μετάσχε Ba Pa* sed in hoc e *μετέσχεν* corr, *L* 15 *τῇ* om *Va* 16 *κοινὸν B*

νὸν ἡγοῦ σαυτὸν τῶν νοσημάτων εἶναι, κίνει πάντα ὅσα ἐπίστασαι πρὸς τὸν ἀγῶνα τοῦτον, τῶν μὲν ἡλικιωτῶν νόμιζε σαυτὸν ἀδελφόν, τῶν δὲ πρεσβυτέρων παῖδα, τῶν δὲ νεωτέρων πατέρα. κἂν ἐκείνων τις περὶ αὐτὸν ῥαθυμῇ, σοί γε | τοῦτο μὴ νόμιζε ἐξεῖναι, ὅλως δὲ R IV 910 *τοῦτο δεῖν εἶναί σε τοῖς νοσοῦσιν, ὅπερ οἱ Διόσκουροι τοῖς πλέουσι.* 8. *ταῦτα χρὴ νομίζειν ἀκούειν τὸν ἰατρὸν παρὰ τῆς ἰατρικῆς. ταῦτα, ὦ ἄνδρες, παρὰ τῶν ἄλλων ἰατρῶν ἡμῖν πεφύλακται, οἳ πρὸ τῶν χρημάτων τὴν ἀπὸ τοῦ νενικηκέναι νόσημα δόξαν διώκουσιν. οἶδα ἔγωγε πολλοὺς ἰατροὺς ἀντὶ τοῦ λαβεῖν εἰς σώματα πενήτων αὐτοὺς ἀνηλωκότας. εἰκότως. καὶ γὰρ αὐτοῖς ἡ τέχνη τὴν παρὰ τῶν πόλεων αἰδῶ προξενεῖ. καὶ προσορῶμεν αὐτῶν τοὺς ἄκρους ὥσπερ θεοὺς ἐν αὐτοῖς ἔχειν μετὰ τοὺς θεοὺς νομίζοντες τὰς τῆς σωτηρίας ἐλπίδας.*

9. *Τοὺς μὲν οὖν ἄλλους ἐπαινοῦμεν τῷ τε ἀρχηγέτῃ θεῷ καλῶς ἑπομένους καὶ τοῖς ὅρκοις οἷς ὤμοσαν ἁπτόμενοι τῆς τέχνης ἐμμένοντας, μόνος δὲ οὗτος ὁ κακουργότατος, ὁ μιαρώτατος, ὁ πᾶσι μὲν ἀνθρώποις,*

---

2 *ὁπόσα BaPaB* 4 *δὲ* (2) inserui e *Va* om reliqui libri edd 5 *τίς PaBLVa* | *αὑτὸν* scripsi ut coni Re *αὐτὸν Va αὐτοῦ BaPa αὑτοῦ BPLVi* edd 6 *ἐξεῖναι, ὅλως δὲ* scripsi auctore Re *ἐξεῖναι ὅλως ἢ* libri edd 7 *σοι Pa* 9 *ἀπὸ B* | *ἰατρικῆς* scripsi e *Va τέχνης* reliqui libri edd | *ὦ ἄνδρες*] *ὧδε Va* 10 *ὅλων Va* 11 *σχημάτων PLVi* et *γρ* in marg Mor | *νόσημα* inserui e *Va* om reliqui libri edd sed *τὰς νόσους νενικηκέναι* coni Re 12 *ἐγὼ Pa* 13 *δώματα BaPa* 15 *προσορῶμεν* scripsi e *BaPaBVa προσορῶσιν PLVi* edd .16 *νομίζοντες* scripsi *ἐλπίζοντες* libri edd 17 *τὰς* et *ἐλπίδας* reposui e libris *τὴν* et *ἐλπίδα* edd | *τῆς* om *Vi* 18 *καὶ* (inser) *τοὺς μὲν ἄλλους Va* | *τε* inserui e *Va* om reliqui libri edd 19 *ἑπόμενοι Va* | *τοὺς ὅρκους Vi* | *οἷς* scripsi e *BaPaBVa οὓς PLVi* edd 20 *ἐμμένοντας* scripsi e *BaBPL ἐμμένοντες PaViVa* edd

πᾶσι δὲ θεοῖς ἐχθρὸς τὰ δεινότατα τοῖς καλλίστοις ἀνέμιξε, τοῖς σώζουσι τὰ ἀπολλύντα, τοῖς βοηθοῦσι τὰ πολεμοῦντα, τοῖς ῥυομένοις τὰ διαφθείροντα. 10. *καὶ ἡ μὲν ὑπόσχεσις καλὴ τελευτῆς ἐξαρπάσειν, τὸ δὲ ἔργον τελευτὴ πρὸ μοίρας καὶ θάνατος ἐκ φαρμάκων. παραδοὺς γὰρ αὐτὸν διδασκάλοις ἀγαθοῖς καὶ μαθὼν τά τε ἀπαλλάττοντα νόσου καὶ τἀναντία τούτων, οὐχ ἵνα ἀμφοτέροις χρήσηται, ἀλλ' εἰδὼς τὴν βλάβην φυλάξηται καὶ τὸ μὲν προσενέγκῃ, τὸ δὲ φύγῃ, τρεῖς ἢ τέτταρας ἀναστήσας, ἵν' εὐδοκιμήσας πιστευθείη, ἐπειδὴ λαμπρὸς ἦν καὶ δόξαν ἐκέκτητο καὶ παρὰ τῶν πλουτούντων καὶ μεγάλα δυναμένων ἐκαλεῖτο, εἰσήρχετο μὲν ὡς λύσων τὸ κακόν, ἕτερον δὲ προστιθεὶς ἐξήρχετο.* 11. *ὢ τῶν λόγων οὓς ἤκουέ τε καὶ ἔλεγε πρὸς τοὺς τῶν καμνόντων ἐχθρούς· οὗτος ὁ νοσῶν, ἰατρέ, πολλά με λελύπηκε καὶ οὐδενὸς ἀφέξεται, μέχρις*
R IV 911 *ἂν ἐμπνέῃ. χάρισαι | δή μοι τὴν εἰς τὸ μέλλον ἀσφάλειαν. τοιαῦτ' ἀκούων ἐπένευεν ὁ χρηστὸς ἰατρὸς καὶ πόσον δὲ τὸν μισθὸν καταβάλλεις;*

16 sq. cf. ad t. V 30, 14

2 *ἀνέμιξε* scripsi e *Va* *ἐνέμιξε BPL* edd *συνέμιξε Vi* *ἐνόμιζε Ba* sed *μι* del, *Pa* 3 *πολεμούμενα BaPaB* | *τοῖς — διαφθείροντα* om *Va* | *δρωμένοις BaPa* *ἐρρωμένοις B* *ῥυομένης* (*οις* suprascr.) *Vi* | *διαφθείροντα* scripsi e *BaPaB* *φθείροντα PLVi* edd 4 *τῆς* ante *τελευτῆς Vi* 6 *αὑτὸν* edd 7 *νόμου L* 8 *χρήσεται BaPa* | „*fort. ἀλλ' ἵν' εἰδὼς*" Re | *φυλάξηται* scripsi e *BaBViVa* ut coni Re *φυλάξεται PaPL* edd 10 *ἵνα* edd 11 *λαμπρότερος Vi* 13 *τὸ* om *Va* | *προστιθεὶς* scripsi e *BaPaBVa* *πρᾶγμα τιθεὶς PLVi* edd 14 *οὓς* scripsi e *BaPaBVa* cum Sinteni *οἷς PLVi* edd | *ἤκουσέ PaBVa* | *ἔλεγεν Pa* 15 *ἰατρὸς L* 16 *λελύπηκεν Va* | *οὐδενὸς* scripsi *οὐδὲν Va* *οὐδ' BaPaB* *οὐδὲ PLVi* edd 17 *ἐμπνέοι Vi* | *εἰς* scripsi e *BaPaBVa* *πρὸς PLVi* edd 18 *τοιαῦτ'* scripsi e *Va* *τοιαῦτα* reliqui libri edd | *ἐπένευεν* scripsi e *BaPaBVa* *ἐπένευσεν PLVi* edd 19 *καταβάλλεις* scripsi e *Va* *καταβαλεῖς PLVi* edd *καταβαλεῖν BaPaB*

ἠρώτα καὶ οἶσθα δὲ τὸ τόλμημα ὡς δεινὸν καὶ οἷον οὐκ ἄλλο καὶ ὅτι δεῖ τὸ κέρδος ἐξισοῦσθαι τῷ πονηρεύματι; καὶ τοιαῦτα. λέγων καὶ ἐπὶ τοιούτοις λαμβάνων οὐκ ἠπάτα τοὺς δεδωκότας, ἀλλ' ἐξ ὧν τοὺς κάμνοντας ἠδίκει δίκαιος ἦν πρὸς τοὺς μεμισθωμένους. 12. ἀπὸ τοιούτων τοίνυν τῶν συνθηκῶν εἰσιὼν αἴρων τοῦ νοσήματος τῷ λόγῳ τὴν ἰσχὺν φαρμακοποσίας ἔφασκε δεῖν καὶ ταύτην ἔχειν μόνην εἰς σωτηρίαν ῥοπὴν καὶ μὴ δεῖν ὀκνεῖν. ἐπείθοντο οἱ πάντα τούτῳ πειθόμενοι. πῶς δὲ οὐκ ἔμελλον ἰατρῷ γε πείθεσθαι; τίς δ' ἂν ὑποπτεύσειεν ἰατροῦ κύλικα; καὶ οἱ μὲν ἔπινον οἱ δυστυχεῖς χαίροντες, ὁ δὲ πιὼν τὰ ἔνδον κατησθίετο καί, Ἡράκλεις, καὶ τί πέπωκα; καὶ κάλει τὸν ἰατρόν. ὁ δὲ εἰσέρχεται μειδιῶν ὡς δὴ ταύτην ἔχοντος τοῦ φαρμάκου τὴν φύσιν τὰ πρῶτα λυπεῖν, ἔπειθ' ὕστερον δεικνύναι τὴν ὠφέλειαν. ἐμειδία δὲ ἄρα ὡς τῆς ἐπιβουλῆς αὐτῷ πρὸς ἔργον χωρούσης. τοιαῦτα εἰσῆγεν οὗτος εἰς τὰς οἰκίας τῶν ἀθλίων φάρμακα. 13. ἐπὶ μὲν οὖν τῶν ἄλλων τῶν ταύτῃ

---

1 ὡς ante οἶσθα *BaPaBPLVi* edd delevi ut delendum coni Re | τὸ inserui e libris om edd 3 τὰ ante τοιαῦτα *L* edd delevi | καὶ om *Va* | τοιούτοις scripsi e *BaPaBVa* τούτοις *PLVi* edd 4 τοὺς δεδωκότας scripsi e *BaPaBVa* τὸν δεδωκότα *PLVi* edd 6 τῶν ante τοιούτων *BaPa* 7 αἴρων om *Va* | φαρμακοποσίας scripsi e *BaPaBVa* φαρμακοποσίαν *PL* edd sed „*aut* φαρμακοποσίας *aut* φαρμακοποσιῶν" Re φαρμακοσίαν *Vi* 8 ἔλεγε *Va* | ἔχει *BaPa* 9 πάντα scripsi e *BaPaBVa* cum Sinteni πάντες *PLVi* edd 10 πῶς — πείθεσθαι; om *Vi* | γε inserui e *Va* τὲ *BaPa* om *BPL* edd 13 πέπτωκα *BaPaL* πέπτοκα *Va* 14 εἰσέρχεται scripsi e *Va* εἰσήρχετο reliqui libri edd 15 ταύτης *BaPa* | ταπρῶτα *Va* 16 δεικνύναι τὴν ὠφέλειαν scripsi e *BaPaBVa* τὴν ὠφέλειαν δεικνύναι *PLVi* edd 17 ὡς] καὶ *Va* | πρὸς ἔργον om *Va* 18 τὰς οἰκίας scripsi e *Va* τὴν οἰκίαν (οἰκείαν *Pa*) reliqui libri edd 19 οὖν om *Va*

τελευτώντων εἰώθασιν οἱ ἰατροὶ βοᾶν καὶ δεικνύναι τοῖς τοῦ τεθνεῶτος οἰκείοις ἐν τῷ τοῦ τετελευτηκότος σώματι πονηρῶν σημεῖα. φαρμάκων, ὁ δὲ αὐτός τε ὢν ὁ τοῦτο δεδρακὼς καὶ κύριος τοῦ παντὸς ἀκρασίαν τοῦ τεθνεῶτος ἐκάλει τὸ πεπραγμένον· τῆς γὰρ προστεταγμένης ἐξελθόντα διαίτης ἀπολωλέναι. καὶ εἵπετο μὲν ἐπὶ τὸ μνῆμα δακρύων, ἔτρεχε δὲ ἐκεῖθεν παρὰ τοὺς ἐπὶ τῷ φόνῳ κροτοῦντας. 14. καὶ ταῦτα ποιῶν διὰ πολλῶν ἤρχετο γενῶν ἰατρὸς λοιμοῦ χαλεπώτερος. πολλοὶ παῖδας διὰ τοῦτον ἀπώλεσαν ἐφήβους, πολλοὶ πατέρας ἄρτι γάλακτος ἀπηλλαγμένοι. πενθεῖ τις ἀδελ- R IV 912 φὸν | χρηστόν, ὁ δὲ γυναῖκα ἀγαθήν, ὁ δὲ κόρην ἡλικίαν ἔχουσαν γάμου. διὰ τίνας; οὐ διὰ πολεμίους οὐδὲ διὰ λῃστῶν σίδηρον οὐδ' οἰκετῶν νύκτωρ ἐπαναστάντων οὐδὲ πονηρᾶς γραὸς λάθρα τῷ οἴνῳ φάρμακον ἀναμιξάσης. ἀλλὰ τίνος ἀπεκτονότος; τοῦ καὶ πρὸς ταῦτα ἀγωνίζεσθαι τεταγμένου. 15. ἰατρός, Ἄπολλον, ἐκέρασεν ἐπὶ θανάτῳ φάρμακον καὶ τοῦ τοιούτου γε πόματος διπλοῦν ἠνέγκατο μισθόν, τὸν μὲν παρ' ἐκεί-

---

2 τοῦ τεθνεῶτος scripsi e *Va* τῶν τετελευτηκότων reliqui libri τῶν τελευτησάντων edd | τοῦ τετελευτηκότος σώματι scripsi e *Va* σώματι τοῦ τεθνεῶτος reliqui libri edd 3 δὴ *L* | τ' *Pa* | ὢν om *L* | ὁ reposui e libris cum Sinteni καὶ edd sed „*fort.* αὐτός τε ὢν καὶ μόνος τοῦτο δεδρακὼς *aut alias* καὶ *est delendum*" Re ὁ καὶ τοῦτο δεδρακὼς Iacobs Lect 5 ἐκάλει τῶν τεθνεώτων τὸ πεπραγ *Vi* 6 ἐξελθούσης *L* | μὲν] καὶ *L* 7 μνῆμα reposui e libris μνημεῖον edd | πρὸς *BaPaB* 8 ἐπὶ τῷ in marg *P* | κρατοῦντας *BaPaBPLVa* 9 ἰατρὸς om *Va* 11 γάλακτος scripsi e *BaPaBVa* γάλαις *LVi* γάλας *P* edd sed ἴσ. γάλακτος in marg Mor | ποθεῖ [εν] *Va* | τὶς libri 12 voce ὁ(1) inc *La* | ἀγαθήν om *VaLa* 14 οὐδὲ] οὐ *PaB* deletum *Ba* | οὐδὲ edd 16 καὶ om *VaLa* 18 τοῦ inserui e *VaLa* om reliqui libri edd 19 ἤνεγκε *VaLa*

νων οἷς τὰ τοιαῦτα ὑπηρέτει, τὸν δὲ παρ' αὐτοῦ τοῦ πεπωκότος, ὦ Ζεῦ. ὁ γὰρ πιὼν ἐπὶ ταῖς ἐλπίσιν ἐδίδου, τῆς πείρας δὲ τἀναντία φερούσης εἴχετο τῶν τούτου χειρῶν σωτῆρα ἐπονομάζων ⟨καὶ⟩ δεόμενος βοηθεῖν. ὁ δὲ ἐφειστήκει μέγα φρονῶν, ὡς εἰκός, ἐπὶ τῷ διαλύοντι τὰ μέλη φαρμάκῳ. ἦ που καὶ τὴν δεξιὰν ᾗ τὸ φάρμακον ἐσκεύασεν πολλάκις ἐφίλησεν ὁ νοσῶν. ταῦτα θεῶν τις ἰδὼν ἠγανάκτησε καὶ πρᾶγμα οὐ ῥᾴδιον ἐλεγχθῆναι, δεινὸς γὰρ λαθεῖν φαρμακεὺς ἰατρός, ὅμως εἰς μέσον ἐξήνεγκεν ὥστε τοῦτον μηδὲ εἰ σφόδρα ἐστὶν ἀναιδής, ἔχειν ἀναισχυντεῖν.

16. *Ἐπὶ πᾶσι μὲν οὖν τοῖς ἀδικήμασιν ἄξιον ὑμᾶς χαλεπῶς ἔχειν, ὦ ἄνδρες δικασταί, μάλιστα δὲ ἐπὶ τοῖς τεχνικῶς καὶ ὡς ἥκιστ' ἄν τις ὑπίδοιτο κατασκευαζομένοις. ὁ μὲν οὖν ταύτην ἐλθὼν ἐξ ἀρχῆς τοῦ βίου τὴν ὁδὸν ταχέως ἁλίσκεται καὶ δίκην ἂν ἀπὸ τῶν πρώτων ἀδικημάτων δοίη πολλάκις οὐκ ἔχων προκάλυμμα τῆς πονηρίας ἐπιεικές, ὁ δ' ἰατρὸς μὲν εἶναι λέγων, ποιῶν δ' ἐκεῖνο δύναιτ' ἂν οὐκ ὀλιγάκις καὶ*

1 *ὑπηρέτει* scripsi e *L* cum Sinteni *ὑπηρέτεῖ Va* *ὑπηρετεῖ PLa* edd *ὑπηρέτησε BaPaB* *ὑπομένει Vi* 2 *πεπτωκότος BaPaB* 4 *χερῶν VaLa* sed in hoc *ε* in ras m[2] | *καὶ* inserui om libri edd 5 *ἐφεστήκει ViVaLa* edd 6 *τὰ μέλη φαρμάκῳ* scripsi e *VaLa* *φαρμάκῳ τὰ μέλη* (*βέλη B*) reliqui libri edd | *ἦ που* reposui e libris *ἤπου* edd | *ᾗ* scripsi e *PaBVaLa* deletum *Ba* *ᾗ PLVi* edd sed „*ᾗ non prorsus improbo, mallem tamen ᾗ*“ Re 7 *πολλάκις* inserui e *VaLa* om reliqui libri edd 9 *δεινὸν PaBVaLa* deletum *Ba* | *λαθεῖν* om *B* | *ὁ* ante *φαρμακεὺς Vi* 10 *ὅμως* inserui e *VaLa* om reliqui libri edd | *ἐξήνεγκε PaVa* | *μὴ δὲ BPViVa* 12 *ἡμᾶς Pa* edd 13 *ἄνδρες δικασταί* scripsi *δικασταί VaLa* *ἄνδρες* reliqui libri edd 14 *ἥκιστ' ἄν τις ὑπίδοιτο* scripsi *ἥκιστά τις ὑπίδοιτο BaPaBVaLa* *ἥδιστά τις ἐπίδοι PLVi* edd sed „*fort. ἥκιστα*“ Re 15 *ταῦτα PLVi* | *εξελθὼν Pa* sed *ε*(1) del 16 *τῶν* inserui e libris om edd 18 *ἐπιεικές* reposui e libris *ἐπιείκειαν* edd | *δὲ PLVi* edd | *μὲν* inser *La*[2] 19 *δὲ PLViVaLa* edd | *ἐκεῖνα VaLa*

διὰ τέλους ἀσφαλῶς κακουργεῖν παραπετάσματι τῆς κακουργίας τῷ προσχήματι τῆς τέχνης χρώμενος. 17. *κἀκεῖ μὲν πολλῶν δεῖ τῶν διακονησόντων, οὓς χαλεπὸν εὑρεῖν, κἂν εὑρεῖν ὑπάρξῃ, τοῦτ' αὐτὸ ποιεῖ τὸν* R IV 913 *ἔλεγχον τὸ πλῆθος | τῶν συνειδότων· ἐνταῦθα δὲ δι' ἑνὸς ἅπαντα πληροῦται. αὐτὸς ἂν ὀρύξειεν ὧν εἰς τὸ φάρμακον δεῖ, αὐτὸς ἂν πρὸς ἄλληλα μίξειεν, αὐτὸς ἂν κομίσειεν, αὐτὸς ἂν ὀρέξαι πάντων δρώντων μόνον. τοῦτον φαρμακέα οὐδ' ὑποπτεῦσαι καλόν.* 18. *τοὺς οὖν ὧν εἶναι δοκοῦσι πορρωτάτω, ταῦτ' ἀδικοῦντας καὶ τούτῳ γε αὐτῷ θαρροῦντας τῷ δοκεῖν εἶναι πόρρω πολὺ μᾶλλον μισεῖν ἄξιον, ὅτι ὧν τοσοῦτον ἀφεστᾶσι τολμῶσι καὶ γίνονται χείρονες ἧς ἔχουσι δόξης.* 19. *φέρε, εἰ κυβερνήτην εἰσῆγον εἰς ὑμᾶς ἐγκαλῶν ὅτι τὰ τῶν πολεμίων αὐτὸς ἔδρασε τὴν ναῦν ἣν ἐκυβέρνα, οὐκ ἂν μᾶλλον οὗτος ἐμισεῖτο τῶν πολε-*

1 *διατέλους ViVaLa* | *παραπετάσμασι Pa* 2 *κακουργίας* scripsi e *VaLa* *πονηρίας* reliqui libri edd | *προσχήματι La* sed ο in ras m² 3 *δεῖ τῶν*] *δεῖται VaLa* | *διακονησάντων Ba* sed *ντων* del, *Pa* 4 *κἂν εὑρεῖν* om *L* | *αὐτὸν PLVi* edd 6 *πάντα Ba* | *πληροῦνται VaLa* | *ἂν ὀρύξειεν*] *ἀνορύξειεν BaPaVaLa* 7 *ἄλληλα* reposui e libris ut coni Re *ἀλλήλους* edd | *συμμίξειεν* Iacobs Lect App Pors 328 8 *ὀρέξαι* scripsi *ὀρέξει Ba* *ὀρέξοι B* *ὀρέξῃ* reliqui libri edd | *δρώντων* scripsi e *BaPaBP* sed in hoc ω e parte delet., *ViVaLa* lac 5 litt ante *τῶν L* *ἀρκούντων* edd sed *ἴσ. ἀργούντων* in marg Mor, *διακονούντων* Iacobs ll. ll. „*locum hunc non intelligo. videntur verba πάντων ἀρκούντων μᾶλλον, si non omnia, pro parte saltim a sua vera sede aberrasse et post πόρρω πολὺ deducenda esse ad hunc modum πολὺ πάντων μᾶλλον μισεῖν ἄξιον.*“ Re

9 *μόνον* scripsi *μόνου* (σ supra) *VaLa* *μᾶλλον* reliqui libri edd

10 *πορρωτάτω* reposui e libris (*πορρῶ* τ´τ supra *P*) *πορρώτατοι* edd | *ταῦτα BaPaB* | *ἀδικοῦντας* et 11 *θαρροῦντας* reposui e libris *ἀδικοῦντες* et *θαρροῦντες* edd 12 *μᾶλλον* inserui e *VaLa* om reliqui libri edd | *τοσούτω Pa* 14 *εἰσῆγον* scripsi e *VaLa* *ἦγον* reliqui libri edd | *ἡμᾶς PaPLVaLa* 16 *οὗτος ἐμισεῖτο* scripsi e *VaLa* *ἐμισεῖτο οὗτος* reliqui libri edd

μίων; τί δέ, εἰ στρατηγὸν ⟨ἀποδόμενον τὸ στρατόπεδον; οὐκ ἂν⟩ μείζω δίκην ἔδοξεν ὀφείλειν ἧς ἂν ἔδωκεν ὁ τῶν ἐναντίων ἁλούς; τί δέ, εἰ παλαιστὴν οἷς ἐγύμναζε λυμαινόμενον; ἆρ' ⟨ἂν⟩ ἦν ἀξία δίκη; 20. *τοιοῦτον δὴ καὶ τὸ νῦν. ἄνθρωπος ἔχων τέχνην ἧς ἐστιν ἔργον τὸ σώζειν πολλοὺς ἐποίησε τάφους καὶ γέγονε τῶν νοσημάτων τοῖς πολίταις πολεμιώτερος. τὰ μέν γε πολλάκις ἰατρῶν οὐ παρόντων ἔληξεν αὐτόματα, τοῦτον δὲ καὶ τὰ τούτου φάρμακα διαφυγεῖν οὐκ ἐνῆν.* 21. *τοῦ χάριν, ὦ κακὴ κεφαλή, ταῦτα ἐτόλμησας; χρημάτων; εἶτ' οὐκ ἤρκει τὰ παρὰ τῶν νοσούντων; οὐχ ἑώρας τοὺς καλῶς καὶ δικαίως τῷ πράγματι χρωμένους* | R IV 914 *πεπλουτηκότας; ἀλλ' οὐχ ἡγοῦ τὰ ἐκείνων πλοῦτον οὐδὲ τὰ μετὰ πόνων ἐπῄνεις, ἀλλ' ἐζήτεις ἀπόνως τε καὶ ταχὺ τοὺς τυράννους παρελθεῖν τοῖς χρήμασιν. εὗρες οὖν τὸν ἀδικώτατον πόρον καὶ πρᾶσίν τινα ταύτην ἐποιήσω ψυχῶν.* 22. *εἶτ' οὐ πέπρακεν οὗτος καὶ*

---

10 cf. p. 169, 14; 199, 1; 201, 5

---

1 *στρατηγὸν* scripsi ut coni Mor *στρατὸν BaPLViLa* edd *στρατὸς PaBVa* | *ἀποδόμενον τὸ στρατόπεδον; οὐκ ἂν* inserui coll t. IV 980, 10 R om libri edd 2 *οὐχὶ* ante *μείζω* inserendum coni Re | *ἔδωκε Pa* 3 *εἰς BaPaB* | *τὸν* ante *παλαιστὴν* libri edd delevi | *ὃν ἐγύμναζεν ἆρ' VaLa* 4 *ἆρ' ἂν ἦν* scripsi *ἆρ' ἦν VaLa ἄρα ἦν B ἄρα ἦν BaPa ἀρά γε ἦν PLVi* edd | *τοιοῦτο* edd 5 *ἐστὶν* inser *La*[2] 6 *ἐποίη τάφον BaPa* 7 *πολεμιώτερος* scripsi e *BaPaBPLVaLa* ut coni Re *πολεμιώτατος Vi* edd | *μέν γε* scripsi e *BaPaBVaLa μὲν γὰρ PLVi* edd 8 *τοῦτον* reposui e libris *τούτοις* edd *τούτους* coni Re 9 *τούτου* scripsi e *BaPaBPViVaLa τούτῳ L τούτων* edd | *διαφυγεῖν* om *BaPaB* | *δὲ* post *τοῦ PLVi* edd 10 *ἐτόλμησας* scripsi e *BaPaBPVi* cum Bastio Comm. pal. (Greg. Cor.) 759 *ἐτόλμας VaLa* et coni Sintenis *ἐτόλμησε L* edd 11 *ἑώρακας VaLa* 13 *τἀκείνων B* 16 *οὖν* om *VaLa* | *πράγμασί τινων VaLa* 17 *οὖν VaLa* | *πέπρακεν* reposui e libris *πέπρακας* edd sed *γ πέπρακεν οὕτως* in marg Mor „*recte dat margo πέπρακεν sed ἂν quoque addi velim. οὗτος item servabo*" Re

τὴν ἡλικίαν τὴν αὐτοῦ; τίνα δὲ οὐκ ἐξήνεγκεν ἀπόρρητα φίλων; οὐ τὰ τῆς πόλεως τοῖς πολεμίοις; οὐκ ἔστιν αὕτη τῶν πονηρευμάτων ἀρχή. παλαιᾶς ἐστι παιδείας τὸ παρὸν κακόν, μελέτης συνεχοῦς τῆς τοῦ λαμβάνειν ὅθεν οὐ δεῖ. 23. *σκοπεῖτε τοίνυν ἅπαντα τὸν τούτου βίον ἐν τῷ τελευταίῳ τούτῳ καὶ γένοιτ' ἂν ὑμῖν ἐντεῦθεν ἐκεῖνον μανθάνειν. καλείτω τις τοὺς τῶν τεθνεώτων οἰκείους, μᾶλλον δ' ὅσους οἷόν τε, πολλοῖς γὰρ ὑπὸ τῆς συμφορᾶς οὐκ ἔστιν οὐδὲ κινεῖσθαι. ὁρᾶτε, ὦ ἄνδρες δικασταί, τῶν πενθούντων τὸ πλῆθος, ἀκούετε τῶν οἰμωγῶν. τοῦθ' ἅπαν τὸ δεινὸν ἔργον ἐστὶν ἰατροῦ. τούτοις μόνοις οὐκ ἔστι παραμυθίαν εὑρεῖν. τούτοις γὰρ οὐδένες ὅμοια πεπόνθασιν. ἀπώλεσαν τοὺς αὐτῶν. τοῦτο κοινὸν πρὸς ἄλλους, ἀπώλεσαν οὕτω. τούτου κοινωνὸν οὐκ ἔχουσι.*

24. *Τοσούτους τοίνυν ἐκ φαρμάκων πονηρῶν διε-*

---

1 *τὴν* om *VaLa* | *αὐτοῦ BaPaVaLa* *ἑαυτοῦ PLVi* edd *τίνα δὲ οὐκ* scripsi e *VaLa* *τί δέ; οὐκ* reliqui libri edd 2 *τῆς πόλεως* reposui e libris *τῶν πόλεων* edd 3 *αὕτη* reposui e libris ut coni Re *αὐτὴ* edd | punctum posui e libris ut coni Re signum interrogationis edd 4 *μελέτη συνεχὴς BaPaB* | *τῆς* om *B* 5 *λαβεῖν VaLa* | *οὐδείς VaLa* | *τοίνυν* om *Pa* | *ἅπαντες VaLa* 6 *τούτῳ* scripsi e *VaLa* *τούτου βίῳ Vi* *βίῳ* reliqui libri edd *ἔργῳ* coni Re 7 *ὑμῖν* scripsi e *BaBPLVa* *ἡμῖν* (υ superscr.) *La* *ἡμῖν Pa* *ὑμᾶς* edd om *Vi* | *ἐκεῖνον* scripsi e *BaPaB* *ἐκεῖνο Va* *ἐκεῖνα PLViLa* edd | *λαμβάνειν Vi* 8 *τῶν* om *BVi* | *δὲ PLViVa* edd 9 *πολλοῖς* scripsi e *BaPaB* *πολλοὺς PLViVaLa* edd 10 *ἄνδρες δικασταί* scripsi *δικασταί VaLa* *ἄνδρες* reliqui libri edd cf. p. 189, 13; 198, 11 12 *ἐστὶν* inserui e libris om edd 13 *ὅμοια* reposui e libris sed α delet. *P* *ὁμοίως* edd | *πεπόνθεσαν BaPa* 14 *ἀπώλεσαν* (1 et 2) reposui e libris cum Iacobsio Lect Anth. Pal. III 268 *ἀπώλεσας* edd | *αὐτῶν BaPaPLViVaLa* edd *αὐτοῦ* coni Mor 15 *οὕτως* edd | *τούτου κοινωνὸν οὐκ* scripsi e *VaLa* *τοῦτο κοινὸν οὐκ BaPaB* *τοῦτο κοινὸν PLVi* edd *τοῦτο οὐκέτι κοινὸν* coni Re, *τοῦτο καινὸν* Iacobs ll. ll. Sintenis | *ἔχουσι* om *La*

φθαρκὼς ὁ κατάρατος οὗτος τῷ διαβεβληκέναι τὴν τέχνην πλείους ἀπόλλυσιν. οὐδεὶς γὰρ ἔτι τῶν νοσούντων ἰατρόν, ὡς ἴστε, καλεῖ, ἀλλ' ἀσφαλέστερον εἶναι δοκεῖ τοῖς νοσήμασιν αὐτοὺς ἐπιτρέποντας ὅ τι ἂν ἐκβαίνῃ φέρειν ἢ τὰ σώματα· ἐγχειρίζειν ἰατροῖς τοιαῦτα οἴκοθεν κομίζουσι φάρμακα. οὐκοῦν ἔρημοι μὲν ἰατρῶν οἱ νοσοῦντες, ἄποροι δὲ καὶ ἐνδεεῖς οἱ ἰατροὶ τῆς τέχνης ἀπιστουμένης. εἰς ταῦτα ὁ χρηστὸς οὗτος κατέστησε τὴν πόλιν. πόλις μᾶλλον ἰατρικὴν δέδοικεν ἢ πυρετὸν | ἢ λοιμόν. 25. *ἀποβλέψατε, ὦ* R IV 915 *ἄνδρες δικασταί, πρὸς τοὺς ἄλλους ἰατρούς, ὡς αἰσχύνονται καὶ συγκαλύπτονται καὶ στένουσιν εἰδότες οἷα πέπονθεν ὑπὸ τούτου τὸ πρᾶγμα. ὑμεῖς οὖν ἐλεήσαντες μὲν τούτους, ἐλεήσαντες δὲ καὶ τοὺς τεθνεῶτας καὶ ⟨τοὺς⟩ ζῶντας τῇ τούτου τιμωρίᾳ διαλλάξατε πρὸς τὴν τέχνην τὴν πόλιν.*

13 cf. p. 184, 10 sq.

1 *ὁ κατάρατος* inserui e *VaLa* om reliqui libri edd | *οὔτω VaLa* | *τὸ Pa* 2 *ἀπόλλυσι La* 4 *νοσήμασι Pa* | *αὐτοὺς BaPaBPLViLa* Mor 5 *ἐκβαίνῃ* scripsi e *VaLa* *ἐκβαίῃ* reliqui libri edd 6 *νομίζουσι BaPaB* 7 *εὔποροι* coni Wernsdorf Himer. 143 | *καὶ* inserui e *BaPaBVa* om *PLViLa* edd | *τῆς τέχνης* ante *ἐνδεεῖς* libri edd delevi *τῆς τέχνης ἐνδεεῖς* delenda coni Mor Not. t. II[v] | *οἱ* inserui e *La* om reliqui libri edd | *ἰατροὶ ἐνδεεῖς Vi* 9 *πόλιν*(2) *Vi* | *πόλις μᾶλλον ἰατρικὴν* post *πυρετὸν* repet libri edd delevi | *ἰατρικὴν* reposui e libris *ἰατρικὸν* edd sed *ἰατρὸν* coni Re et Iacobs Lect Anth. Pal. III 711 qui *πόλις μᾶλλον* delendum censuit 11 *ὦ ἄνδρες δικασταί* scripsi *ὧδε VaLa* *ὦ ἄνδρες* reliqui libri edd cf. p. 192, 10 12 *οἷα* reposui e libris *οἷον* edd 13 *πέπονθεν* scripsi e *VaLa* cum Iacobsio Lect *πεπόνθαμεν* reliqui libri edd | *τοῦτο Vi* | *τοῦ πράγματος B* *τὸ* delendum censet Sintenis „*fort. ὑπὸ τούτου καλὸν πρᾶγμα διαφθείραντος*" Re | *ἡμεῖς μὲν VaLa* | et 14 *ἐλεήσατε Vi* 14 *μὲν* om *Va* | *καὶ τοὺς*] *καὶ BaPaB* *τοὺς Vi* *τούτους καὶ Va* 15 ⟨*τοὺς*⟩ inserui auctore Re om libri edd 16 *τὴν πόλιν* inserui e *BaPaBVaLa* om *PLVi* edd

26. Ἀλλ' ὅμως ἔλεον αἰτεῖ. τίνα αὐτὸς ἐλεήσας; εἰπάτω. τίνα τῶν πινόντων; τίνα τῶν μελλόντων; τίνα νέον; τίνα γέροντα; τίνα ἄνδρα; τίνα γυναῖκα; οὐκ ἔφριξας, ὦ κατάρατε, τῶν ἀρρωστούντων ἑτοίμως ὑποσχόντων τὰς χεῖρας, οὐκ ᾐδέσθης τῶν πιομένων τὴν πίστιν, ἀλλ' ἵστης ἀπὸ τῶν ἐν σοὶ τὰς ἐλπίδας ἐχόντων τρόπαια. 27. ἄνδρες δικασταί, εἰ μὲν ὅλως ἐγνώκατε μηδένα τῶν ἀδικούντων κολάζειν, μὴ μόνον ἀφῆτε τοῦτον, ἀλλὰ καὶ στεφανώσατε καὶ ταῖς ἄλλαις τιμαῖς ἁπάσαις τιμήσατε· εἰ δὲ οὐδὲν τοὺς ἁλισκομένους ἐξαιτήσεται παρ' ὑμῶν, πῶς οὐ πάντων ἀτοπώτατα πράξετε τὴν ὀργὴν ἐπὶ μὲν τῶν ἐλαττόνων δεικνύντες, τὰ μείζω δὲ ῥᾳδίως φέροντες; ἢ τί τῶν ἁπάντων οὐχὶ τοῦδε μετριώτερον; τί οὖν ὑμᾶς δεῖ ποιεῖν; εἰ μὲν οἷόν τε ἦν, πολλάκις ἀποκτεῖναι τοῦτον· τούτου δὲ οὐκ ἔχοντος φύσιν κελεύσατε αὐτὸν δεῦρο ἐνεγκεῖν τὸ κατατῆξαν ἐκεῖνο πολλοὺς τῶν πολιτῶν φάρμακον καὶ ἀναγκάσατε πιεῖν. κείσθω δὲ ἐπ' ἀγορᾶς ἅπασιν ὁρᾶν τε καὶ ἐκβοᾶν καὶ λέγειν ὡς οὔπω ταῦτα ὧν δέδρακεν ἄξια.

12 cf. p. 202, 11

1 αἰτεῖ scripsi e *B* αἰτήσει reliqui libri edd | οὖν ante αὐτὸς *B* 2 πενήτων *BaPaB* πιόντων Sintenis 4 τοὐκ *Vi* sed o inser m² | ἑτοίμως ὑποσχόντων scripsi e *VaLa* ἐρήμως (ἐρήμους *L* ἐρήμας *Vi* edd) ἐπεχόντων reliqui libri edd 6 ἵστας *B* 9 ἄφετε *VaLa* et coni Re 10 ἁπάσαις τιμαῖς *BaPaB* | εἰ — 12 πράξετε inserui e *VaLa* om reliqui libri edd 11 ἐξαιτήσεται scripsi ἐξαιτήσετε *VaLa* | ἀτοπώτατα scripsi ἀτοπώτερα *VaLa* 14 τιμιώτερον *Va* sed μετριώτερον in marg | ἡμᾶς *VaLa* 16 δεῦρο scripsi e *VaLa* δεῦρ' reliqui libri edd 17 κατατῆξαν — φάρμακον scripsi e *BaPaB VaLa* πολλοὺς τῶν πολιτῶν φάρμακον κατῆξαν ἐκεῖνο *PLVi* edd sed κατατῆξαν coni Re, κατενεγκόν Sintenis coll p. 200, 7 18 καὶ inserui e *Va* om reliqui libri edd | ἀναγκάσεται *Pa* | δ' *PLVi* 19 ἐκβοᾶν scripsi e *BaPaB* ἐμβοᾶν *PLVi* edd βοᾶν *VaLa*

δ'.

Κατὰ τυράννου. R IV 916

1. Ἐπειδὴ καλῶς ποιοῦντες οἱ θεοὶ τετηρήκασιν ἡμῖν τοὺς νόμους καὶ τὴν πολιτείαν καὶ τὸν ταῦτα ἐπιχειροῦντα καταλῦσαι παρέδωκαν εἰς ἡμᾶς, χρήσασθε ταῖς ψήφοις ἐπ' αὐτὸν τὸν ὅπως μηκέτι δικαστηρίου ψῆφος ἰσχύσει παρ' ἡμῖν ἐσπουδακότα. 2. δεῖ μὲν οὖν ἐφ' ἅπαντι ἀδικήματι χρήσασθαι ταῖς ὡρισμέναις τιμωρίαις, μάλιστα δὲ ἐπὶ τούτοις οἷς οὐδὲν τῶν ἄλλων ἴσον. τὰς γάρ, οἶμαι, τῶν ἀδικημάτων ὑπερβολὰς ἀπαραιτήτως προσήκει κολάζειν εἰδότας ὡς ἐν μὲν τοῖς μικροῖς εἴ τις φανείη πρᾷος, ἔλαττον ἔβλαψεν, ὁ δὲ τοῖς μεγίστοις μὴ τὴν ἀξίαν ἐπιθεὶς αὐτὸν ἐζημίωσεν. 3. εἰ μὲν οὖν νῦν ἀφεθεὶς μὴ πάλιν ἔμελλε τῶν αὐτῶν ἐπιθυμήσειν, οὐδ' οὕτω μὲν ἐχρῆν αὐτὸν ὧν ἐβουλεύσατο ἤδη μὴ δοῦναι καὶ δίκην, ἴσως δ' ἄν τις ἦν λόγος μαλακισθεῖσιν· ἐπεὶ δὲ τοσούτῳ μᾶλλον ἕξεται τῆς τυραννίδος, ὅσῳ ἂν καὶ τῆς κρίσεως καὶ ἡμῶν

---

3 προοίμιον α^{ον} in marg *B* 7 προοίμιον β^{ον} in marg *B* 14 ἐκ τοῦ ἐναντίου in marg *B*

---

5 καταλύσαι *PaBL* edd | παρέδωκαν reposui e libris ut coni Re παρέδωκεν edd | χρήσασθε reposui e libris cum Sinteni χρήσασθαι edd 6 ταῖς — 8 χρήσασθαι om *BaPa* | τοῖς *BL* 7 ἰσχύσῃ *B* | ὑμῖν *Vi* 8 ἅπαντος ἀδικήματος *B* 9 τούτων *BaPaB* τούτου *L* τούτῳ *Vi* 10 ἴσον *Ba* 11 εἰδότες (ας supra) *Vi* 12 σμικροῖς *PLVi* edd | φανείη reposui e libris φανῇ edd 13 δὲ post μὴ *BaPa* | αὑτὸν *BaPaPL* edd 14 μενοῦν edd | ἔμελλε reposui e libris cum Iacobsio Lect Sinteni ἔμελε edd 16 ἐβουλεύσατο scripsi e *BaPaB* ἐβούλευσεν *PLVi* edd | *„sic distinguo:* ὧν ἐβούλευσεν ἤδη, μὴ δ." Re | δὲ *Ba* 17 καὶ ante λόγος *PLVi* edd delevi | „μαλακισθεῖσιν] *scil.* ὑμῖν *quod nescio an sit addendum*" Re 18 ὑμῶν

καταγελάσῃ, δότω δίκην ἀμφοτέρων, ὧν τε ἐξελήλεγκται καὶ ὧν δῆλός ἐστι ποιήσων, εἰ μὴ κολασθείη.

4. *Ἐνθυμήθητε δὲ οἵαν πολιτείαν οὗτος ἀναιρῶν οἵαν ἀντεισάγειν ἐπεχείρησεν. ἡμῖν οἱ πατέρες μετὰ τῆς πόλεως δημοκρατίαν παρέδωκαν, καθ' ἣν ζῶντες καὶ πολιτευόμενοι τῶν ἀγαθῶν ἀπολαύομεν καὶ τὰ δυσχερῆ διαφεύγομεν καὶ νόμοις χρώμεθα πρὸς ἀλλήλους βίας ἀπούσης. ἡ βουλὴ προβουλεύει, ὁ δῆμος ἐκκλησιάζει, τὰ δικαστήρια τοῖς ἀδικουμένοις ἀμύνει, τοὺς ἀδικοῦντας κολάζει.* 5. *ἄρχει δὲ οὐχ ὁ βουλόμενος, ἀλλ' ὅτῳ τοῦτο δί-* R IV 917 *δωσιν | ὁ κλῆρος ἢ χειροτονία τοῦ δήμου. κατὰ τούτους γὰρ τοὺς νόμους πρέσβεις ἀποστέλλομεν, πρέσβεσι χρηματίζομεν. τὸ βῆμα δὲ ἀνέῳκται τοῖς βουλομένοις λέγειν. τῶν δὲ λεγόντων ὁ μὲν ἃ μὴ προσήκει πείσας ἔδωκε δίκην, ὁ δὲ τὰ δέοντα εἰπὼν τετίμηται. ὁ δὲ πράξας ὁτιοῦν εἰς τοὺς λογιστὰς ἄγεται, καὶ οὐδὲν ἀνεξέταστον ἐν δημοκρατίᾳ.* 6. *πολλῶν δὲ ἡμῖν ὑπαρχόντων νόμων οἳ τὰ ἀδικήματα κωλύουσι μέγιστα πάντων ὠφελεῖν δοκοῦσιν οἱ τὴν δημοκρατίαν συνέχοντες. οὗτοι δέ εἰσιν οἱ πικρὰς τιμωρίας ἐπὶ τοῖς τυράν-*

11 Dinarch. or. I 114 p. 104, 45 16 Chor. Milt. theor. 1 p. 3, 12 20 Arist. rep. Ath. 16, 10

4 *ἔκθεσις* in marg *B*

reposui e libris (sed *ὑμῶν Vi*) *ἡμᾶς* edd sed *ἡμῶν* aut *ὑμῶν* coni Re

1 *καταγελάσῃ* scripsi *καταγελάσοι B καταγελ*[ά] *Ba καταγελάσει PLVi* edd *κατεγέλασε Pa* | *ἐξελήλεγκται* scripsi e *Vi* *ἐξελήλεκται* reliqui libri edd 4 *ἐπεχείρησεν. ἡμῖν οἱ* scripsi e *B* *ἐπεχείρησεν ἡμῖν. οἱ* reliqui libri edd | *οἱ* om *Pa* 5 *παρέδω*[κ] *Ba παρέδωκεν Pa κατέστησαν Vi* 8 *μίας ἀπάσης Ba Pa* 10 *τοῦτο* inserui e *BaB* *τούτῳ Pa* om *PLVi* edd 11 *ἢ*] *ἡ* libri *ἢ ἡ* Re 15 *ποιῶν L*

νοις ὁρίσαντες. καὶ γὰρ ζῶντας μισοῦσι καὶ τεθνεῶτας πολεμοῦσιν εἴργοντες ταφῆς καὶ ῥίπτειν κελεύοντες εἰς ὕβριν τὰ σώματα. κἂν ἀποκτείνῃ τις τύραννον, χαλκοῦς εὐθέως καὶ μετὰ θεῶν θαυμάζεται. ὃ γὰρ ἡγοῦνται ταῖς πόλεσι βλαβερόν, τοῦτο εἴ τις ἐκκόπτει, καὶ τῷ τιμᾶσθαι τοὺς ἄλλους πάρεισι. 7. *τί μαθόντες οὖν οὗτοι τὸ τῆς δημοκρατίας ἡγοῦνται μέγα; τὸ τῆς ἐλευθερίας. τυραννίδα δὲ καὶ ταύτην οὐκ ἔνι συνελθεῖν, ἀλλ' ὁμοῦ γεγένηταί τις τῶν ὅλων κύριος καὶ τὴν τοῦτο παθοῦσαν πόλιν ἀνάγκῃ δουλεύειν. ὅπερ γὰρ τοῖς ἀργυρωνήτοις οἱ δεσπόται, τοῦτο τοῖς ἀρχομένοις οἱ τύραννοι. δημοκρατία δὲ τὸ ἴσον νέμει καὶ τὸ δίκαιον τιμᾷ καὶ τὸ πλέον κολάζει καὶ τοὐναντίον ἐκβάλλει κοινὰ πᾶσι τὰ παρ' αὑτῆς ἀγαθὰ προτιθεῖσα.* 8. *πένης τίς ἐστιν, ὁ δὲ εὔπορος. ὁ μὲν οὖν φαῦλός ἐστι τοὺς τρόπους ἐν τῷ πλουτεῖν, ὁ δὲ ἀμείνων ἐν τῷ πένεσθαι. πλέον ἐστὶν οὐδὲν τοῦ τὴν ἀρετὴν ἔχοντος, χρήματα δὲ οὐκ ἔχοντος, ἀλλ' ὁ μὲν ἐν τάξει καὶ πιστεύεται, ὁ δὲ ἀπέρριπται καὶ μισεῖται. γαμεῖ τις καὶ θαρρεῖ περὶ τῆς γυναικός. παίδων γεγένηται πατὴρ καὶ περὶ τούτων οὐ δέδοικεν ὕβριν. ἔνεστι* | *δὲ εὐπορεῖν μὲν ἄνευ τοῦ διὰ τοῦτο* R IV 918

1 sq. cf. t. IV 1004, 8 R sq. 3 Dem. Lept. § 70 p. 478, 5
12 Thuc. II 37, 1

3 *κἄν B* | *τίς PaBPL* 4 *καὶ* om *Vi* | *τῶν* ante *θεῶν B* | *ἡγοῦντο τοῖς πάσχουσι BaPa* 5 *ἐκκόπτῃ* Re 6 *τὸ Vi* 7 *ἦν οὕτω BaPa* | *ὅτι* ante *τὸ B* 8 post *ἐλευθερίας* lac 6 fere litt *B* sed *ἔχει καλὸν ἴσον ἢ ἄλλο τι τοιοῦτον* in marg man recent | *δὲ* om *Vi* 10 *τούτου Pa* 11 *καὶ* ante *τοῖς PLVi* edd delevi | *ἀργυρωνήταις Pa* 14 *αὑτῆς BaPaB* edd *αὐτοῖς PLVi* 20 *τίς PaBL* 21 *τούτων* scripsi e *BaPaB* *πάντων PLVi* edd 22 *ἀπορεῖν PaB* | *διατοῦτο PaBP*

πάσχειν κακῶς, ζῶντα δὲ ἐν μικροῖς τοῖς οὖσιν ἀπὸ τῆς ἀρετῆς εὐδοκιμεῖν. 9. ἔτι τοίνυν οἱ δημοκρατούμενοι ζῶσι μὲν σωφρόνως οὐδενὸς ὄντος τοῦ βιαζομένου πρὸς ὕβριν, ζῶσι δὲ ἐλευθερίως. τοῦτο δὲ αὐτοῖς ἐμποιεῖ φρόνημα γενναῖον. τῷ φρονήματι δὲ ἀκολουθεῖ τὰ ἔργα, καὶ τοὺς ἐν ταύτῃ τῇ πολιτείᾳ ζῶντας τὰ μέγιστα ἂν εὕροι τις καὶ κάλλιστα εἰργασμένους. καὶ τὰ σεμνότατα τρόπαια τούτων ἐστὶ κἀν τοῖς πολέμοις πλέον ἔχουσι τῶν τυραννουμένων. ἅτε γὰρ οὐκ ἄλλως πονοῦντες ἄνδρες ἐν ταῖς μάχαις βουλεύονται τὰ δέοντα προστιθέντες τὰ ἔργα. 10. διὰ μὲν δὴ ταῦτα τὰς ἄλλας πολιτείας ἀτιμάσαντες οἱ πρόγονοι ταύτῃ τὴν πόλιν διῴκησαν, οὑτοσὶ δὲ περινοῶν μείζω τῶν καθεστώτων ἐτράφη μὲν ἐν τοῖς νόμοις, ὑπερεῖδε δὲ τῶν νόμων καὶ ταπεινὸν ἡγησάμενος τὸ τοῖς νόμοις ἐμμένειν ἐπεχείρησεν ἀντὶ τῶν ὡρισμένων ἡμῖν δικαίων αὐτὸς καταστῆναι καὶ τὴν τῆς πολιτείας ἰσχὺν εἰς ἑαυτὸν μεταθεῖναι. 11. εἶδεν, ὦ Γῆ καὶ Ἥλιε, πρὸς τὰ μετέωρα, δορυφόρους ἐνενόησεν, ὕβρεως ἐπεθύμησε, βίαν ἐζήτησε καὶ τὸ καθ' ἑαυτὸν διέλυσε μὲν τὴν βουλήν, ἔκλεισε δὲ τὰ δικαστήρια, κατέλυσεν ἀρχάς, κατέλυσε θυσίας, συνέχεε τὸ ἴσον, ἐπήγαγε δεσποτείαν.

1 sq. Thuc. II 37, 1   18 cf. ad t. VII 735, 3   19 cf. p. 204, 10; 208, 6. Thuc. III 72

1 ἀπὸ scripsi auctore Markowskio ὑπὸ libri edd   4 ἐμποιεῖ αὐτοῖς *Vi*   6 πόλει *Pa*   7 εὕροι scripsi e *BVi* εὕρῃ reliqui libri edd | τίς *PaPL*   8 κἀν τοῖς πολέμοις scripsi ut coni Re κἂν (καὶ *BaPaB*) τοῖς πολεμίοις libri edd   9 τυράννων *Vi*   10 δέοντα scripsi e *BaPaB* δίκαια *PLVi* edd 12 ταύτῃ scripsi ταύτη *B* ταύτην *BaPaPLVi* edd   14 τὸν νόμον *Pa*   20 καθ' ἑαυτὸν scripsi e *BaPaB* καθ' αὑτὸν *PLVi* κατ' αὐτὸν edd   21 ἀρχάς scripsi e *BaPaB* ut coni Re ἀρχὴν *PLVi* edd   22 ἶσον *Ba* | δεσποτείαν scripsi e *Vi* coll t. IV 974, 20 R δεσπό^τ^ *BaPa* δεσπότην *B* δεσπότας *P* edd δεσπόταν *L*

12. Ἦ που ταῦτα πρὸς σαυτόν, ὦ κακὴ κεφαλή, διελέχθης· πλουτῶ. καὶ τί μοι κέρδος εἰς πενίαν οὐ παροινοῦντι; ἐρῶ γυναικός. εἶτα δεῖ με ποθεῖν ἀντὶ τοῦ λαβεῖν δι' ἁρπαγῆς, κἂν ἁλῶ, κολάζομαι. εἶτ' εὐθὺς ἕπεται κατήγορος καὶ γραφὴ καὶ ὕδωρ καὶ ψῆφος καὶ τίμημα, ταῦτα τὰ τῆς δημοκρατίας ἐπιχώρια. δεῖ ποτε γενέσθαι ἐλεύθερον, ὡς νῦν γε δουλεύω τοῖς ῥήμασι. 13. ταῦτα ἴσως εἶπε πρὸς ἑαυτόν. ἀπὸ τούτων ἦλθεν ἡμῖν εἰς τὸ καλὸν ἐγχείρημα, | οὗ τὴν πεῖραν R IV 919 ἐκώλυσαν μὲν οἱ θεοί, λογισμῷ δὲ ἰδεῖν ἔστι. μὴ γὰρ ὅτι μὴ πεπόνθαμεν σκοπείτω τις, ἀλλ' ὅσα ἂν ἦμεν πεπονθότες, εἰ μή τις θεῶν ἐκώλυσε καὶ ὑμεῖς οἱ γραψάμενοι. 14. δεῖ τοίνυν ἡμᾶς ὀργὴν ἔχειν οὐ ⟨τὴν⟩ τῶν ἐκπεφευγότων, ἀλλὰ τῶν δουλευόντων. πόσοι μὲν ἂν ἐδέδεντο νῦν, πόσοι δ' ἂν ἔφευγον τὴν οἰκείαν, πόσοι δ' ἂν ἐδημεύοντο, πόσοι δ' ἂν ἔπινον κώνειον. ὁ μέν τις ἂν ἡμῶν ἐδάκρυε παῖδα σφαττόμενον, ὁ δὲ θυγάτριον ἀποσπώμενον, ὁ δὲ γύναιον παροινούμενον, οἱ-

1 cf. ad p. 191, 10   19 cf. t. V 58, 16

1 *σαυτόν* scripsi e *PL* *σεαυτὸν Vi* edd *αὑτὸν BaPa* *ἑαυτὸν B* 2 *διειλέχθης BaB* *διελέγχθης Pa* *διηλέχθης PL Vi* Mor | *τίς L* | *μὴ B* 3 *παροινοῦντα PLVi* Mor qui *παροινοῦντι* coni 4 *ποθεῖν* scripsi auctore Re *παθεῖν PL* sed in hoc *παθ* in ras, *Vi* edd *πείθειν BaPaB* | *κἂν ἁλῶ* om *Vi* 6 *γραφὴ* scripsi e *BaPaBPVi* ut coni Iacobs Ach T 1031 Lect Sintenis *ταφὴ L* edd 7 *τὰ* inserui e *BaPaB* om *PL Vi* edd 12 *τίς PaB* | *ὅσα* scripsi e *Ba* *ὡς* reliqui libri edd sed *ὅσ'* coni Re 13 *ὑμεῖς* (η supra ὑ) *P* *ἡμεῖς Vi* | *οἱ γραψάμενοι* scripsi e *Ba* sed *ὁ* del, coll t. II 272, 7 *οἱ ἐγγραψάμενοι PaBVi* *εἰ ἐγγραψάμενοι PL* edd sed *οἱ ἐγγραψάμενοι* (*vos, patres conscripti*) coni Re 14 *ὑμᾶς BaB* | *τὴν* inserui om libri edd 15 *ὅσοι* libri Mor corr Re 16 *πόσοι — οἰκείαν* inserui e *BaPaB* om *PLVi* edd | *πόσοι δ' ἂν*] *καὶ ὅσοι BaPaB* 17 *ἔπινον* scripsi e *BaPaB* *ἐπὶ PL* *ἔπιον Vi* edd 18 *ὑμῶν BaB* | *ἐδάκρυσε Vi*

μωγὴ δ' ἂν κατεῖχε τὴν πόλιν ὑπὲρ τῶν πεπραγμένων, ὑπὲρ τῶν ἐσομένων, ὑπὲρ τῶν γινομένων. 15. *ὧν οὗτος ἁπάντων δότω δίκην καὶ βουληθεὶς δρᾶσαι δοκείτω δεδρακέναι. τί γὰρ τῶν δοκούντων εἶναι δεινῶν οὐ νενίκηκε τοῖς ἑαυτοῦ; δεῖ τὸν μοιχὸν ἀποθνήσκειν. πολλῷ μᾶλλον τὸν τύραννον. πολλοὺς γὰρ ἀποσφάττει καὶ τοῦτο ἔστιν ἥδιστον αὐτῷ τὸ πολλοὺς κατενεγκεῖν. μισεῖ τις τοὺς τὰ τῶν θεῶν ἀφαιρουμένους, ὁ δὲ τύραννος οὐδὲν δεῖται κλέπτειν, ἀλλὰ φανερῶς ἁρπάζει. χαλεπώτατον κέκριται τὸ κινεῖν τάφους, ὁ δὲ τύραννος ἀποστερεῖ ταφῆς τὴν ἀρχὴν τοσούτῳ τῶν ἐκεῖνο ποιούντων χαλεπώτερος ὥστε πολλῶν θανάτων ἄξιος κρίνεσθαι. ἃ γὰρ ἐκεῖνοι διελόμενοι τολμῶσι μόνος συνείληφε.*

16. *Δοκεῖ δέ μοι μὴ τοῦτο εἶναι προοίμιον τῶν τούτου κακῶν, ἀλλ' ἐκ πολλῶν καὶ μεγάλων ἐνταῦθα ἥκει τῷ τὴν πόλιν εἰς δουλείαν ἐμβαλεῖν ἐθελῆσαι. καὶ καταφρονήσας ἐν ἐκείνοις τῶν νόμων ἥψατο τοῦ κεφαλαίου. καὶ γὰρ οὕτως ἔχει· πρὸς ἄκρον ἀρετῆς*
R IV 920 | *καὶ κακίας αἱ μελέται τοὺς ἀνθρώπους ἄγουσι.*

13 cf. p. 178, 2 sq.

5 *σύγκρισις* in marg *B* 13 *γνώμη* in marg *B*

2 *ὧν* scripsi e *BaPaBPVi* ut coni Re *ὡς L* edd 4 *δεινὸν Pa* 7 *ἥδιστον* scripsi e *BaPaB* *ἥδιον PVi* edd *ἴδιον L* 8 *τίς PaBPL* | *τοὺς* om *Vi* | *τῶν* om *Pa* | *ἀφαιρούμενα Vi* 10 *χαλεπώτατον* scripsi auctore Re *χαλεπώτερον* libri edd 11 *καὶ ταφῆς ἀποστερεῖ Vi* | *ἀποστερεῖται BaPaB* | *καὶ* post *ἀποστερεῖ PLVi* edd delevi 12 *χαλεπώ*$^{\tau}$ *Ba* *χαλεπώ*$^{\tau\rho}$ *PaB* *χαλεπώτερον PLVi* edd 13 *κρίνεσθαι* scripsi *κρίνεται PLVi* *κρίνηται* edd om *BaPaB* 16 *ἐνταῦθα* reposui e libris *ἐν ταῦτα* edd sed *ἐς ταῦτα* coni Re 17 punctum post *ἥκει* edd delevi | *τῷ* scripsi *τὸ* libri edd 19 *οὗτος* Mor

καὶ δεῖ καὶ τοῦτον νομίζειν πολλὰ μὲν εἰς τοὺς ἐντυγχάνοντας ὑβρικέναι, πολλοὺς δὲ λελυκέναι γάμους, πολλοὺς δὲ ἀποστερῆσαι χρημάτων, δίκην δὲ ἐν ἐκείνοις οὐ δόντα κἂν τούτῳ ἐλπίσαι.

17. *Φιλοτιμίας ἐπιθυμεῖς, ὦ κακὴ κεφαλή, καὶ τοῦ δοκεῖν εἶναί τις. εἶτα οὐκ εἶδες τὰς ἄλλας ὁδοὺς ἀφ' ὧν ἔστι καὶ σεμνὸν εἶναι καὶ μηδὲν ἀδικεῖν, ἃς οἱ πολλοὶ τῶν πολιτῶν ἐλθόντες εὐδοκιμοῦσιν ἀγαπώμενοι; τί δὲ ταῦτά ἐστι; χρήματα ἐπίδος, χορήγησον ἑκών, γενοῦ φιλάνθρωπος εἰς θυγατέρας πενήτων, χρῆσαι τῷ πλουτεῖν εἰς δέον, ἐν ἐλευθέροις θαυμάζου.* 18. *ἀλλὰ μικρὰ τούτῳ ταῦτα καὶ οὐκ ἄξια τοῦ φρονήματος, ἓν δὲ ἱκανόν, ὡς ἔοικεν, ἡ τυραννὶς καὶ τὸ πάντα συγκεχύσθαι καὶ τὸ μηκέτ' εἶναι τοὺς νόμους καὶ τὸ δεσπότην ἀντὶ τῶν νόμων εἶναι καὶ τὸ ἀπὸ νεύματος ἐξεῖναι πληροῦν τὰς ἡδονάς.*

19. *Εἶτα ταῦτα βουλεύσας καὶ μικροῦ δεδρακὼς εἰς δάκρυα καταφεύξεται. καὶ τίς οὐκ οἶδεν ὅτι τύραννος*

9 cf. ad p. 172, 20

5 *παρέκβασις* in marg *B* 17 *ἐλέου ἐκβολή* in marg *B*

1 *δεῖ καὶ τοῦτον* scripsi e *BaPaB* *δὴ καὶ τοῦτο δεῖ PLVi* edd 3 *πολλοὺς δὲ*] *καὶ πολλοὺς BaPaB* | *ἀποστερῆσαι χρημάτων* scripsi e *BaPaB* *χρημάτων* (*χρήματα* Mor Re) *ἀποστερῆσαι PLVi* edd 4 *κἂν τούτῳ* scripsi cum Iacobsio Lect *καὶ τοῦτο* (*τοῦτ' Pa*) libri edd 6 *εἶναι τίς PaB* | *οἶδες Pa ᾔδεις Vi* 9 signum interrogationis posui punctum libri edd | *ταῦτά ἐστι; χρήματα* scripsi *ταῦτα ἐστί; χρήματα B ταῦτα ἐστί· χρήματα BaPa ταῦτα, ἐστὶ χρήματα; P ταῦτα;* (; om *Vi*) *ἐστὶ χρήματα; LVi* edd 11 *τῷ* scripsi e *BaPaBVi* ut coni Mor *τὸ PL* edd sed *ἴσ. τῷ* in marg Mor | *ἐν ἐλευθέροις* scripsi e *BaPaB* *ἐν ἐλευθέρῳ PLVi* et coni Re Sintenis *ἓν ἐλευθέρῳ* edd | *θαυμάζον L* 12 *οὐκ ἄξια* scripsi e *BaPaB* *ἀνάξια PLVi* edd 14 *μηκέτι PLVi* edd 15 *νεύματος* scripsi e *BaPaB* ut coni Re *πνεύματος PLVi* edd 16 *πληροῦν τὰς* scripsi e *BaPaBPVi* ut coni Re *πληροῦντας L* edd

οὐκ οἶδε δακρύοντας ἐλεεῖν; μὴ οὖν οἷς ἐχρήσατο ἂν ὠμῶς, τούτων ἀπολαυέτω πράων μηδ' ὃν οὐκ ἐκάμψατ' ἂν δακρύοντες, ἔνδοτε τούτῳ κλαίοντι. πολλῶν ἂν οὗτος κατεγέλασε δακρύων ἀπὸ τῆς ἀκροπόλεως ἰσχύων. οὐκ ἂν ἠλέησε γυναῖκας, οὐκ ἂν ᾤκτειρε γέροντας.

20. Πρὸς δὴ τὸν τοιοῦτον τίνας δεῖ γενέσθαι τοὺς R IV 921 δικαστάς; οὐ πικρούς, οὐκ ἀπαραιτήτους; ἢ | παρὰ τίνος ἔτι λήψεσθε δίκας, εἰ τυραννίδος μὴ λάβοιτε; καὶ γὰρ εἰ χείριστον ⟨μὲν⟩ ἁπάντων εἶναι δοκεῖ τοῦτο, δέξεται δὲ συγγνώμην, κατὰ τῶν ἄλλων οὐκ ἔστιν ὀργὴν λαβεῖν. πῶς γὰρ οὐκ ἄτοπον ἐν μὲν τοῖς μικροῖς χαλεπῶς ἔχειν, ἐπὶ δὲ τοῖς τηλικούτοις πράους δρᾶσθαι; 21. φοβήθητε τοῦτον αὐτόν. οἶδα οἷος ἔσται σωθείς. ὃν γὰρ οὐκ ἐκώλυσεν ἀδικεῖν ὁ τῆς κρίσεως

11 cf. p. 194, 12

6 *νόμιμον* in marg *B* 7 *δίκαιον* in marg *B* 9 *συμφέρον* in marg *B* 14 *δυνατὸν* in marg *B*

2 *ὁμῶς PaVi* | *ἀπολαβέτω PaPLVi* | *πράων* scripsi ut coni Re *πράων BaPaB* *πράως PLVi* edd | *μὴ δ' PaBPVi* | *ἐκάμψατ'* scripsi e *BaPaB* *ἐμέμψατο P* sed *ισ. ἐκάμψ.* in marg man rec, *LVi* edd sed *ἴσ. ἐκάμψατο* in marg Mor, *ἐκάμψατε* coni Re | *δακρύοντας Pa* 4 *ἀπὸ τῆς ἀκροπόλεως ἰσχύων κατεγέλασε δακρύων Vi* | *κατεγέλασεν ὀδυρμῶν BaPa* 6 *δὴ* scripsi e *BaPaB* *δὲ PLVi* edd 8 *παρατίνος Pa* | *λήψεσθε Ba* sed *εσθε* del *λήψεται Pa* | *τυραννίδος* scripsi e *BVi* *τυραννι* (superscr. *δ*) *BaPaP* *τυραννίδα* edd sed „*aut εἰ τυραννίδα μὴ κολάζητε aut εἰ παρὰ τυραννίδος μὴ λάβητε*“ Re *τυραννίδι L* | *λάβοιτε* scripsi e *B* *λάβητε* reliqui libri edd 9 *μὲν* inserui om libri edd 10 *δέξεται* reposui e libris ut coni Re *δόξεται* edd | *συγγνώμην, κατὰ τῶν ἄλλων οὐκ* scripsi e *B* ut coni Re *συγγνώμην κατὰ τῶν ἄλλων, οὐκ* reliqui libri edd 12 *πράους* scripsi ut coni Re *πράους BaPaB* *πράως PLVi* edd 13 *φοβήθητε τοῦτον* scripsi e *BaPaB* *φοβηθήτω τοῦτο PLVi* edd sed „*fort. φοβείτω aut φοβησάτω τοῦτο ἡμῶν ἕκαστον*“ Re *φοβείτω* Sintenis | *οἶδα* scripsi e *BaPaB* *οἶδεν PLVi* edd sed „*fort. οἴδαμεν γὰρ αὐτόν, οἴδαμεν*“ Re *ὃν οἴδαμεν* Sintenis

φόβος, οὗτος τί ποιήσει θαρρήσας; φοβήθητε τοὺς τούτῳ παραπλησίους. εἰσὶ γάρ, εἰσὶν οἷς οὐκ ἀρέσκουσιν οἱ νόμοι. δῆλον γὰρ ὡς, εἰ μὲν κολασθείη, πᾶσαν ἄδειαν ἕξομεν· εἰ δ' ἀποφύγοι, πάλιν ἐν φόβοις ἡ πόλις.

ε'.

Ὑπὲρ τυραννοκτόνου. R IV 921

1. Ἀπειλήφαμεν, ὦ πολῖται, τὴν ἐλευθερίαν τούτου μὲν ἐπιτεθειμένου τῷ τυράννῳ, τῶν θεῶν δὲ συνηγωνισμένων. εἰκὸς οὖν ἡμᾶς ἐκείνους μὲν θυσίαις θεραπεύειν, τοῦτον δὲ τιμαῖς ἀμείβεσθαι καὶ τῆς δημοκρατίας ἄρξασθαι πάλιν ἀπὸ τοῦ νόμου τοῦ διδόντος τῷ καθελόντι τὸν τύραννον γέρας. 2. οἱ μὲν οὖν δορυφόροι καὶ πάντες οἱ τῆς ἐκείνου μερίδος γεγενημένοι δίκην διδόασιν, ὅσοι μὴ διαδράντες ᾤχοντο. καὶ καλῶς τοῦτο γίνεται. δεῖ γὰρ μὴ τυράννους μόνον, ἀλλὰ καὶ τοὺς τὰ ἐκείνων ᾑρημένους μισεῖν. ἔστι τοίνυν ἀκόλουθον τῷ χαλεποὺς εἶναι τοῖς καταλελυκόσι τοὺς νόμους τὸ κοσμεῖν | τιμαῖς τοὺς ὑπὲρ τῶν R IV 922 νόμων ἠγωνισμένους. 3. εἰ μὲν οὖν δῆλον ἦν ὡς οὐδεὶς αὖθις ἐπιθήσεται τῇ πολιτείᾳ, καὶ οὕτω μὲν ἔδει τοὺς ἀπηλλαχότας τῶν ἐπικειμένων κακῶν ἀξιοῦσθαι

---

2 cf. p. 204, 2   8 Chor. tyrannic. p. 51, 15 ed. Boiss.

---

1 φοβήθητε scripsi e *BaPaB* φοβηθήτω *PLVi* edd sed „*leg. est aut* φοβείτω *aut* φοβησάτω" Re   4 δὲ *PLVi* edd | ἀποφύγοι scripsi e *BaPaBVi* ἀποφύγῃ *PL* edd   10 μὲν ante οὖν *PLVi* edd delevi | ἐκείνους scripsi coll t. IV 1000, 2 R τούτους libri edd   12 τοῦ τοῦτο διδόντος *B*   14 καὶ om *Vi*   16 δεινὸν *Vi*   17 ὑπ' ante ἐκείνων libri excepto *B* edd delevi auctore Re | φρονοῦντας *Vi* | ἔτι *BaPaPLVi*   18 τὸ *Vi*   22 προκειμένων *Vi*

τιμῶν, ἣν δ' ἂν οὐδεὶς ἐκ τῆς ἀχαριστίας ὁ κίνδυνος· νῦν δ' ὄντων οὐκ ὀλίγων οἳ τὰ τοῦ τεθνεῶτος μιμήσονται καὶ τοὺς τὰ τούτου ζηλώσοντας πολλοὺς ἀποδείξατε. τοῦτο δὲ γένοιτ' ἂν ἐκ τῆς δωρεᾶς ἡ παρακαλεῖν εἴωθε τοὺς χρηστοὺς ἐπὶ κινδύνους καλούς. 4. νῦν μὲν οὖν δημοκρατούμεθα καλῶς ποιοῦντες, ἕως δὲ ἦμεν ὑπὸ δεσπότῃ, καταλέλυτο μὲν ὁ δῆμος, κέκλειστο δὲ τὸ βουλευτήριον, ἀνῄρητο δὲ τὰ δικαστήρια, νόμων δὲ ἴσχυεν οὐδείς, ἀντὶ δὲ τῶν νόμων ὁ τύραννος ἦν, ὃς τὰ μετέωρα καταλαβὼν καὶ περὶ αὑτὸν ἔχων δορυφόρους καὶ τοξότας καὶ πολλούς τινας φύλακας τί τῶν δεινῶν οὐκ ἐποίει; διέκοπτε μὲν γάμους, κόρας δὲ γάμων ἀπεστέρει, χρήματα δὲ ἥρπαζε, τῶν δὲ μὴ ταῦτα φερόντων τοὺς μὲν ἐδήμευε, τοὺς δὲ ἐξήλαυνε, τοὺς δὲ ἀπέσφαττε, μόνους δὲ φίλους ἡγεῖτο τοὺς ἐπαινοῦντας τὴν ἀδικίαν. 5. ὧν γιγνομένων πάντα ἦν μεστὰ θρήνων, λύπης, ὀδυρμῶν νύκτωρ

2 cf. p. 203, 2 10 cf. ad p. 198, 19

1 οὐδεὶς scripsi auctore Re οὗτος libri edd | ἀχαριστείας *Vi* 2 οἳ scripsi e *BPLVi* οἱ *BaPa* edd | τοῦ inserui e *BaPaB* om *PLVi* edd 3 καὶ om *B* | τοὺς om *BaPa* | ζηλώσαντες *Ba* ζηλώσαντας *PaB* | ἀποδείξετε *BaPaB* 5 ἐπὶ κινδύνους καλούς scripsi e *B* καὶ καλοὺς ἐπὶ κινδύνους *BaPa* ἐπὶ κινδύνους καὶ καλοὺς *PLVi* edd sed „*aut* καὶ *est delendum aut leg.* ἐπὶ κινδύνους καὶ ἀγῶνας καλούς“ Re ἄλλους pro καλούς coni Sintenis 7 ἦκεν *Vi* | δεσπότῃ scripsi e *BaPaB* δεσπο͂ *P* δεσπότου *L* edd δεσποτείαν *Vi* | κατελέλυτο *Vi* edd κατελύετο *B* 8 κατέκλειστο *Vi* ἐκέκλειστο edd | τὰ δικαστήρια scripsi coll. p. 198, 21; 162, 16; 181, 3 τὸ δικαστήριον libri edd 10 αὑτὸν scripsi e *Vi* αὐτὸν reliqui libri edd 12 οὐκ ἐποίει scripsi οὐκ ἐτίθει *BaPaPLVi* edd οὐ διετίθει *B* | μὲν inserui e *B* om reliqui libri edd 13 κόρας δὲ γάμων] καὶ κόρας τούτων *BaPa* 14 ταῦτα μὴ *B* 15 ἀπέσφαττε *Vi* | ἐξήλαυνε *Vi* 16 γινομένων *BaPaB* 17 μεστὰ scripsi e *PLVi* ut coni Re μετὰ *BaPaB*

ὁμοίως καὶ μεθ' ἡμέραν. οἱ μὲν ἔστενον ἐφ' οἷς ἐπεπόνθεσαν, οἱ δὲ ἐν τῷ πάσχειν ἦσαν κακῶς, οἱ δὲ ἐν τῷ φοβεῖσθαι μὴ πάθωσι. τοὺς τικτομένους δὲ ἠλεοῦμεν εἰς οἵαν ἥξουσι πεῖραν κακῶν. 6. οἱ μὲν οὖν ἄλλοι πάντες μέχρι τοῦ καταρᾶσθαι καὶ τοῦτο λάθρα τὸν θεοῖς ἐχθρὸν ἐκεῖνον ἠμύνοντο, ὁ δὲ γενναῖος οὑτοσὶ καὶ δημοτικὸς καὶ εὔψυχος μόνος ἀπέδωκε τὰ τροφεῖα τῇ πόλει. λαβὼν γὰρ ἐγχειρίδιον ὑπὸ μάλης ὥρμησεν ἐπὶ τὸν τῶν ἐλευθέρων δεσπότην. καὶ ὡς ἐπλησίασε ταῖς φυλακαῖς, οὐδὲν ἔφερεν αὐτόν, ἀλλ' ὡς ἐν χειμάρρῳ πάντα κατασύροντι ἢ δαίμονί γε ἀνθρώπους ἐλαύνοντι | τὸν μὲν κατέκοπτε, τὸν δὲ ἔμελλε, R IV 923 τοὺς δὲ ἐδίωκε, τοῖς δὲ ἠπείλει. πᾶς δέ, ὅποι βλέψειεν οὗτος, ἔκειτο. 7. καὶ δὴ τρέχων διὰ τῶν νεκρῶν προσπίπτει τελευταῖον τῷ τὸ κράτος ἔχοντι. ὁ δὲ ὡς εἶδεν, ἀναπηδήσας ἐκ τοῦ θρόνου καὶ πεσὼν εἰς γόνυ ἱκέτευε μέν, ἐλέου δὲ οὐκ ἐτύγχανεν. ἀλλ' ἀποτέμνων ὁ βέλτιστος οὑτοσὶ τὸν τράχηλον ἔλεγε· δέχου πληγὰς ὑπὲρ τῶν πτωχευόντων, ὑπὲρ τῶν ὑβρισμένων, ὑπὲρ τῶν πεφευγότων, ὑπὲρ τῶν τεθνεώ-

8 cf. ad t. VII 448, 19 10 cf. p. 219, 10 et 11 sq.

1 καθημέραν *BaPa* | ἐπεπόνθεσαν scripsi e *Vi* ἐπεπόνθεισαν reliqui libri edd 5 τοῦτο] τοῦ *Pa* 6 οὑτωσὶ *Pa* 7 ἔμψυχος *BaPa* ἄψυχος *PLVi* 8 γὰρ scripsi e *BaPaB* δὲ *PLVi* edd | ἐγχειρίδα *L* | μάλην *BaPaB* 10 ἑαυτὸν *B* 11 φέροντι *Vi* | γε om *BaPa* 12 τὸν (1 et 2) scripsi e *BaPa B* τοὺς *PLVi* edd 13 τοὺς δὲ ἐδίωκε inserui e *B* om reliqui libri edd | τοῖς scripsi auctore Re τὸν libri edd | ὅπη *PL Vi* edd | βλέψειεν οὗτος, ἔκειτο scripsi auctore Re βλέψειεν, οὗτος ἔκειτο libri edd 15 οἶδεν *Pa* 16 καὶ πεσὼν εἰς γόνυ om *Vi* | τὸ ante γόνυ *PL* edd delevi 17 μέν om *Vi* | ἐλέους *BaPa* | ἐτύγχανε *B* 18 ὁ βέλτιστος οὑτοσὶ scripsi e *BaPaB* οὑτοσὶ ὁ κράτιστος *PLVi* edd | ἔλεγεν *Pa* 19 διὰ σὲ ante πτωχευόντων inserendum coni Re

των. ἀπὸ τῶν τοιούτων ἔργων ἥκει καὶ τὸ ξίφος καθαρὸν μὲν ἔχων ἀνέβη, κεκόμικε δ' ἐξ ἀκροπόλεως ἡμαγμένον. καὶ νῦν ἡμεῖς ἐπ' ἐκκλησίας καὶ τοὺς ῥήτορας τὸ βῆμα δέχεται διὰ τὴν τούτου δεξιάν.

8. Δότε δή, δότε τὴν δωρεὰν ἣν οἱ νόμοι κελεύουσιν, οὓς οὗτος ἐπανήγαγε. τιμάσθω μὲν γὰρ καὶ ὁ πρεσβεύσας δικαίως καὶ ὁ γνώμην εἰπὼν συμφέρουσαν καὶ ὁ νόμον θεὶς λυσιτελοῦντα καὶ ὁ χρήματα καὶ τριήρεις ἐπιδούς, δεῖ γὰρ ἅπαντας τῆς ἴσης τυγχάνειν ἀμοιβῆς, ὁ δὲ τοῦ τυράννου σφαγεὺς ὅσῳ μετὰ κινδύνων τὴν εὔνοιαν δεικνύει, τοσούτῳ μείζοσι κοσμείσθω ταῖς δωρεαῖς καὶ πολλῷ μᾶλλον τῶν ἐν πολέμῳ τοῦτο ἐργαζομένων. 9. διὰ τί; ὅτι τοῖς μὲν ἐκεῖνο ποιοῦσι παρὰ τῶν συστρατευομένων ὑπάρχει βοήθεια κἂν μικρόν τις τῶν ἄλλων διενέγκῃ, τῶν κοινῶν πόνων τὴν δόξαν ἠνέγκατο καί τις ἤδη τῶν παρεστηκότων φερόμενον ἐπ' αὐτὸν ἀπεώσατο βέλος, πρὸς δὲ τούτῳ μὲν ἔστι καὶ κράνος καὶ ἀσπὶς καὶ δόρυ καὶ κνημῖδες καὶ ξίφος, ὁ δὲ ἐπὶ τὸν τύραννον ἐρχόμενος αἰφνιδίως τῷ
R IV 924 λανθάνοντι πιστεύει μόνῳ. | δεῖ γὰρ εἶναι τὰ

9 cf. ad p. 172, 20

1 *τῶν* inserui e *BaPa* om *BPLVi* edd 2 *οὖν* post *μὲν BaPa* | *δὲ BaPaB* 6 *ἐπανήγαγεν BaPL* edd 7 *πρεσβεύσας* scripsi e *B* *πρεσβευτὴς BaPa* et coni Re *πρεσβύτης PLVi* edd 9 *ὁ* ante *τριήρεις BaPa* 10 „*post μετὰ deesse videtur μειζόνων aut πλειόνων*" Re | *κινδύνου B* 11 *δείκνυσι B* 12 *καὶ* — 13 *ἐργαζομένων*] *δίκαιον μὲν γὰρ καὶ τὸν ἀριστεύοντα κατὰ πόλεμον τιμᾶν πολὺ μέντοι μᾶλλον τοὺς ὅπερ οὗτος ἐργαζομένους B* 13 *ποιοῦσιν ὑπάρχει παρὰ B* 14 *συστρατευομένων* scripsi e *BaPaBVi* *συστρατευόντων PL* edd | *ὑπάρχει* om *Vi* 15 *τις* scripsi *τι* libri edd | *διενέγκῃ* scripsi e *BaPa B* *διενέγκοι PLVi* edd | *κοινῶν*] *μικρῶν Pa* 16 *κἄν τις ἴδῃ B* 17 *ἀπεώσατο* scripsi e *BLVi* *ἀπώσατο BaPa* *ἀπέωστο P* edd sed „*malim ἀπέωσε*" Re | *το* ante *βέλος Pa* | *τούτων BaPa* *τούτοις, τῷ B* 18 *κνημίδας PL* *κνημίδαι Vi* 20 *γὰρ*] *δὲ B*

ἄλλα γυμνόν, εἰ μέλλει τι δράσειν ἐκ τοῦ μὴ προκηρύττειν τὴν γνώμην. εἰ δὲ τὸ μόνον ἐν μέσῳ τοσούτων ὁπλιτῶν στρέφεσθαι μεῖζον τοῦ μετὰ φάλαγγος ὁρμᾶν, σεμνότερον ἀριστείας ἡ τοῦ τυράννου σφαγή. 10. *Μέγα μὲν οὖν καὶ τὸ νῦν πεπραγμένον, ἄξια δὲ τιμῶν καὶ τὰ πρὸ τούτου. διδάσκει γάρ με τὸ νῦν γεγενημένον τίς ἦν οὗτος τὸν παρελθόντα χρόνον. δοκεῖ γάρ μοι σώφρων τε καὶ δίκαιος γεγενημένος καὶ μέτριος καὶ φιλόπολις καὶ τὸ σῶμα πόνοις καὶ μαθήμασι τὴν ψυχὴν ἀσκῶν ἀπ' ἐκείνων εἰς τὸ καὶ τὰ τοιαῦτα θαρρεῖν ἀφῖχθαι.* 11. *τίς οὖν εὖ φρονῶν οὐκ ἂν αἰδεσθείη τὴν τούτου γνώμην; ὃς ᾠήθη δεῖν ἢ παῦσαι τὴν ἀθυμίαν ἢ μηκέθ' ὁρᾶν τὸν ἥλιον. οὐ γὰρ ὥσπερ τῶν στρατηγῶν τις ἀνέβαινεν οὐδὲ τοῦτ' ἤκουσε παρὰ τῶν μάντεων, ἀλλ' ὡς ἔχον αὐτῷ καλῶς ἢ κατενεγκεῖν ἢ πεσεῖν.* 12. *τῷ δὲ τὴν ψυχὴν ἐπιδόντι τῇ πόλει δότω τιμὴν ἡ πόλις. οὐ γὰρ ἐπαχθὲς οὐδὲν αἰτήσει. ποῦ γάρ, εἰπέ μοι, βαρὺ θαλλοῦ στέφανος ἢ κήρυγμα; ποῦ δὲ εἰκὼν ἢ σίτησις ἐν πρυτανείῳ; μᾶλλον δέ, καὶ γῆν εἰ βούλεται καὶ χρήματα λαμβάνειν, λήψεται ἀπὸ τού-*

---

Ἀχιλλεὺς ἐν ὅπλοις, ὁ δὲ ἐν συνέσει. τοῦτο δὲ ἰσχυρότερον ἐκείνου. ὅλως δὲ ὅ τι πέπρακται ἐπὶ Τροίας γενναῖον, δι' Ὀδυσσέως πέπρακται τοῦ κατασχόντος τοὺς Ἕλληνας ἐπὶ τοῦ πολέμου μέχρι τέλους. καὶ τὸ ἔτι μεῖζον, ὅσῳ χαλεπώτερος Ἕκτορος ὁ Κύκλωψ, τοσούτῳ κρείττων ὁ τούτου κρατήσας τοῦ κτείναντος ἐκεῖνον. καὶ μὴν τῶν μὲν οὐκ ἐπανηκόντων εὐτυχέστερος, τῶν δὲ ἐπανηκόντων σεμνότερος δι' ὧν ἐπαναπλέων κατώρθωσεν.

25. *Εἰ δὲ μέγιστον εἰς εὐδαιμονίαν τὸ ὧν τις ἐπιθυμεῖ καλλίστων τυχεῖν, καὶ τοῦτο Ὀδυσσέως. τὴν γὰρ Ἰθάκην ἰδὼν καὶ τῶν αὐτοῦ κύριος καταστὰς γηραιὸς ἐτελεύτησεν.*

γ'.

Ἐγκώμιον Ἀχιλλέως. R IV 931

1. *Ὅμηρος ἐραστήν με κατέστησεν Ἀχιλλέως, οἶμαι δὲ καὶ πάντας ὅσοι τῆς ἐκείνου μετέσχον ποιήσεως. ἐρεῖν δὲ πάντα οὐκ ἂν δυναίμην, ἀλλ' ὅσα ἐπέρχεταί μοι τὸν ἥρω κοσμεῖν ἔχοντα μὲν παρὰ τοῦ ποιητοῦ τὴν ἀξίαν, δίκαιον δὲ ὄντα καὶ τῆς παρ' ἐμοῦ δυνάμεως ἀπολαῦσαι, κἂν ᾖ σμικρά.*

---

18 cf. t. I 275, 15. III p. XXIX

---

2 *δὲ ὅ τι* scripsi *δὲ ὅτω B δέτι ὃ PLVi δ' ἔτι ὃ* edd sed „*fort. δὲ ὅ,τι καὶ*" Re *δὲ ὁτιοῦν* Iacobs Lect Anth. Pal. III 58 | *ἐπὶ τροίαν PLVi περὶ τροίαν B* sed *ἐπὶ τροίας* suprascr m²
3 *τὸν κατασχόντα B* sed *τοῦ κατασχόντος* suprascr m²
5 *ἕκτορος* in marg *B²* | et 6 *ὁ* inserui e *B* om *PLVi* edd sed *ὁ* (2) inserendum coni Re 6 *τοῦ κτείναντος ἐκεῖνον* in marg *B²*
7 „*fort. καὶ μὴν καὶ τῶν*" Re | *μὲν* — 8 *δὲ* inserui e *B* om *PLVi* edd 8 *σεμνότερα LVi* | *δι' ὧν* scripsi e *B οἷς PLVi* et suprascr *B²* edd 12 *αὑτοῦ PLVi* edd
17 *πάντες Vi* 19 *βουλομένῳ* ante *κοσμεῖν* inserendum coni Re fortasse recte | *περὶ P* et *γρ* in marg Mor 20 *παρ' ἐμοῦ* om *Vi*

2. Ὅτι μὲν δὴ πρόγονος αὐτῷ τῶν θεῶν ὁ κορυφαῖος καὶ ὅτι τὸ τῶν Αἰακιδῶν γένος κρεῖττον τῶν ἄλλων ἡμιθέων, περὶ μὲν ταῦτα τί δεῖ καὶ διατρίβειν; ὧν κοινωνοῦντες εὑρίσκονται πλείους. ἀλλ' ἥ γε μήτηρ αὐτοῦ θεὸς καὶ τροφὴ μυελοὶ λεόντων ἀντὶ γάλακτος. οἷς ἀμφοτέροις πολὺ διήνεγκεν. οὐ γὰρ τίτθη παραλαβοῦσα τὸ παιδίον μαστοῖς ἔτρεφεν, ἀλλ' ἣν ὁ Χείρων ᾔδει πρὸς ἀνδρείαν αὐτῷ συμβαλουμένην ⟨τροφήν⟩, ταύτην | ἐπενόησε τὴν κοινὴν ἀνθρώπων
R IV 932 ἀφείς. 3. οὗτος γὰρ ὁ Κένταυρος εἰς πάντας μὲν ἥρωας ἀπέθετο τὰ παιδεύματα, περὶ δὲ τὸν Πηλέως καὶ Θέτιδος μᾶλλον ἐφιλοτιμήσατο πάσης παιδείας ἐμπιπλὰς αὐτῷ τὴν ψυχήν, τοῦτο μὲν μουσικῆς, τοῦτο δὲ ἰατρικῆς, ὥστε τῇ μὲν πραΰνειν τὸν θυμόν, τῇ δὲ ἀπελαύνειν τὰ νοσήματα. 4. ἤσκει δὲ καὶ τὼ πόδε πρὸς τάχος ἀναγκάζων αὐτὸν παραθεῖν. τά γε μὴν πολεμικὰ δεινότατον ἁπάντων ἀπειργάσατο καὶ τὴν γνώμην ἔτρεψεν αὐτοῦ πρὸς τὸν Ἡρακλέους ζῆλον, ὥστε πλείονος τὸν ἀγῶνα ἦγεν ὧν ἀπὸ τῆς εἰρήνης ἡδέων ἐπεθύμουν

---

5 cf. ad t. IV 223, 19

---

1 δὴ om *B* 5 τροφοὶ *P* τροφὸς *L* τροφαὶ *Vi* et coni Mor[1] 1 corr Barb 6 ἀμφο^τρ´ *P* ἀμφότερα *L* | διήνεγκε *Vi* | τήθη λαβοῦσα *B* 7 ἔτρεφε μαστοῖς *B* | τροφὴν post ἣν inserendum coni Mor Re, post 8 συμβαλουμένην inserui | ἀνδρίαν Barb Cam | αὐτῷ scripsi e *B* ut coni Re αὐτοῦ *PLVi* edd | συμβαλουμένην scripsi auctore Re συμβαλλομένην libri edd 10 μὲν om *Vi* 12 ἐφιλοτιμήθη *Vi* Barb Cam 16 αὐτὸν libri edd | παρελθεῖν *L* | δεινότατον scripsi e *BPVi* cum Cam δεινότητα *L* δεινότατος Barb δεινότερον Mor Re 17 γνώμην scripsi cum Sinteni ῥώμην libri edd | ἔθρεψεν *PLVi* Mor sed ἔτρεψεν coni Not fol. e, Re 18 αὐ^τ *P* αὐτῷ *L* Mor Re | ἡρακλέος *PL* | πλείονος scripsi auctore Re πλείων *B* πλείονα *PLVi* edd

ἕτεροι. 5. διέδειξε τοῦτο καλῶς ὁ Τρωικὸς πόλεμος. οὗ τοὺς μὲν ἄλλους μετασχεῖν ἐποίησε τὸ πρόσθεν ὀμωμοκέναι, ἔδει γὰρ ἢ τοῖς Τρωσὶ πολεμεῖν ἢ πολεμεῖσθαι παρὰ τῶν κρειττόνων ὡς τῶν συνθηκῶν ἀμελουμένων. εἰ δέ τίς μοι λέγει Σκῦρον καὶ παρθενῶνα καὶ σχῆμα γυναικεῖον, συκοφάντην ἔγωγε τοῦτον ἡγοῦμαι καὶ κακοδαίμονα καὶ ψευδολόγον. οὔτε γὰρ τῆς παρὰ Πηλέως ἀρετῆς οὔτε τῆς παρὰ Χείρωνι παιδείας οὔτε τῆς Ἀχιλλέως φύσεως ταῦτά γε ἄξια. 6. ἀλλ', εἰ δοκεῖ, δῶμεν αὐτὸν καὶ κρυφθῆναι καὶ πάλιν ἐκπηδῆσαι τοῦ παρθενῶνος. τάχα γὰρ ἂν καὶ τοῦτο μέρος τῆς εὐφημίας εἴη, εἰ τῇ τε μητρὶ φοβουμένῃ χαρίσασθαι δεῖν ᾠήθη καὶ τὴν φύσιν οὐ κατῄσχυνεν οἷς ὑπήκουσε τῷ καλοῦντι. 7. ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι τοῖς μὲν ἄλλοις οὐδὲ βουλομένοις ἐνῆν μὴ στρατεύειν, ἐνεβίβαζον γὰρ αὐτοὺς εἰς τὰς ναῦς ὅρκοι καὶ σπονδαί, Ἀχιλλέα δὲ ὅρκος μὲν οὐδείς, ὁ δὲ τῆς δόξης ἔρως ὥπλιζε 8. καὶ πρῶτον μὲν τῆς πλάνης ἀπήλλαξε τὸ στρατόπεδον. ᾔδει μὲν γὰρ τὴν χώραν τῶν ἠδικηκότων οὐδείς, ὅποι δὲ τύχοι φερόμενοι προσέπιπτον οἷς μὲν ἐνεκάλουν, τούτους εὑρεῖν οὐ δυνάμενοι, οὓς δὲ οὐ-

2 cf. ad p. 226, 18 5 cf. p. 227, 3; 284, 8; t. IV 998, 13 R 12 cf. p. 284, 10 19 cf. p. 293, 6. Chor. Patr. p. 268, 7 Boiss.

2 μετασχεῖν scripsi e *B* ut coni Re κατασχεῖν *PLVi* edd 3 ὀμωμοκέναι *PL* ὠμωκέναι *Vi* 8 περὶ (1 et 2) *PL* Mor Re | χείρων *P* sed 1 litt post ν del Χείρωνος Mor Re | παιδείας om *P* Mor Re 9 γε om *Vi* Barb Cam 10 αὐτὸν inserui e *B* om *PLVi* edd | αὐτὸν ante ἐκπηδῆσαι *B* 12 γε ante τῆς *PL*, post τῆς Mor Re delevi | τε om *B* 15 οὐδὲ] καὶ μὴ *B* | ἦν *B* 16 ἐνεβιάζοντο *Vi* Barb Cam cf. p. 245, 6 17 οὐδὲ *PL* Mor qui ὁ δὲ coni 18 πρῶτα *PLVi*

21 τού^τ *P* τούτω *L* | οὐ scripsi e *B* μὴ *PLVi* edd | οὐδὲν inserui e *B* ut coni Re om *PLVi* edd

R IV 933 *δὲν ἠτιῶντο, τούτους κακῶς | ποιοῦντες, τὴν δέ γε Μυσίαν Τρῳάδα νομίσαντες ἐπιβάντες ἐδῄουν.* 9. *ὡς δὲ ἐπῆλθον οἱ Μυσοὶ καὶ μάχη συνειστήκει, τιτρώσκεται μὲν ὁ Τήλεφος, οἱ δὲ γνόντες τὴν ἁμαρτίαν ἀπέπλεον αἰσχυνόμενοι τοῖς πεπραγμένοις, τοῦ δὲ ἕλκους ἴασιν οὐ δεχομένου χρῆται μὲν ὁ τρωθεὶς τῷ θεῷ, πέμπεται δὲ ὡς Ἀχιλλέα μόνον ἀκούσας ἰατρὸν ἔσεσθαι. καὶ ὁ μὲν ἰᾶτο, ὁ δὲ ἐδήλου τῶν πολεμίων τὴν γῆν. οὗτος γὰρ ὡμολόγητο μισθός, ὥστε οὐδὲν ⟨ἂν⟩ ἐκώλυε διαφυγεῖν τοὺς Τρῶας τὴν δίκην, εἰ μὴ Ἀχιλλέως τὸ δόρυ καὶ τὰ παρ' ἐκείνου πρὸς Τήλεφον τὴν ἄγνοιαν ἔλυσεν.* 10. *ἐπεὶ δὲ εὗρον τὴν Τροίαν, Κύκνος μὲν ὁ Ποσειδῶνος, ἐν ᾧ πλείστας εἶχον οἱ Τρῶες τὰς ἐλπίδας, εὐθὺς ἀπέθνησκεν ὑπ' Ἀχιλλέως, οἱ λοιποὶ δὲ δείσαντες ἔφυγον. καὶ περιῆν τοῖς μὲν Ἕλλησι τρυφᾶν, τοῖς δὲ ἐναντίοις κατακεκλεῖσθαι. καθείρξας γὰρ αὐτοὺς εἰς τὸ ἄστυ καὶ παραδοὺς τοῖς ὁμοφύλοις τὴν πολιορκίαν ἐπὶ τὰς ἐκεῖθεν πόλεις ὠφελούσας τοὺς πολεμίους ἐχώρει περικόπτων αὐτοὺς πανταχόθεν καὶ καθιστὰς εἰς ἐρημίαν φίλων. ἔφερε δὲ τὸν στρατιώτην οὐδείς, οὐκ ἠπειρώτης, οὐ νησιώτης, ἀλλὰ τρεῖς παρέσυρε καὶ εἴκοσι πόλεις. τοσαύτην ἐρημίαν περὶ Ἴλιον*

4 Hyg. fab. 101. Dict. II 10 14 cf. ad t. V 310, 15 18 cf. t. IV 998, 21 R 20 cf. p. 219, 10 22 cf. ad t. V 311, 5

1 *τού*(τ) *P* *τούτον L* | *ἐποίουν B* 2 *ἐδεήον P* *ἐδέουν L* *ἐδέοντο* Mor sed *ἴσως ἐδῄουν* Mor[1] 3, Re sed „*aut deest hic aliquid aut leg. est ἐληίζοντο*" 3 *ἐπῆλθον* scripsi e *B* *ἐξῆλθον PLVi* edd 6 *μὴ B* 7 *εἰς B* 8 *ἐδήου PL* Mor Re *ἐδείκνυ* Mor Not, Iacobs Lect App Pors 333 Anth. Pal. III 33 | *τὴν γῆν τῶν πολεμίων Vi* Barb Cam 9 *ἂν* inserui om libri edd 13 *ἂν* ante *εἶχον BPL* edd sed „*malim abesse*" Re delevi 16 *κατείρξας* Mor Re 19 *πολλαχόθεν B* 20 *ἐρήμην L* 21 *ἠπειρώτας* et *νησιώτας L* 22 *εἰς τοσαύτην ἐρημίαν τὸ Ἴλιον ἐποίησε B*

εἰργάσατο. 11. καὶ τὸ μέγιστον, οὐ χρημάτων ἔρως ἔπειθε κινδυνεύειν αὐτόν, οὐ γὰρ αὐτὸς ἐγίνετο τῶν λαφύρων κύριος, ἀλλ' ἰδίους μὲν τοὺς κινδύνους, κοινὰ δὲ τὰ ἆθλα τῶν Ἑλλήνων ἐποίει, καὶ τὸν πλοῦτον τῶν ἀπολωλότων εἶχε τὸ κοινόν. καὶ διὰ ταύτας τὰς εὐπορίας οὐ κατελύσαντο τὸν πόλεμον αἰσχρῶς. 12. τοῦ νοσήματος δὲ ἐμπεσόντος καὶ τῶν καταλόγων κενουμένων ὁ μὲν ἄρχειν ἀξιῶν αὐτὸς ὢν αἴτιος τῶν κακῶν ἐπανόρθωσιν οὐκ ἐζήτει, ἀλλ' οὐδὲ ὁ δεινότατος Ὀδυσσεὺς οὐδὲ ὁ σοφώτατος Νέστωρ οὐδὲν ἤλγησαν, ἀλλ' ὁρῶντες φθειρομένην τὴν στρατιὰν | ἡσύχαζον. R IV 934 μόνος δὲ Ἀχιλλεὺς ἐκκλησίαν τε ἐποίει καὶ μάντιν ἐκάλεσε καὶ βοηθεῖν ὑπισχνεῖτο καὶ παρεκάλει πρὸς τὸ θαρρεῖν καὶ οὐ προαπέστη πρὶν εὗρεν ἴασιν τοῖς κακοῖς. 13. ἄριστον μὲν οὖν ἦν στεφάνων αὐτὸν καὶ ἀναρρήσεων ἐπὶ τούτοις τυγχάνειν, διὰ δὲ τὴν τῶν εὖ παθόντων ἀγνωμοσύνην προὐπηλακίζετο καὶ τοῦ γέρως ἀπεστερεῖτο κύριος μὲν ὢν κατασχεῖν καὶ τοὺς ἥκοντας ἀποσφάξαι καὶ προσέτι γε τὸν ἀπεσταλκότα, πράως δὲ τῆς Βρισηΐδος ἀποστὰς τοῦ μὴ πάντα συγχέαι. 14. οὐ μὴν ἔμεινεν ἐπὶ τοῦ συμμαχεῖν, ἀλλὰ τὴν μὲν

---

4 Il. ι 331 sq. 7 Il. α 10 12 Il. α 54 sq.

---

2 οὐ γὰρ scripsi e *B* οὔκουν *PLVi* edd 5 ταύτας τὰς εὐπορίας οὐ κατελύσαντο scripsi e *B* ταύτης τῆς εὐπορίας οὐ κατέλυσαν *PLVi* edd 8 ὁ delet. *P* τὸν *L* 9 οὐκ om *P LVi* inser Barb | ἀνεζήτει *PLVi* Mor Re 10 οὐδ' *PLVi* edd | οὐδὲ *B* 12 ἐκκλησίαν scripsi e *B* ut coni Re ἡσυχίαν *PLVi* edd | οὐκ ante ἐποίει *Vi* Barb Cam Mor Not 14 εὗρεν in marg *L* εὑρεῖν *P* Mor Re 17 εὐγνωμοσύνην *P* sed ἀ in marg m rec, *L* et γρ in marg Mor | καὶ τοῦ γέρως ἀπεστερεῖτο om *Vi* Barb Cam 20 τοῦ μὴ πάντα συγχέαι] μὴ πάντα (τὰ πάντα Barb Cam) συγχέας *Vi* Barb Cam 21 οὐ μὴν om *B* | ἐμήνιεν *B* | ἐπὶ τοῦ συμμαχεῖν in lac 13 litt om *B*

ἐπιείκειαν ἔδειξεν ἐν τῷ μὴ φιλονεικῆσαι περὶ τῆς ἀνθρώπου, τὸ δὲ μὴ παροινούμενος φέρειν ἐν τῷ τῆς συμμαχίας ἀποστῆναι. ἔργῳ γὰρ ἐβούλετο διδάξαι τὸν ὑβριστὴν εἰς ὅντινα ὄντα ἡμάρτανε. 15. καὶ οὐκ ἔφθη χαλεπήνας καὶ συμμετέστησεν αὐτῷ τὸν Δία, ὥσθ' ὁ πρότερον μείζω ποιῶν τὰ τῶν Ἑλλήνων καὶ τοῖς βαρβάροις ἐγκείμενος ἐπὶ τοὺς Ἕλληνας μετὰ βαρβάρων ἐστράτευσε σκηπτοῖς αὐτοὺς ἐξελαύνων καὶ τοῖς ἐξ οὐρανοῦ πεμπομένοις βέλεσιν, οἱ δὲ τειχήρεις ἐκεῖνοι καὶ τρέμοντες καὶ οἷς ἤρκει σωθῆναι πῦρ ἐπὶ τὰς τῶν Ἑλλήνων ναῦς ἐκόμιζον καὶ ὅπως αὐτοὺς μὴ λάθωσιν ἀναχθέντες ἐσκόπουν. 16. ἐνταῦθα δὴ φαίνεται τοῖς πράγμασιν ὁπόσος ἦν Ἀχιλλεύς. ὡς γὰρ ἔκειτο μὲν τὸ τεῖχος, ἐκεκράτηντο δὲ λαμπρῶς, σωτηρίας δὲ πόρος οὐδαμόθεν ἦν, ἐπὶ τὸν ὑβρισμένον ὁ παροινεῖν τολμήσας καταφεύγει δῶρα τὰ μὲν διδούς, τὰ δὲ ὑπισχνούμενος, εἰς τὸ γένος αὐτὸν εἰσάγων, διὰ τῶν πρεσβευ-
R IV 935 τῶν ἱκετεύων λῆξαι τῆς ὀργῆς. 17. ὁ δὲ οὐκ ἦν | ἄρα μειράκιον ῥᾳδίως ἑλκόμενον οὐδ' ἐξεπλάγη χρυσίον ἀκούων οὐδὲ πόλεις οὐδὲ αἰχμαλώτους, ἀλλ'

5 cf. p. 219, 2; 227, 14; t. IV 999, 6 sq. R 8 cf. p. 222, 3 11 Il. ο 744; π 122 17 Il. ι 284 sq. 20 Il. ι 279 sq. et 291 sq.

1 ἔδειξε τὸ μὴ *B* 2 περὶ ante τῆς *PL* 3 ἠβούλετο *B* 5 αὐτῷ libri Mor Re 7 τῶν ante βαρβάρων *L* 11 ναῦς ἐκόμιζον scripsi e *B* ἐκόμιζον ναῦς *Vi* Barb Cam Re ἐκόμιζε ναῦς *PL* Mor | αὐτοὺς libri edd 12 ἀναχθέντες scripsi auctore Re ἀναπχεθέντες libri edd | τοῖς πράγμασιν ὁπόσος ἦν scripsi e *B* πόσος ἦν τοῖς πράγμασιν *PLVi* edd 14 ἐκράτητο *B* ἐκράτηῦ *P* ἐκράτηνται *L* ἐκράτηντο *Vi* corr Barb 15 οὐδαμῶς *B* | τολμήσας scripsi cum Sinteni νομίσας libri edd cf. ad p. 174, 11 17 αὐτῶν *PLVi* Mor qui αὐτὸν vel αὐτοῦ coni | comma post εἰσάγων inserui et colon post πρεσβευτῶν delevi auctore Re 18 τὴν ὀργὴν *Vi* Barb Cam 19 οὐ δὲ *B* 20 ἀκούσας *Vi* Barb Cam | οὐδὲ om *B*

ἐγνωκὼς αὐτὸν καὶ τίς ὢν ἠτιμάζετο τὴν ἀπέχθειαν ἐφύλαττε, τὰ δὲ τῶν Ἑλλήνων πράγματα καὶ δὴ μᾶλλον διεφθείρετο. πῦρ μὲν ἐπενέμετο τὴν Πρωτεσιλάου ναῦν, ἐλπὶς δὲ ἦν ἐπὶ πάσας προβήσεσθαι τὸ κακόν, σαφὴς δὲ ὄλεθρος ἐπεκρέματο τοῖς ὅλοις. 18. ἐνταῦθα δακρύει μὲν ὁ Πάτροκλος, κάμπτεται δὲ ὁ Πηλέως τοῖς πολλοῖς ἐκείνοις δώροις οὐ μεταπεισθείς. καὶ μέσην τινὰ ἔρχεται. τοῦ πολέμου μὲν γὰρ οὐ συνεφάπτεται τῇ χειρί, τῇ δὲ μοίρᾳ τῶν Μυρμιδόνων τὴν βοήθειαν ἐπλήρωσε καὶ κοσμήσας τὸν Πάτροκλον τοῖς ὅπλοις τοῖς ἑαυτοῦ τοσοῦτον ἴσχυσε παρεῖναι νομιζόμενος ὥστε ἀναπνεῦσαι μὲν τοὺς Ἕλληνας, περιφόβους δὲ γενέσθαι τοὺς Τρῶας, πολλὴν δὲ τοῖς πράγμασι φανῆναι τὴν μετάστασιν. 19. ὡς δὲ ἤκουσεν ἀπεσφάχθαι τὸν Πάτροκλον, μικροῦ μὲν ἑαυτὸν ἀπέσφαξεν, οὕτως ἦν φιλέταιρος καὶ τοσοῦτον ἐποιεῖτο τοῦ συνήθους λόγον, κωλυθεὶς δὲ ὑπ' Ἀντιλόχου πρὸς τὸν πόλεμον ἠπείγετο συμπεσεῖν ἐπιθυμῶν τῷ Πατρόκλου

3 Il. ο 716 sq.; π 122 sq. 6 cf. p. 287, 3 sq. 12 Il. π 356 17 Il. σ 33 sq.

2 τῶν om *Vi* Barb Cam 3 ἐφθείρετο *Vi* Barb Cam | ὑπενέμετο *B* | Πρωτεσιλάου scripsi e *L* πρωταισιλάου *B* πρωτεσι *P* (λ' supra) πρωτεσίλεω *Vi* Barb Cam Πρωτεσίλα Mor Re 4 πάντας *B* 7 ἐκείνοις scripsi e *B* ἐκείνου *PLVi* edd 8 μὲν inserui e *B* om *PLVi* edd | οὐ συνεφάπτεται scripsi e *B* οὐκ ἐφάπτεται *PLVi* edd 10 ἐπλήρωσε τὴν βοήθειαν *Vi* Barb Cam | ἐπεκλήρωσε Mor Re qui ἀπεπλήρωσε coni, ἐξεπλήρωσε Sintenis 16 οὔτω *Vi* Barb Cam | ἦν inserui e *B* om *PLVi* edd | φιλεταῖρος libri Barb Mor Re corr Cam 17 ἀντιόχου *P* sed ἀντιλ. in marg m rec, *LVi* Barb | τὸν om *B* 18 ὑπήγετο *PL* Mor Re | ἐπιθυμεῖ *PLVi* Mor sed ἐπιθυμῶν coni Not, Re sed „*probo Morelli coniecturam* ἐπιθυμῶν“ | τῇ πατρόκλου σφαγῇ *PLVi* Barb Mor sed τῷ τοῦ Πατρόκλου σφαγεῖ coni Not, Re sed adnotat „*legi velim* τῷ Πατρόκλου σφαγεῖ“

σφαγεῖ καὶ ταῦτα εἰδὼς ὡς κοινὸν αὑτοῦ κἀκείνου κατεψηφίζετο θάνατον. ἔδει γὰρ αὐτὸν ἐφ' Ἕκτορι κεῖσθαι καὶ τοῦτο ἦν βούλημα τῶν Μοιρῶν. ὁ δὲ τὴν τιμωρίαν τοῦ τὸν ἑταῖρον ἀποκτείναντος τιμιωτέραν ἐποιήσατο τῆς ἑαυτοῦ κεφαλῆς. 20. καὶ λαβὼν ὅπλα παρὰ Ἡφαίστου, ἦν δὲ ἄρα καὶ τὰ πρότερα τῆς αὐτῆς R IV 936 *τέχνης, θεῖα γὰρ | ἀμφότερα, μεστὸν μὲν τὸ πεδίον νεκρῶν, μεστὸν δὲ τὸν ποταμὸν ἐποίει ὥστε αὐτοῦ καὶ τὸν εἰς τὴν θάλατταν ἀνακόπτεσθαι δρόμον, φεύγοντα δὲ τὸν λαμπρὸν ἔδειξε τὸν Πριάμου καὶ μετὰ ταῦτα κείμενον [ἐδείκνυ]. πραξάμενος δὲ τὴν τιμωρίαν διὰ τοῦ φόνου τὸν μὲν ἐκείνου νεκρὸν ᾔσχυνεν ἑλκύσας, τὸν Πατρόκλου δὲ ἐτίμησεν ἄθλοις.* 21. *ἠκούσης δὲ τῷ Πριάμῳ πανταχόθεν συμμαχίας πάντα ἤλεγξε καὶ τοῦ μηδενὸς ἀπέφηνεν ἄξια Μέμνονά τε διαφθείρας τὸν Αἰθίοπας ἄγοντα καὶ Πενθεσίλειαν ᾗ γυναῖκες ἠκολούθουν ἀνδρῶν ἐς μάχην φοβερώτεραι.*

1 Il. σ 88 sq. 2 Il. σ 120 6 Il. ρ 195. Eustath. ad Il. ρ 122 8 Il. φ 219 12 cf. p. 288, 14 13 cf. p. 289, 7 16 cf. p. 289, 18

1 *αὐτοῦ B* Barb Cam Mor 4 *τοῦ* om *PLVi* Mor Re qui inserendum coniecerunt | *τὸν ἑταῖρον ἀποκτείναντος* scripsi *ἀποκτείναντος τὸν ἑταῖρον B τὸν ἑταῖρον ἀπεκτονότος PLVi* edd | *τιμιωτέραν* scripsi e *B* ut coni Re *τιμιώτερον PLVi* edd 5 *ἐπονήσατο P* Mor Re | *κεφαλῆς* scripsi e *B σφαγῆς PL Vi* edd 6 *περὶ PL* Mor sed *παρὰ* coni Not, Re sed adnotat: „*lege παρὰ*". | *πρῶτα B* | *αὐτῆς* scripsi *αὐτοῦ B* Barb Cam *ἑαυτοῦ PLVi* Mor Re qui adnotat: „*imo vero αὐτοῦ*" 7 *τὸ* om *B* 8 *φόνων* ante *νεκρῶν Vi* Barb Cam 9 *τὴν* inserui e *B* om *PLVi* edd 10 *τὸν*(2)] *τοῦ B* 11 *μεταταῦτα PVi* | *ἐδείκνυ* libri edd cancellavi 13 *τοῦ πάτροκλον B* 14 *πανταχόθεν συμμαχίας* scripsi e *B συμμαχίας πανταχόθεν PLVi* edd 15 *ᾔσχυνε B* 16 *τε Vi* (*δ* supra) *δὲ* Barb | *διαφθείρας — ἄγοντα*] *τὸν αἰθιόπων ἀποκτείνας ἄρχοντα* Barb Cam 17 *ᾗ*] *αἳ B* | *ἠκολούθουν* scripsi e *B ἠκολούθησαν PLVi* edd

22. Ὅσοι μὲν οὖν ἄλλοι τῶν Ἑλλήνων ἐτρώθησαν, οἱ βάρβαροι τοῖς τούτων ηὐδοκίμησαν τραύμασιν, Ἀχιλλεὺς δὲ ἀποθνήσκων οὐδενὶ ἀνθρώπων περιέθηκε δόξαν. τόξων δὲ Ἀπόλλωνος ἡττηθῆναι καὶ κόσμος τῷ πεπονθότι καὶ τὸ κάλλιστον. τῷ πολέμῳ γὰρ τεθνεὼς περιέθηκε δόξαν. καὶ τὸ Ἴλιον οὐκ ἄνευ τῆς Ἀχιλλέως οἰκίας ἑάλω. διὰ γὰρ τοῦ Νεοπτολέμου τὸ πᾶν ἐξειργάσατο.

23. Ἦν τις ἐν τῇ στρατιᾷ ταχύς, ἀλλὰ μετ' Ἀχιλλέα, καὶ καλός, ἀλλὰ μετ' ἐκεῖνον. καὶ τί δεῖ καθ' ἕκαστον παραβάλλειν Ὁμήρου κηρύξαντος ὡς πάντες μετ' Ἀχιλλέα δεύτεροι.

δ'.

Ἐγκώμιον Θερσίτου. R IV 942

1. Παραιτησάμενος Ὅμηρον ἔχειν μοι συγγνώμην ὃν ἐκεῖνος εἰπεῖν ἐβουλήθη κακῶς, τοῦτον αὐτὸς | R IV 943 ἐγκωμιάζειν ἐπιχειρῶ, Θερσίτην λέγω. πειράσομαι δὲ περὶ αὐτοῦ διαλεχθῆναι μικρὰ καὶ τὸν Ὅμηρον αὐτὸν ἔς τινα παρεχόμενος μάρτυρα.

---

4 Hyg. fab. 107 9 Il. ο 570; ψ 756. 792; Od. γ 112
10 Il. β 673 cf. t. V 551, 10 11 cf. p. 224, 8. Il. β 769
14 Polyb. VII 26[b] 5

---

3 ἐπέθηκε *Vi* Barb Cam 4 τόξων — 6 δόξαν om *B* Barb Cam | καὶ inserui e *Vi* om *PL* edd 5 „*fort.* τῷ πολέμῳ γὰρ καὶ τεθνεὼς ἐπέθηκε τέλος, ταῖς μοίραις οὕτω δόξαν" Re | περιέθηκε scripsi ἐπέθηκε *PLVi* Mor Re 9 ἀλλ' ἀ (post λ' ras 1 litt) *B* | κατ' *PL* Mor Re qui μετ' coni 10 καθέκαστον libri Barb Cam 11 ὡς om Barb Cam | πάντες et δεύτεροι scripsi e *B* πάντα et δεύτερα *PLVi* edd sed „δεύτερα *videtur delendum ut scholium vocabuli* μετά" Re cui oblocutus est Iacobsius Ach T 496

18 μικρὰ scripsi e *BaPaBLaMo* μικρὸν *PLVi* edd sed διαλεχθῆναι, μικροῦ (*propemodum*) καὶ coni Re 19 εἰς *Mo*

2. *Πρῶτον μὲν τοίνυν οὐκ ἐκ φαύλων οὐδὲ ἀνωνύμων ἦν γονέων, εἰ μὴ φαῦλόν τις ἡγεῖται τὸν Ἄγριον καὶ τὸν τούτου πατέρα καὶ τὸν ἐκείνου, ἀλλ' οὐδεὶς ἂν εὖ φρονῶν. ὥστ' εἴπερ ἐβούλετο Θερσίτης ἐν τοῖς Ἕλλησι σεμνύνειν ἑαυτὸν ἀπὸ τῶν προγόνων, ὥσπερ ὁ τούτου συγγενὴς Διομήδης, οὐκ ἂν ἠπόρησεν, ἀλλ' εἶχεν ἂν καὶ αὐτὸς εἰπεῖν·*

Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο.

νῦν δὲ οὐδ' ὅτε ἠδικεῖτο ὑπ' Ὀδυσσέως, ἐμνήσθη τῶν πατέρων, ὡς ἄν τις ἀξιῶν αὐτὸς ἀπὸ τῶν αὑτοῦ παρὰ τοῖς ἄλλοις εὐδοκιμεῖν. 3. *τραφεὶς τοίνυν, ὡς εἰκὸς τὸν ἐκ τοιούτων, καὶ δυνάμενος ἔργων κοινωνεῖν τοῖς ἥρωσι πρεπόντων ἧκε μὲν ἐπὶ τὸν σῦν, ὅτε δὴ καὶ τοὺς ἄλλους ἅπαντας τοὺς ἀρίστους ὁ Μελέαγρος ἐπὶ τὸν τῆς χώρας ἐκεῖνον λυμεῶνα συνῆγεν, ἀπελθὼν δὲ ἐκεῖθεν ἠσθένησέ τε καὶ ἡ νόσος αὐτῷ τὸ σῶμα κατέβλαψεν.* 4. *οὐ μὴν τήν γε ψυχὴν ἐποίησε χείρονα οὐδὲ ἐξέβαλεν αὐτῆς οὔτε τὴν ἀνδρείαν οὔτε τὸ δόξης*

---

3 [Apollod.] bibl. I 8, 6 et 7, 10 6 Schol. Il. β 212 8 Il. ξ 115 13 Pherec. (fr. 82 M) et Euphor. (fr. 131 ed. Mein.; 124 ed Scheidweiler) apud schol. Il. β 212

---

1 *οὐδ' BaPaB* 5 *ἑαυτὸν ἀπὸ τῶν προγόνων* scripsi e *BaPaBViLaMo* *ἀπὸ τῶν προγόνων ἑαυτὸν P* sed litteris β et α suprascriptis, *L* edd | *αὐτὸν LaMo* 6 *ὁ* ante *διομήδης LaMo* 9 *ὅτε*] *ὃ Ba* | *ὑπ'* scripsi e *BaPaB* *ὑπὸ LaMo* *ἀπὸ PLVi* edd 10 *αὑτοῦ* scripsi e *La* *αὐτοῦ* reliqui libri edd | *παρὰ τοῖς*] *περὶ τοῖς BaPa* *παρ' B* 11 *ἄλλοις* scripsi e *BaPaBLaMo* *ἕλλησιν PLVi* edd | *τοίνυν* reposui e libris *οὖν* edd 12 *τὸν* delet. *Ba* *τῶν Pa* om *ViLaMo* | *τῶν* ante *τοιούτων Vi* 13 *ἥρωσι* scripsi e *LaMo* *ἕλλησι BaPaBPLVi* edd | *πεσόντων LaMo* | *καὶ* om *PLVi* Mor 14 *τοὺς*(2) om *BaPaBPLVi* Mor 15 *συνῆγε Pa* *σῦν ἦγεν B* | *δὲ* inserui e *BaPaBLaMo* om *PLVi* edd 16 *ἡ νόσος αὐτῷ τὸ σῶμα* scripsi e *LaMo* *τὸ σῶμα αὐτῷ* (*αὐτοῦ PLVi* edd) *ἡ νόσος BaPaBPLVi* edd 17 *τε Pa* 18 *αὐτῆς* scripsi e *BaPaLaMo* *αὐτοῦ BPLVi* edd | *τὸ*] *τῆς BaPa* | *δόξαν LaMo*

ἐπιθυμεῖν. σημεῖον δέ, τῶν γὰρ Ἀτρειδῶν ἀγειρόντων τὸν ἐπὶ τοὺς βαρβάρους στόλον ἔχων πρόφασιν εὐπρόσωπον, εἴπερ ἐβούλετο ῥαθυμεῖν, τὴν περὶ τὸ σῶμα τύχην οὐκ ἤνεγκεν οἴκοι μένων περὶ τῶν ἔργων ἀκούειν, ἀλλ᾽ ἀφειμένος τῆς ἀπὸ τῶν ὅρκων ἀνάγκης, ᾗ τοὺς ἄλλους εἰς τὰς ναῦς ἐνεβίβαζεν, ὥσπερ ἅπαντας ὅρκους ὀμωμοκὼς ἔπλει καὶ παρωξύνετο κατὰ τῶν ἠδικηκότων ὁ χωλὸς καὶ φολκὸς νομίζων δεῖσθαι τὸν πόλεμον ψυχῆς τολμᾶν ἐπισταμένης, | ὥστε μοι R IV 944 *δοκεῖ καὶ τοὺς ἄλλους εἰς τὴν ἀναγωγὴν ποιῆσαι προθυμοτέρους ὁ τοιοῦτον σῶμα τῷ Τρωικῷ πολέμῳ συνεισφέρων.* 5. *τίς γὰρ οὐκ ἂν ᾐσχύνθη τῶν ἄλλων ἀστρατείαν εἶναι ζητῶν Θερσίτου δοράτων καὶ τραυμάτων ἐρῶντος; ἀκούων δέ, ὡς εἰκός, Ὀδυσσέα τε καὶ τὸν Πηλέως τὸν καλὸν αἰσχρῶς ἑαυτοὺς ἐκκλέπτειν τῶν ἀγώνων πειρωμένους καὶ τὸν μὲν σχῆμα κόρης, τὸν δὲ δόξαν μανίας ὑπεισιόντα κατεγέλα τε καὶ λό-*

---

1 sq. cf. p. 284, 5   5 cf. p. 226, 18   8 Il. *β* 217   14 Il. *β* 220   16 sq. cf. p. 218, 1 sq. Chor. Priam. Herm. XVII 226, 25

---

2 *τοὺς* om *LaMo* | *στόλον* om *Vi*   3 *ἠβούλετο PVi* | *παρὰ Pa*   5 *ἔργων PVi* Mor   6 *ἐνεβίβαζεν* scripsi e *Ba* sed *ἐ* delet. *PaBLaMo* *ἀνεβίβαζεν PLVi* edd cf. p. 287, 16 | *ἅπαντες BaPaB*   8 *καὶ φολκὸς* scripsi *καὶ φοξὸς LaMo* *ὁ φολκὸς BaPaBPLVi* edd   9 *τόλμαν* Mor   10 *ποιῆσαι* scripsi e *Ba PaBLaMo* *ποιεῖσθαι PLVi* edd   11 *τοιοῦτο* Re | *πολέμῳ* inserui e libris om edd   13 *ἀστρατείαν* scripsi e *Vi* *ἀστρατίαν PL* Mor *ἀστρατίας BaPaBLaMo* Re   14 *ἐρῶντος* scripsi e *LaMo* *ἐπιθυμοῦντος BaPaBPLVi* edd | *ὡς εἰκός* et *τε* inserui e *LaMo* om *BaPaBPLVi* edd cf. p. 247, 9   15 *πηλέα P* sed *ἴσ. Νηλέα vel potius Νιρέα* in marg m rec. *LVi* | *ἐκκλέπτειν τῶν ἀγώνων* scripsi e *LaMo* *τῶν ἀγώνων ἐκκλέπτειν* (*ἐκλείπειν PLVi* Mor) *BaPaBPLVi* edd   17 *ὑπεισιόντα* scripsi e *LaMo* *ὑπιόντα BaPaB* *ὑπιόντας PLVi* edd | *κατεγέλα τε* scripsi e *BaPaBLaMo* *κατεγέλασε PLVi* edd

γους ἔλεγε πρέποντας τῇ τοιαύτῃ κακίᾳ οὐ φθονῶν τῷ μὲν τῆς συνέσεως, τῷ δὲ τῆς ἀνδρείας, ἐπεὶ οὕτω γ' ἂν ἐφθόνει μὲν Αἴαντι τῷ Τελαμῶνος, ἐφθόνει δὲ τῷ γλυκυτέρῳ τοῦ μέλιτος Νέστορι. 6. ἀλλ' οἶμαι, τὰ κακὰ τῶν ἔργων μὴ κακίζειν οὐκ εἶχεν. οὐκοῦν οὔτ' ἀντεῖπεν Ἀχιλλεῖ ποιοῦντι τὸν ἐν τῇ νόσῳ σύλλογον οὔτ' ἐφήσθη τὴν τιμὴν ἀφαιρεθέντι, ἀλλ' αὐτῷ τοὐναντίον συνάχθεται. οὐ τοίνυν οὐδὲ Ὀδυσσέως τὴν θεωρίαν ἀπάγοντος διαβάλλει τὸν ἑλόμενον. ἀλλ' ὑπὸ τῶν οὐκ ὀρθῶς πραττομένων ἐκινεῖτο πρὸς λόγους καὶ τὰς κατὰ τῶν ἁμαρτανόντων αἰτίας οὐ δεδιὼς τὰς τύχας ἐνίων οὐδὲ τοὺς μὲν δυναστείαν ἔχοντας κολα-
R IV 945 κεύων, τοῖς δὲ τοῦ δήμου χαλεπὸς | ὢν καὶ προπηλακίζων καὶ ἐλαύνων ἕκαστον τῶν ἀσθενεστέρων. 7. ᾔδει γὰρ ὅτι τούτοις μὲν εἰς τὸ σωφρονεῖν ἀρκεῖ τὸ μὴ τρυφᾶν, τοῖς δὲ ἐν ἀρχαῖς καὶ πλήρεσι τραπέζαις καὶ πλούτοις δεῖ τινος ἔχοντος φρόνημα καὶ παρρησίαν συμφέρουσαν, ὃς ἔμελλεν εἴσεσθαι τὰ ἁμαρτανόμενα καὶ ἐπιπλήξειν καὶ καταβοήσεσθαι καὶ τὰ μὲν

4 Il. α 249 9 Il. α 430 16 Them. or. II p. 28 b

1 κακίᾳ scripsi e BaPaBLaMo μανίᾳ PLVi edd 2 τῷ(1)] τῶν Mo | ἀνδρίας BaB | ἐπεὶ οὕτω γ' ἂν scripsi e PL ἐπειδὴ οὕτω γ' ἂν Vi ἐπεὶ οὕτω ἂν BaPa ἐπεὶ οὕτως ἂν B edd ἐπεί γ' ἂν οὕτω LaMo 3 μὲν inserui e BaPaBLaMo om PL Vi edd 4 γλυκυτάτῳ BaPa sed in hoc ερ suprascr m², PL ViLaMo Mor qui γλυκυτέρῳ coni 6 νήσῳ LaMo 7 τὴν τιμὴν om PLVi Mor | ἀφαιρεθέντος Vi 8 συνάχθεσθαι PVi Mor qui συνάχθεται coni | οὐδ' BaPaB οὔτε Mor 9 ἀπαγαγόντος Vi 11 τὰς τύχας scripsi e LaMo τὴν τύχην BaPaB PLVi edd 12 δυναστείας LaMo Re 13 τοὺς δὲ τοῦ δήμου χαλεποιῶν LaMo | καὶ inserui e LaMo om BaPaBPLVi edd
14 ἕκαστον τῶν ἀσθενεστέρων scripsi e LaMo τῶν ἀσθενεστέρων ἕκαστον BaPaBPLVi edd 15 ἐς edd 16 δ' PLVi edd | τραπέζαις καὶ πλούτοις scripsi auctore Markowskio τραπέζης καὶ πλούτου libri edd 17 δεῖ τινος scripsi e LaMo δεῖν ἄρχοντος BaPaBPLVi edd 18 καὶ ante ὃς LaMo

διακωλύσειν, τὰ δὲ ἐπανορθώσειν καὶ δείσειν τῶν ἁπάντων μηδέν, μὴ σκῆπτρον, μὴ δεινότητα ἀνδρός, μὴ φίλων πλῆθος, μὴ τοὺς ἐκείνων προβεβλημένους. 8. *οἷον ὕστερον συνέβη γενέσθαι παρ' Ἀθηναίοις τὸν Δημοσθένην, ᾧ τὸ κοινῇ συμφέρον πρὸ τῶν αὐτῷ λυσιτελούντων ἐκέκριτο καὶ λέγων οἷς ᾔδει τὸν δῆμον ἀνιάσων μᾶλλον ᾑρεῖτο λυπεῖν ἢ χαρίζεσθαι κακῶς.* 9. *ἐπὶ ταύτης αὐτὸν καὶ Θερσίτης ἔταξε τῆς τάξεως. καὶ πολλαὶ μέν, ὡς εἰκός, ἐκκλησίαι πολλὰς καὶ καλὰς ἐδέξαντο δημηγορίας τοῦ ῥήτορος οὐ βραχέα περὶ μεγάλων λέγοντος, ἀλλ' ἐκτείνοντος πρὸς τὴν χρείαν τοὺς λόγους, πάνυ δ' ἄξιον ἄγασθαι τοῦτον τὸν καὶ παρ' Ὁμήρου μνήμης ἠξιωμένον.* 10. *ὁρῶν γὰρ ἐκεῖνος τὸν ἄρχειν ἀξιοῦντα τῶν ἄλλων αἰχμαλώτοις δουλεύοντα γυναιξὶ καὶ ποτὲ μὲν αἴτιον λοιμοῦ τῷ στρατοπέδῳ γινόμενον, ποτὲ δὲ ἀποκόπτοντα τῆς δυνάμεως τὸν Ἀχιλλέα νῦν μὲν διὰ τὴν Χρύσου, νῦν δὲ διὰ τὴν Βρισέως καὶ σκοποῦντα μόνον ὅπως ὥρας ἀπο-*

5 Dem. cor. p. 263, 4 sq. 16 cf. p. 256, 5 18 Il. β 232

2 *οὐδέν Vi* 4 *συνέβη γενέσθαι παρ' Ἀθηναίοις* scripsi e *ViLaMo παρ' ἀθηναίοις συνέβη γενέσθαι BaPaB συνέβη παρ' ἀθηναίοις γενέσθαι PL* edd 5 *δημοσθένους Mo* | *αὐτῷ* libri edd 6 „*fort. τὸν δῆμον ἐπ' ἀγαθῷ* (*vel συμφερόντως*)" Re 7 *ἀνιάσειν BaPaB* et coni Re | *κακῶς χαρίζεσθαι Vi* 8 *ταύτης L* sed *ης* in ras m² *ταύ* (τ suprascr.) *P* | *αὐτὸν BaPa* 9 *ὡς εἰκός* om *LaMo* cf. p. 245, 14 „*fort. ὡς εἰκὸς γενόμεναι ἐκκλησίαι*" Re | *καὶ* om *LaMo* 10 *καὶ* ante *οὐ BaPaB* 11 *τὴν* om *B* 12 *ἀγᾶσθαι LaMo* | „*malim τοῦτον τὸ καὶ παρ' Ὁμήρῳ* (*aut Ὁμήρου*)" Re 13 *Ὁμήρου* scripsi e *BaB ὁμή* (ρ suprascr.) *Pa ὁμήρῳ PLViLaMo* edd | *ἐκεῖ LaMo* 16 *δ' LaMo* 17 *τὴν* scripsi e *LaMo* ut coni Re *τοῦ BaPaBPLVi* edd | *χρύσιν* (ς suprascr.) *Mo* 18 *τῆς BaPaVi* | *βρυσέως ViLaMo* | *ἀπολάβοι LaMo ἀπολαύσοι Vi*

R IV 946 *λαύοι σωμάτων, εἰ δ' ἐντεῦθεν | ἔτι χεῖρον ἕξει τὰ πράγματα τοῖς Ἀχαιοῖς οὐ προτιμῶντα καὶ ἐν μὲν τῷ φανερῷ μεμνημένον φυγῆς, λάθρα δὲ κατασκευάζοντα τὴν μονὴν καὶ τὰ μὲν αὐτὸν λέγοντα, τὰ δὲ διὰ τῶν κολάκων πράττοντα καὶ ποιοῦντα ἔργον μὴ ὅτι βασιλέως, ἀλλ' οὐδὲ ἰδιώτου χρηστοῦ παρελθὼν μάλα ἀξίοις τοῦ γένους ἐχρήσατο λόγοις τὴν φιλοχρηματίαν εὐθὺς προφέρων, ὃ καὶ παρ' Ἀχιλλέως εἰς αὐτὸν εἴρητο πρότερον. καίτοι πῶς οὐ δεινόν, ὅταν μὲν Ἀχιλλεὺς λέγῃ, μὴ εἶναι τὸν λόγον ἀνόητον, ὅταν δὲ ἕτερος;* 11. *οὐκοῦν τὴν μὲν τοῦ Θερσίτου δικαιοσύνην ⟨δεικνύει⟩ τὸ τἀληθῆ κατηγορηκέναι, τὴν δ' ὑπὲρ τῶν κοινῶν φροντίδα τὸ τῆς συμμαχίας ἀποστάντος Ἀχιλλέως ἀγανακτεῖν, τὸ δὲ ἀνδρεῖον τὸ θαρρούντως ἐπιτιμᾶν τῷ τὴν ἀρχὴν ἔχοντι καὶ τὸ φάσκειν εἶναι τὸν ὑβρισμένον ἐκείνου κρείττονα.* 12. *ὡς δὲ καὶ πόλεσι προσέβαλλε καὶ αἰχμαλώτους ᾕρει δῆλον οἷς περὶ αὐτοῦ λέγει ποιεῖ. οὐ γὰρ ἂν ἐν τοῖς τἀναντία συνειδόσιν οὕτως ἀναιδῶς ἠλαζονεύετο, ἀλλ' ἔχων μαρτυροῦντα*

2 cf. ad t. VII 106, 13 8 Il. *β* 225; *α* 122 17 Il. *β* 229

1 *σωμάτων* scripsi e *BaPaBLaMo* *σώματος PLVi* edd | *εἰ δ' ἐντεῦθεν ἔτι χεῖρον* scripsi auctore Re *ἰδεῖν* (*Ba* sed *εῖν* in *ὼν* corr m², *ἰδεῖν δὲ B*) *ἐντεῦθεν ὅτι χεῖρον* (*χειρῶν Ba* sed in *χείριον* corr m², *ἀντιχειρόνως* in marg, *Pa* *χειρόνως PLVi* *χειρόνων* edd) libri edd | *χειρόνως* Sintenis 3 *μεμνημένῳ LaMo* | *κατασκευάζοντα* scripsi *κατασκευάζειν ὄντα BaPaB* *κατεσκευακότα* (*ι Mo*) *PLViLaMo* edd 4 *μονὴν* scripsi ut coni Mor *μνήμην* libri edd 7 *φιλοτιμίαν BaPaBPLVi* Mor 8 *ὃ* scripsi *ἢ ὃ* libri edd *ἢ* coni Re | *αὐτὸν* scripsi e *BaPaBLaMo* *ἑαυτὸν PLVi* edd | *εἴρηται Pa* 11 *οὐκ οὖν* edd 12 *δεικνύει* inserui, ut *ἔδειξε* inserendum coni Mor Re | *γε εἰρηκέναι B* | *δὲ BaPLa* edd 13 *καλῶν Vi* | *ἀχιλλέως ἀποστάντος B* *ἀποστάν^τ ἀχι^λλ LaMo* 17 *προσέβαλε Vi* | *δῆλον* om *LaMo* | *οἷσπερ BaPa* | *αὐτοῦ* scripsi cum Bastio Comm. pal. (Greg. Cor.) 833 *αὐτοῦ* libri edd 18 *ποιεῖν PLVi* Mor qui *ποιητής* coni

τὰ πράγματα σεμνοῖς εἰκότως ἐπὶ τῆς ἐκκλησίας ἐχρῆτο τοῖς λόγοις, πλὴν εἰ μὴ | *μεμηνέναι φαίη τις* R IV 947 *αὐτόν. ἀλλ' οὐχ Ὅμηρός γε τοῦτο ἔφησεν, ἀλλὰ φοξὸν μὲν καὶ ψεδνὴν λάχνην καὶ μακρολογεῖν καὶ τὰ τοιαῦτα εἶπε, τοῦτο δ' οὐ προσέθηκεν. οὐκοῦν ἅ γε τοῦ μεμηνότος ἐστὶν ὁ σωφρονῶν οὐκ ἄν ποτε πάθοι. εἷς οὖν ἦν τῶν τοῖς πολεμίοις φοβερῶν ὁ Θερσίτης, εἴ γε τοὺς υἱοὺς ἐκείνων δεσμίους ἦγεν.* 13. *εἰ δὲ μὴ οὕτω ταῦτ' εἶχεν, ἀλλ' ἦν παντάπασιν ἄχρηστος, οὐκ ἂν ἧκε τὴν ἀρχὴν οὐκ ἐῶντος τοῦ Διομήδους· εἰ δὲ καὶ τοῦτο παρώφθη, ταῖς γε ἐκκλησίαις οὐκ ἂν ἐνοχλεῖν ἐπέτρεπεν οὐδὲ τὰ μὴ προσήκοντα αὐτὸν ἐγκωμιάζειν εἰδὼς ὅτι καὶ αὐτὸς ἂν μετεῖχε τῆς αἰσχύνης.* 14. *φέρε δή, τί τούτοις ἦν τοῖς λόγοις χείρων τοῦ Νέστορος; μᾶλλον δέ, πῶς οὐ βελτίων; ὁ μὲν γὰρ ἀμφοτέρους θεραπεύει, τόν τε ἠπειληκότα καὶ τὸν ὑβρισμένον, καὶ οἶδε μὲν ἅπαντα καλῶς, εἰπεῖν δὲ ἃ φρονεῖ καθαρῶς οὐ τολμᾷ.* 15. *Θερσίτης δὲ οὐδὲν προ-*

---

3 sq. Il. *β* 219 et 212 16 Il. *α* 275 sq.

---

1 *σεμνῶς Vi* | *τὴν ἐκκλησίαν P* Mor 3 *ἀλλ'* om *BaPaB* | *οὐδ' Ὅμηρος τοῦτό γε ἔφησεν* Iacobs Lect | *δὲ B* | *ἔφησε PL* edd 4 *ψεδειοὺς Mo* | *τὰ* inserui e *BaPaBLaMo* om *PLVi* edd 5 *δὲ PLViLaMo* edd | *προσέθηκε PaLMo* 6 *ὅσω φρονῶν Mo* 7 *γοῦν BaPaB* | *τῶν τοῖς πολεμίοις φοβερῶν ὁ Θερσίτης* scripsi e *LaMo* *ὁ Θερσίτης τῶν τοῖς πολεμίοις φοβερῶν BaPaBPLVi* edd 8 *τοὺς* post *υἱοὺς* repet *BaPaBPLVi* edd delevi | *δεσμῶν LaMo* | *ἦσεν PLVi* 9 *παντάπασι La* 10 *οὔτ' La* Re *οὔτ Mo* | *εἶχε* Mor | *ἐῶντα Mo* | *τοῦ* om *LaMo* | *εἴ γε LaMo* *εἴ τε* Re 11 *τοῦτο* scripsi e *BaPaBLaMo* *τότε PLVi* edd | *γε* om *BaPaB* 12 *ἔπρεπεν BaPa* *ἐπέπρεπεν PL* | *τὸν LaMo* | *αὐτὸν* scripsi e *B* *αὑτὸν* reliqui libri edd 14 *ἦν τοῖς λόγοις χείρων* (*χειρῶν Mo*) scripsi e *LaMo* *χείρων* (*χεῖρον PL*) *ἦν* reliqui libri edd 16 *ἀμφότερα L*

καλυψάμενος πρὸ τῆς τύχης τὴν ἀρετὴν ἄγει. καὶ ταῦτα ἔλεγεν οὐ ζηλοτυπῶν αὐτὸν τῆς Βρισηΐδος, ἀλλ' ὁρῶν ἃ συμβήσεται μὴ συμπολεμοῦντος Ἀχιλλέως, ἃ καὶ αὐτὸς Ὅμηρος διηγεῖται. φαίνετ' οὖν ἡ παρρησία παρὰ τῷ Θερσίτῃ μείζων ἢ παρὰ τῷ Νέστορι τῷ γενεᾶς βασιλεύοντι τρίτης. 16. *οὔκουν ἐμίσει μάλιστα* R IV 948 *τὸν* | *Ἀχιλλέα, ἀλλ' ἐκεῖνον μέν, ὡς εἰκός, ὀγκούμενον κατεμέμφετο, τοῖς δ' ἄλλοις, ὁπότε καιρὸς ἦν, ὑπὲρ ἐκείνου προσέκρουεν οὐδένα ὑπ' οὐδενὸς τό γε αὐτοῦ μέρος ἐῶν ἀδικεῖσθαι.* 17. *καὶ ὅτι γε ηὐδοκίμει λέγων, ἐμαρτύρησαν οἱ Ἕλληνες οὔτε ἐκβαλεῖν μεταξὺ λέγοντα δεῖν εἰπόντες οὔτε δίκην ἀπαιτῆσαι τῶν εἰρημένων ὡς ἄν, οἶμαι, μετ' ἀληθείας εἰρημένων. ἀλλά τις ἦν ὁ παροινῶν, ὁ ῥήτωρ εἶναι βουλόμενος, ὁ δακνόμενος τῷ ῥεύματι τῶν τοῦ Θερσίτου λόγων καὶ ῥήματι διαβάλλων τὴν τέχνην.* 18. *ἀμφοτέρους τοίνυν ἔλαβε μάρτυρας ἀνὴρ ἐκεῖνος τοῦ δικαίως κεχρῆσθαι τοῖς λόγοις, τόν τε πλήξαντα ἐκεῖνον καὶ τὸν Ἀγαμέμνονα, τὸν μὲν τῷ σιγῆσαι, τὸν δὲ αὐτῷ τῷ πλῆξαι. τοῦ γὰρ μηδὲν αὐτὸν ἔχειν ἐλέγχειν ὁμολογία τοῦτό γε ἦν, οὐ δὴ τοῦ πεπονθότος τοῦτο ψόγος, ἀλλὰ τοῦ δράσαντος.* 19. *καὶ μέμφοιτ' ἄν τις εἰκότως ὑπὲρ μὲν*

---

5 Il *α* 252 6 sq. Il. *β* 220 14 Il. *β* 244 sq.

---

1 *ψυχῆς* Sintenis coll p. 73, 5 at cf. p. 246, 4 3 *πολεμοῦντος* *LaMo* 4 *φαίνετ'* scripsi e *LaMo* *φαίνεται* reliqui libri edd 5 *περὶ* *Pa* | *μεῖζον* *Vi* 6 *οὐκοῦν* *BVi* 10 *αὑτοῦ* libri edd | *γε* om *LaMo* 13 *ὡς — εἰρημένων* inserui e *LaMo* om reliqui libri edd | *ἀλλὰ τίς* *PaPLViLa* 14 *εἶς* Iacobs Lect 17 *δικαίου ὡς* *P* Mor *δικαίως ὡς* *L* | *ἴσως κέχρησται* vel *κεκρῖσθαι* in marg Mor 18 *ἐκεῖνον* scripsi e *LaMo* *αὐτὸν* reliqui libri edd 19 *αὐτὸ τὸ* *Pa* 20 *ἔχειν* om *BL* 21 *δὴ*] *μὲν* *La* *μὴν* *Mo* | *τοῦτο* om *LaMo* *τούτου* *L* | *γε* post *τοῦτο* *PLVi* edd delevi 22 *μέμφοιτο* *La*

τοῦ σώματος τὴν τύχην, ὑπὲρ δὲ τῆς ἀσελγείας τὸν παραβάντα τοὺς τῆς Ὕβρεως νόμους. Θερσίτης δὲ καὶ ταύτῃ θαυμάζοιτ' ἄν, ὅτι πάσχων κακῶς ἠπίστατο φέρειν καὶ οὐκ ηὐτομόλησε παρὰ τοὺς πολεμίους, οὓς καὶ ἐπῆρεν ἂν καὶ θρασεῖς ἐποίησε πάντα ἐξαγγείλας τὰ τῶν Ἑλλήνων ἀπόρρητα.

ε'.

Ἐγκώμιον Δημοσθένους. R IV 948

1. *Εἰ μὴ Δημοσθένην ἐπαινεσόμεθα, παρ' οὗ γέγονεν ἡμῖν τὸ δύνασθαι λέγειν, πάντων ἀδικώτατα πράξομεν.*

2. *Εὐθὺς τοίνυν ἐκεῖνο μέγιστόν ἐστιν εἰπεῖν, ὅτι γενόμενος ἐξ ἀρίστης πόλεως ἄξιον αὐτὸν τῆς ἐνεγκούσης ἔδειξεν. Ἀθηναῖος μὲν γὰρ ἀνήρ, πόλεως πρεσβυτάτης καὶ θεοφιλεστάτης, θεοῖς μὲν ἐμβαλούσης ἔρωτα, δεξαμένης δὲ παρ' ἐκείνων δωρεάς, κοινωσάσης δὲ τὰ δοθέντα τῷ ⟨θνητῷ⟩ γένει. μακρὸν λέγειν ναυμαχίας, πεζομαχίας, | νίκας, τρόπαια καὶ πάντα τὰ Ἀθηναίων* R IV 949 *καλά.* 3. *τεχθεὶς δὲ παρ' ἐκείνοις ἐκ πατρὸς ἐπιεικοῦς*

13 cf. p. 217, 2 14 cf. ad t. II 69, 14; IV 116, 10
19 Lib. vit. Dem. p. 2, 5. Plut. Dem. 4, 1

1 *τέχνην Vi* 2 *Ὕβρεως* scripsi *ὕβρεως* libri edd 3 *ταύτῃ θαυμάζοιτ' ἄν* scripsi e *La* (*θαυμάζοιτο*) *Mo* *θαυμάζοιτ'* (*θαυμάζοιτο B*) *ἂν ταύτῃ* (*ταύτην Pa*) reliqui libri edd 4 *παρὰ* scripsi e *BaPaBMo* · *περὶ PLLa* edd sed „*lege πρὸς vel, ut in Bav. est, παρὰ*" Re *πρὸς Vi* 5 *καὶ* om *LaMo* 6 *πολεμίων LaMo*
10 *ἀδικώτατα* scripsi e *B* *ἀδικώτατον PLVi* edd 12 *Εὐθὺς* — *εἰπεῖν* om *Vi* | *ἐστιν* inserui e *B* om *PL* edd 13 *ἐξαρίστης P* | *αὐτὸν PVi* 14 *ἀνήρ, πόλεως* scripsi *ἀνὴρ πόλεως* libri edd cf. ad t. IV 45, 4; V 69, 10; 56, 9 16 *κοινωσάσης δὲ τὰ δοθέντα* scripsi auctore Re *κοινωνησάσης δὲ εἰς τὰ* (*τ' P*) *δοθέντα* libri *κοινωνησάσης δὲ ἐς τὸν δοθέντα* edd sed *γρ τὰ* in marg Mor 17 *θνητῷ* inserui om libri edd

καὶ τὸν βίον ἀπὸ τῶν δικαίων ποιουμένου τύχῃ μὲν βλάπτεται, γνώμῃ δὲ πρὸς τὴν τύχην ἵσταται. καταλειφθεὶς μὲν γὰρ ἐν ὀρφανίᾳ καὶ παρούσης ἐξουσίας εἰς τὸ ῥᾳθυμεῖν οὐκ ἔμεινεν ἐν ἀπαιδευσίᾳ, τοῦτο δὴ τὸ τῶν ἐνταῦθα ἡκόντων, οὐδ' ἐπειδὴ τὸν ἐπιτάξοντα οὐκ εἶχε, διὰ τοῦτο πρὸς ῥᾳστώνην ἔδραμεν, ἀλλ' ἀντὶ τοῦ πατρὸς ἑαυτῷ καταστὰς εἴχετο πόνων. καὶ τῶν ἐπιτρόπων τὰς ἁρπαγὰς νέος μὲν ὢν διήνεγκεν, ἀνὴρ δὲ γενόμενος διήλεγξεν οὕτω καλοὺς λόγους ὑπὲρ τοῦ δικαίου συνθεὶς ὥστε καὶ τοὺς πρεσβυτέρους τῶν τότε ῥητόρων ἐν θαύματι καθεστάναι. 4. τὸ δὲ κάλλιστον τῶν ἐν ἐκείνοις τοῖς πράγμασιν, οὐ γὰρ ὅσων ἀπέδειξεν ἀπεστερημένος εἰσεπράξατο, ἀλλ' ἐπὶ τοῖς ἐλέγχοις πρᾷος ἐγίνετο μικρὰ μὲν λαβών, ἀφεὶς δὲ τὰ πλείω. τῇ μεγαλοψυχίᾳ τοίνυν ἀφ' ἑστίας χρησάμενος αὐτὸς ἦν ἐν τοῖς κοινοῖς χορηγῶν, εἰσφέρων, τριηραρχῶν.

---

1 Nicol. prog. comp. 2 p. 359, 13 ed. Walz. 2 sq. Lib. vit. Dem. p. 2, 17 sq. Plut. Dem. 4, 2. Zosim. vit. Dem. p. 298, 25 ed. West. 7 Zosim. p. 298, 26 W. 8 Zosim. p. 298, 30 12 Dem. Mid. p. 540, 17—19. Zosim. p. 299, 54 14 Anon. vit. Dem. p. 304, 53 W. 15 cf. ep. 1117. Arist. vesp. 846 c. schol. Plat. Euthyph. 3 A. cf. Salzmann, Sprichwörter bei Lib. 8 16 cf. t. VI 398, 6; t. IV 1000, 16 R. Dem. Chers. p. 107, 13; cor. 312, 24; fals. leg. 412, 27. [Luc.] enc. Dem. 16

---

1 *ποιουμένου* scripsi coll. t. IV p. 1000, 5 R *ποιούμενος* libri edd 3 *μὲν* om *B* 5 *μενόντων B* | *ἐπιτάξοντα* scripsi e *B* *ἐπιτάξαντα PLVi* edd 6 *διατοῦτο P* 8 *τὰς* inserui e *B* ut inserendum coni Re om *PLVi* edd *τὰς τῶν ἐπιτρόπων ἁρπαγὰς* Iacobs Lect 10 *ὡς B* 12 *τῶν* om *Vi* | *τοῖς* inserui e *B* om *PLVi* edd | *ὅσων* scripsi e *BPL* *ὅσον Vi* edd 13 *ἀλλ'* om *B* 14 *ἐφαίνετο Vi* | *πλείω* scripsi e *B* cum Bastio Comm. pal. (Greg. Cor.) 360 *τελείω PLVi* edd sed *ἴσ. πλείω ἢ τελεώτερα* in marg Mor 15 *μεγαλοψυχίᾳ* scripsi e *B* ut coni Re *μεγαλοψύχῳ PLVi* edd

5. *ἐν δὲ χορηγιῶν μνήμῃ δίκαιον μηδ' ἐκεῖνο παρελθεῖν· ἐφειστήκει μὲν γὰρ τὰ Διονύσια, χορηγὸς δὲ οὐκ ἦν τῇ Πανδιονίδι φυλῇ, ταραχὴ δὲ ἦν ἐν τῷ δήμῳ καὶ τῷ δοκεῖν ἠμελῆσθαι παρὰ τῆς πόλεως τὸν θεόν. ὁ δ' ἑκὼν ὑποστὰς ⟨τὸ⟩ τέλος ἀνεῖλε τὰ δυσχερῆ.*

6. *Μικρὰ ταῦτα, τὴν προαίρεσιν εἴ τις ἐξετάζοι μεθ' ἧς ἥψατο τοῦ βήματος. ἴδοι δ' ἄν τις τὸν Δημοσθένην καλῶς, εἰ πρότερον σκέψαιτο τὸν Φιλίππου τρόπον. ἐκεῖνος προσέθηκε μηχανὴν τοῖς Ἕλλησι χαλεπωτάτην τὴν διὰ τῶν χρημάτων. οὐ γὰρ ὁπλίτας συνέστησεν ἐπ' αὐτοὺς καὶ στρατόπεδα καὶ δι' ἀγώνων ᾕρει τὰς πόλεις, ἀλλ' ἐδίδου χρυσίον, ὠνεῖτο τοὺς προεστηκότας καὶ δι' ἐκείνων εἶχε τὰς πόλεις. 7. καὶ τοῦ νοσήματος κατασχόντος τὴν Ἑλλάδα καὶ τῶν ἑκασταχοῦ πολιτευομένων δεχομένων ἐπὶ ταῖς πατρίσι Δημοσθένης μόνος οὐχ ὑπέσχε τὴν χεῖρα, ἀλλ' ὁρῶν ἑτέρους πλουτοῦντας | R IV 950 αὐτὸς εἰ σῴζοι τὴν ἑαυτοῦ, κέρδος ἡγεῖτο καὶ διὰ τῆς φωνῆς ἀνθίστατο τῷ διδόντι, τοῖς λαμβάνουσι, τῷ δήμῳ τὸν μὲν ἀποκρουόμενος, τῶν δὲ ἐλέγχων τὴν πονηρίαν, τῶν δὲ αἰτιώ-*

---

2 Dem. Mid. p. 518, 27 sq. 3 Dem. Mid. p. 519, 2 5 Lib. hypoth. ad Dem. Mid. p. 509, 3 9 cf. p. 298, 6. Dem. Phil. III p. 124, 2 12 Dem. fals. leg. p. 437, 20 sq.; cor. p 240, 26 sq. 14 Dem. fals. leg. p. 424, 3 sq. 16 cf. p. 255, 14; t. VI 282, 2. Dem. cor. p. 325, 15

---

1 *μηδὲ B μὴ δ' P* 2 *ἐφεστήκει* libri edd | *Διονύσια* scripsi coll p. 1003, 5 R; hyp. ad Dem. Mid. p. 508, 2; 509, 20. Dem. Mid. p. 514, 7 *διάσια* libri edd 3 *ταραχῇ* edd 4 *τῷ* scripsi *τὸ* libri edd | *δοκοῦν L* | *περὶ Vi* et *γρ* in marg Mor | *τὸ θέον L* 5 *ὃ P ὅ LVi* | *τὸ* inserui om libri edd 6 *ἐξετάζοι* scripsi e *BVi* cum Iacobsio Lect *ἐξετάζει PL ἐξετάζῃ* edd 9 *προτέθεικε B* 10 *τὴν* om *B* 14 *ἑκασταχοῦ* scripsi e *B ἑκασταχῇ PLVi* edd

μενος τὴν ῥᾳθυμίαν. 8. *ἐπῄει Φίλιππος Ὀλυνθίοις, ὁ δὲ ἀνίστη τοὺς Ἀθηναίους ἐπὶ τὴν σωτηρίαν τῶν ἀποίκων πυκναῖς δημηγορίαις. καί, τὸ Δημοσθένους μέρος, οὐχ εἷλεν ὁ Φίλιππος Ὄλυνθον, Εὐθυκράτους δὲ ἡ μισθαρνία τὴν τούτου σπουδὴν διέφθειρε.* 9. *πάλιν πρεσβεύων ὡς τὸν Φίλιππον ἐμίσει τὸν τύραννον καὶ ἐμισεῖτο παρ' αὐτοῦ χαριζόμενος οὐδέν, φεύγων τὰ λήμματα καὶ μέχρι τῶν ξενίων. προὐδίδοσαν ἕτεροι τὴν Θρᾴκην μέλλοντες, ὁ δὲ ἐβόα· σπεύδωμεν. πάλιν Φωκέας ἔπειθεν Αἰσχίνης ψευδόμενος, ὁ δὲ ἐκώλυε. καὶ Φωκεῖς ἦσαν ἄν, εἰ μὴ τὴν ἀλήθειαν τῶν παρ' ἐκείνου λόγων ἡ τῶν ἐλπίδων ἐνίκησεν ἡδονή.* 10. *ἀλλ' οὐδὲ ἀνῃρημένων Φωκέων ἡσύχαζεν, ἀλλ' ἔκρινεν ὃν ἡγεῖτο Φιλίππῳ παραδεδωκέναι τὰς πόλεις. ὁ δὲ πάλιν ἐφενάκισε καὶ πονηρὸς ὢν ἀπέφυγεν. οὐ μὴν διὰ τοῦτο Δημοσθένης ἀγανακτήσας ἀπέστη τῶν κοινῶν, ἀλλ' ἐφύλαττε διὰ τέλους τὴν τάξιν πόνους τῷ Φιλίππῳ παρέχων καὶ τριβὴν ἐμποιῶν.* 11. *εἰς Πελοπόννησον*

---

1 cf. t. IV 1001, 15 R; hypoth. ad Dem. Ol. I p. 7, 19 sq. 3 cf. t. VI 280, 9. Dem. cor. p. 309, 17. [Luc.] enc. Dem. 35 4 cf. t. VI 259, 20; ad t. III 464, 16 6 Lib. hypoth. ad Dem. fals. leg. p. 383, 13 sq. Aeschin. Ctes. § 92 8 cf. t. IV 1001, 21 R. Aeschin. fals. leg. § 39; 162 18 cf. t. VI 277, 15. Dem. Phil. III p. 129, 16

---

1 *ἐποίει PL* Mor qui *ἐπόνει Φίλιππος Ὀλυνθίους* coni | *ὀλυνθίους B* sed *υ*(2) in *ι* corr m² 2 *ἀνίστη* reposui e libris *ἀνίστησι* edd sed *γρ ἀνίστη* in marg Mor | *ἐποίκων B* 4 *Εὐθυκράτους δὲ ⟨καὶ Λασθένους⟩* Weiske hyperb. err. II 8 5 *μισθάρνης PLVi* Mor qui *μισθάρνησις* coni 6 *πρὸς Vi* et *γρ* in marg Mor 7 *αὐτῷ B* 9 *γρ σπεύδων* in marg Mor 10 *ἔπειθεν* scripsi e *B* om *PLVi* edd *ἀπολεῖ* Iacobs Lect coll p. 304, 3 12 *ἐνίκησεν* scripsi e *B* cum Iacobsio Lect Sinteni *ἐκίνησεν PLVi* edd sed „*suspectum*“ Re 13 *οὐδ' LVi* | *ἀλλ'* — 14 *πόλεις* inserui e *B* om *PLVi* edd 15 *ἐφενάκισε* reposui e libris *ἐφενάκιζε* edd | *διατοῦτο P* 17 *διατέλους PLVi* 18 *πελοπόνησον BP* edd

παρεδύετο καὶ πρεσβείᾳ Δημοσθένους ἐξηλαύνετο. τῆς Εὐβοίας ἥπτετο καὶ πρεσβείαις ὁμοῦ καὶ στόλῳ ἐξεκρούετο. διὰ μὲν Δημοσθένην ὁ δῆμος ἐκινεῖτο, διὰ δὲ τὸν δῆμον αἱ πόλεις ἐλεύθεροι, Βυζάντιον, Χερρόνησος, Πέρινθος. δι' ἐκεῖνον οὐκ ἐξέπεσεν ἡ πόλις τῆς θαλάττης. ὁ γὰρ τὸ ναυτικὸν διαφθειρόμενον ἐπανορθώσας τῷ νόμῳ καὶ τὸ πλεῖν Ἀθηναίοις δέδωκε καὶ τὸ κεκτῆσθαι τὴν θάλατταν. 12. | συστήσας τοί- R IV 951
νυν οὕτω τὸ ναυτικὸν ἐξήρπασεν αὐτὸ τοῦ πυρὸς ὃ προσῆγεν Ἀντιφῶν. οὗτος γὰρ ἧκε μὲν ἐπὶ τῷ καῦσαι τὰς ναῦς, ἐξηρέθη δὲ πρὶν ἐμβαλεῖν ὑπὸ τοῦ Δημοσθένους. μόνος γὰρ ἐκεῖνος ὑπὲρ τῶν κοινῶν ἄγρυπνος ἦν καὶ διετέλει γράφων, λέγων, πρεσβεύων, προϊέμενος οἴκοθεν, οὐ λαμβάνων κατὰ τῆς ἐνεγκούσης. 13. οὕτως οὐ μόνον ἔσωζε τὴν πόλιν, ἀλλὰ καὶ ὅπως μὴ τὴν χείρω λάβοι δόξαν ἐπραγματεύετο. Πύθωνος γὰρ ἥκοντος ἐπὶ τῷ δεῖξαι τὴν πόλιν ἀδικοῦσαν ἠναντιώθη καὶ τοὺς Φιλίππου φίλους οἳ παρῆσαν μάρτυρας τῇ πόλει κατέστησε τοῦ βελτίονος λόγου. 14. πολλὰς μὲν ἐποιήσατο τὰς πρεσβείας, πανταχόθεν δὲ νικῶν ἀπῆλθε πολλὰς μὲν κρίσεις, ἀεὶ δὲ συκοφαντούμενος ἀπεδείχθη

2 cf. t. VI 302, 10. Dem. Chers. p. 99, 1; Phil. III p. 115, 3; Phil. IV p. 133, 23; cor. p. 248, 11 4 cf. t. VI 277, 14; 258, 4; t. IV 1002, 20 R 6 cf. t. VI 281, 2; t. IV 1002, 24 R 9 cf. p. 305, 1; t. VI 328, 6. Dem. cor. § 132 p. 271, 7 16 Dem. cor. § 136 p. 272, 19 21 Dem. cor. p. 310, 4

2 ὁμοῦ om *L* αὐτοῦ *Vi* 4 χερόνησος *B* 5 πείρινθος *PL* edd 6 θαλάσσης *B Vi* 10 τῷ reposui e libris τὸ edd | κατακαῦσαι *Vi* 16 λάβῃ *B Vi* edd 17 καὶ ante ἐπὶ *L* | τῷ reposui e libris τὸ edd 20 πανταχοῦ *B* | ἀπῆλθεν *Vi* 21 *„post κρίσεις videtur κρινόμενος vel tale quid deesse“* Re ἀνεδείχθη *Vi* et γρ in marg Mor

Δημοσθένης. οὐκ ἐφῆκε Φίλιππον προσελθεῖν τοῖς τείχεσιν, ἀλλ' ἔστησεν ἐν Χαιρωνείᾳ τὸν κίνδυνον τὴν Θηβαίων πόλιν Ἀθηναίοις προσθεὶς διὰ πρεσβείας, ἣν ἐλπὶς ἦν συνεπιστρατεύσειν ἐπ' Ἀθήνας τῷ Φιλίππῳ, καὶ μοῖραν τηλικαύτην ἀπέκοψε τοῦ πολεμίου, προσένειμε δὲ τοῖς πολίταις. καὶ ταῦτα εἰκότως εἶχε προνοεῖν. κρατήσας γὰρ οἴνου καὶ τὴν ψυχὴν ἐλευθερώσας τῆς ἐκεῖθεν ταραχῆς κατὰ πολλὴν ὀξύτητα τῶν φρενῶν ᾔδει τὸ δέον. 15. θαυμαστὸς ὁ Περικλῆς, ἀντηγωνίζετο γὰρ τοῖς Λακεδαιμονίοις, τοῖς Ἀργείοις, τοῖς Μεγαρεῦσι τοῖς οὐκ ἀναμίξασι προδοσίαν πολέμοις, ὁ δὲ ἀντηγωνίζετο ταῖς Φιλίππου τέχναις, τοῖς δώροις, ταῖς ἀπάταις, ταῖς ἐπιορκίαις δι' ὧν ἐκεῖνος εἶχε τὰς πόλεις πρὶν ὃ βούλεται δηλῶσαι. 16. Θεμιστοκλῆς κρείττων ἐφάνη τοῦ Πέρσου, τρυφῶντος ἀνθρώπου καὶ ἐκλελυμένου καὶ παραπαίοντος καὶ τῶν συμφερόντων οὐδὲν εἰπεῖν δυναμένου, ὁ δὲ κρείττων ἐγένετο τῶν
R IV 952 Φιλίππου καὶ | πόνων καὶ χρημάτων. 17. καὶ ὁ μὲν ἐκολάκευσε τὸν βάρβαρον καὶ ἐνεχείρισεν ἑαυτὸν τῷ Μήδῳ καὶ δεσπότην ἐποιήσατο τὸν δυσμενῆ, Δη-

1 cf. t. IV p. 1004, 5 R   7 cf. t. IV 991, 16 R; vit. Dem. p. 4, 16   9 sq. [Luc] enc. Dem. 37

1 *ἐφῆκε* scripsi cum Sinteni *ἀφῆκε* libri edd | *παρελθεῖν* *B Vi*   4 *συνεπιστρατεύειν Vi* | *ἐπ'* scripsi *εἰς* (*ἐς Vi*) libri edd   6 *πολεμεῖν Vi*   8 *πολλὴν ὀξύτητα* scripsi e *B* *πολλὰς ὀξύτητας PL Vi* edd „*fort. μετὰ πολλῆς ὀξύτητος*“ Re   10 *τοῖς Ἀργείοις — 12 δώροις*] *ὁ δὲ ἀντηγωνίζετο ταῖς φιλίππου τέχναις, καὶ ὁ μὲν τοῖς ἀργείοις, τοῖς μελίταις τοῖς οὐκ ἀναμίξασι προδοσίαν πολέμοις, ὁ δὲ δημοσθένης τοῖς δώροις τοῦ φιλίππου Vi* | *Μεγαρεῦσι* scripsi coll [Luc.] enc. Dem. l. l. *μελίταις* libri edd sed „*quid hoc sibi vult?*“ Re *Μελίσσου* Sintenis coll Plut. Per. 26   13 *ὃν PL* Mor qui *ὧν* coni   19 *ἐκολάκευσε* reposui e libris *ἐκολάκευε* edd | *ἐνεχείρησεν Vi* | *αὑτὸν B*   20 *Μήδῳ* scripsi ut coni Re Iacobs Lect Anth. Pal. III 610 Sintenis coll t. VI 285, 16 *δήμῳ* libri edd | *τῶν δυσμενῶν Vi*

μοσθένης δὲ ὡς ἔγνω τὴν τύχην Μακεδόνων γεγονυῖαν, οὐδὲν ἀνάξιον τῶν βεβιωμένων ὑπέμεινεν, ἀλλ' ἐπειδὴ δυοῖν θάτερον ἐχρῆν, ἢ θεραπεῦσαι Μακεδόνας ἢ προαπελθεῖν, μετέστησεν ἑαυτὸν τοῦ βίου φαρμάκῳ θαύματος μὲν ἀξίως βιούς, ἐφάμιλλον δὲ τῷ βίῳ τὴν τελευτὴν δεξάμενος.

ϛ'.

Ἐγκώμιον δικαιοσύνης. R IV 956

1. *Δικαιοσύνην καλὸν μὲν ἐπιτηδεύειν, καλὸν δὲ ἐγκωμιάζειν. περὶ ἧς τί μεῖζον εἴποι τις ἂν ἢ ὅτι θεοῖς ἐστι φίλη καὶ ταύτην ἀσκοῦσι καὶ ταύτῃ συζῶσιν. ἐν μὲν γὰρ τοῖς ἑτέροις διεστήκασι καὶ τῷ μὲν ὅπλων, τῷ δὲ χαλκείων, τῷ δὲ γάμων μέλει, δίκαιοι δὲ πάντες εἶναι βούλονται καὶ εἰσίν.* 2. *ὁ δὲ Ζεὺς καὶ πάρεδρον ποιεῖται τὴν Δίκην ὡς οὐκ ἂν ἄλλως κάλλιον διοικήσων οὔτε τὴν ἐν οὐρανῷ βασιλείαν οὔτε τὰ ἐν τῇ γῇ πράγματα. τῶν δ' αὖ ἡμιθέων ὅσοι τὸν αὐτῶν βίον τοιοῦτον παρέσχοντο, ζῶντες ὁμοίως καὶ μεταστάντες εὐδαιμονέστερον διαιτῶνται.* 3. *τίς γὰρ οὐκ ἀκήκοε περὶ Μίνωος ὡς ὑπὸ γῆν κάθηται τοῖς ἀπιοῦσι δικαστὴς τοῖς μὲν ὁσίως βεβιωκόσιν ἆθλα διδούς, τοὺς δὲ πονηροὺς πέμπων εἰς τὸ τῆς τιμωρίας χωρίον; Αἰ-*

15 cf. ad t. II 79, 2. Orph. h. 62, 2 — 20 Od. λ 568

1 *τύχην* scripsi e *Vi* *ψυχὴν* *BPL* edd sed „*fort. τὴν τύχην τῶν Μακεδόνων ὑπερτέραν* (sc. *τῆς ἑλληνικῆς*) *γεγονυῖαν*" Re 8 *δυοῖν* scripsi e *BLVi* *δυεῖν* *P* et coni Re *δυρεῖν* edd 9 „*fort. καλὸν δὲ καὶ ἐγκωμιάζειν*" Re 10 *εἴπῃ* *BaPa* 11 *ἐστι* om *B* 13 *τῷ δὲ γάμων* om *B* | *μέλλει* *BaPaVi* 14 *καὶ* (2) inserui e *BaPaB* om *PLVi* edd 15 *ἄλλος* *PL* 16 *ἐν τῷ οὐρανῷ* *B* 17 *τῇ* om *PVi* | *δὲ* edd | *αὐτὸν* *Vi* *αὐτῶν* reliqui libri edd 18 *ὁμοίως* scripsi e *B* *τε μοι δοκοῦσι* reliqui libri edd 19 *διαιτᾶσθαι* coni Mor Re 20 *γῆς* *Vi* *ἀπιοῦσι* reposui e libris *ἐπιοῦσι* edd 22 *πεδίον* *B*

ακὸς δὲ ὁμοπάτριος μὲν ἀδελφὸς τούτου, γενόμενος δὲ οὐ χείρων τὴν γνώμην πλέον ἴσχυσε τῆς κοινῆς τῶν Ἑλλήνων ἀτυχίας καὶ τὸν ἐκ τῶν αὐχμῶν λιμὸν ἔλυσεν εὐχαῖς.

4. Καὶ τί δεῖ περὶ τὰ παλαιὰ διατρίβειν ἔτι καὶ νῦν τοῦ πράγματος εὐδοκιμοῦντος; πρῶτον μὲν τοίνυν θεοῖς οἱ τοιοῦτοι φίλοι, φίλοι δὲ ὄντες εἰκότως ἂν καὶ τυγχάνοιεν τῶν παρ' ἐκείνων ἀγαθῶν, σωτηρίας, ὑγείας, πλούτου, τῶν ἄλλων ὅσα κάλλιστα καὶ μέγιστα νομίζεται. 5. εἰ δὲ δὴ καὶ πένησιν εἶναι συμβαίη τοῖς τοιούτοις, ἥ γε ἐπὶ τῆς ψυχῆς δικαιοσύνη τὴν ἄκραν αὐτοῖς εὐδαιμονίαν παρέχει. οἷς γε μᾶλλον τῶν χορηγούντων καὶ χρήματα ἐπιδιδόντων ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι παρὰ τῶν πολιτῶν ὑπάρχει. καὶ ὅπερ Ὅμηρος ἔφησε περὶ τῶν δεινῶν εἰπεῖν, ὅτι θεοῖς παραπλήσιοι δι' ἀγορᾶς ἔρχονται, τοῦτ' ἄν τις δικαιότερον
R IV 957 *ὑπὲρ τῶν δικαίων εἴποι. τούτους | γὰρ ὡς ἀληθῶς ἅπαντες αἰδοῦνται καθάπερ δαίμονας. 6. σύλλογός τίς*

3 cf. ad t. III 243, 2; IV 256, 2. [Apollod.] bibl. III 12, 6. cf. C. Rother, De Choricii studiis Libanianis 12   5 Dem. Andr. p. 597, 17   13 cf. ad p. 172, 20   15 Od. θ 173

1 *ἀδελφὸς τούτου* scripsi coll p. 230, 14 *τούτω ἀδελφὸς B ἀδελφὸς δὲ τούτῳ* reliqui libri edd sed *δὲ* delendum coni Mor Re   2 *οὐ* inserui e *BaPaB* ut coni Re om *PLVi* edd   3 *τῶν αὐχμῶν* reposui e libris *τῆς αὐχμῆς* edd sed *γρ τῶν αὐχμῶν* in marg Mor   4 *εὐχαῖς* scripsi e *BaPa* cum Iacobsio Lect *ἀχαιοῖς BPLVi* edd   5 *λοιπὰ BaPa*   6 *τοίνυν] νῦν τοῖς B*   8 *καὶ τυγχάνοιεν* reposui e libris *τυγχάνοιεν καὶ* edd   9 *πλούτου* scripsi e *BaB* *πλοῦ* (τ suprascr.) *Pa* *πλούτων PLVi* edd   10 *νομίζεται* reposui e libris ut coni Re *ἐνομίζετο* edd | *δὴ* inserui e *BaPaBL* om *PVi* edd | *καὶ* om *Vi*   11 *γε* om *BaPa* *γ'* edd   12 *παρέχει* scripsi *ἔχει* libri edd   14 *τῶν πολιτῶν* scripsi e *BaPaB* *τῶν πολλῶν PLVi* *τοῖς πολλοῖς* edd   15 *περὶ τῶν δεινῶν εἰπεῖν ἔφησεν Vi* | *παρὰ L* | *εἰπὼν B*   17 *ὡς* om *Pa*   18 *ἅπαντες* om *Vi* *ἅπαντας Pa* sed *ες* suprascr m[2] | *τίς* om *B*

ἔστι καὶ βουλὴ περὶ συμμαχίας. τοῖς τούτων λόγοις οἱ καθήμενοι προσέχουσιν. οὐ γὰρ διαβάλλει τὴν γνώμην ὑποψία χρημάτων. πρεσβείαν ὁ καιρὸς καλεῖ. τούτους χειροτονοῦσι καὶ πέμπουσιν εἰδότες ὡς οὐχ οὕτω πολλὰ δώσουσιν οἱ πολέμιοι, δι' ἃ προήσονται τὸ τῶν πραγμάτων συμφέρον. ἀλλὰ καὶ τὰς δυνάμεις οὐχ ἑτέροις ἐγχειρίζουσιν οἵ γε σώζεσθαι βουλόμενοι νομίζοντες μεῖζον ἰσχύσειν τοῦ στρατοπέδου τὴν γνώμην τοῦ στρατηγοῦ. 7. *τίς οὐκ ἂν εὔξαιτο τῷ τοιούτῳ κηδεῦσαι; τίς οὐκ ἂν τὴν τούτου διώξειε φιλίαν; τίνι δὲ οὐκ αἰσχύνη τῷ τοιούτῳ πολεμεῖν; ὁ δίκαιος κατηγορῶν πιστεύεται καὶ κρινόμενος ἀποφεύγει καὶ μαρτύρων οὐ δεῖται πολλῶν μαρτυροῦντος τοῦ τρόπου. δικαζομένῳ δὲ εἰ μαρτυρήσειε, κατὰ τοῦτο ἡ ψῆφος ἐξηνέχθη. θεωρίαν δὲ εἰ δεήσειε πέμπειν, τίς ἂν αἱρεθείη πρὸ τοῦ δικαίου; δῆλον γὰρ ὡς τὰ διὰ τούτου γινόμενα κεχαρισμένα τοῖς θεοῖς.* 8. *καὶ μὴν οἵ γε ἀμφισβητοῦντες ἢ περὶ γῆς ἢ περὶ χρημάτων τοὺς ἀποδεδειγμένους δικαστὰς ὑπεριδόντες ἐπὶ τούσδε καταφεύγουσι. τούτοις καὶ ἡ γῆ φέρει καρποὺς καὶ γυναῖκες τίκτουσι, τούτοις ἡδέως ἄν τις γένοιτο σύμπλους ὡς καὶ τῆς θαλάττης κηδομένης τοῦ πλοίου τοῦ τὸν δίκαιον φέ-*

---

1 *συμμαχίας* scripsi e *Vi* *συνέσεως BaPa* *συκοφαντίας B* *συ* cum lac 9—10 litt *P*, 7—8 *L* Mor qui *συμφέροντος* coni, *συμφερόντων* Re 2 *προσέχουσι Vi* 5 *προήσεται BaPa* *προήσαιντο B* | *πραγμάτων* scripsi e *BaPaB* ut coni Mor Re Bast Greg. Cor. 185 *γραμμάτων PLVi* edd 12 *καί*(1) in ras 1 litt om *B* 14 „*aut εἰ τἀναντία μαρτυρήσειε legendum est aut κατὰ τοῦτον*" Re | *κατὰ τοῦτο* scripsi cum Sinteni *καὶ τοῦτο BaPa* *κατὰ τούτου BPLVi* edd 15 *δεήσειε* scripsi e *B* cum Sinteni *δεήσειεν BaPa* *δεήσει PL* edd *δεήσοι Vi* 16 *τούτου* scripsi auctore Re *τούτων* libri edd 17 *εἴ L* | *γ' Vi* edd 18 *ἢ*(1) om *BaPaB* 21 *ἄν τις ἡδέως B* | *καὶ* reposui e libris *κἂν* edd 22 *θαλάσσης B* | *συμφέροντος Vi*

ροντος. οὗτος ὅλῃ πόλει σωτήριος οὐ μόνον τὰ βέλτιστα συμβουλεύων, ἀλλὰ καὶ πολεμίων παύων θυμόν. καί τις ἂν ὅλῃ πόλει τὰς αἰτίας ἀφείη τὸν δίκαιον R IV 958 *αἰδεσθείς.* 9. *οὐ μὴν οὐδὲ γαστρὶ | δουλεύοιεν ἂν οἱ δίκαιοι δεδοικότες μὴ φθείρῃ τὸν τρόπον ἡ πλησμονὴ καὶ τῶν κεκριμένων καλῶν ἐκβάλῃ καὶ πρὸς τὰς ἀτόπους ἡδονὰς ἑλκύσῃ. ζῶντες δὲ ἐν τοιαύτῃ διαίτῃ καὶ διαφύγοιεν ἂν νόσους. οἶμαι δ', εἰ καὶ λῃσταὶ προσπεσόντες ἀφέλοιεν τὰ ὄντα, πολλοὺς ἔσεσθαι τοὺς δώσοντας καὶ τοσαῦτα καὶ πλείω κέρδος αὐτῶν ἡγουμένους τὴν δόσιν.* 10. *οἱ μὲν οὖν ἄλλοι πλουτήσαντες κακῶς καὶ χαρισάμενοι ταῖς ἡδοναῖς ἐν τῷ βίῳ δεδιότες εἰς Ἅιδου πορεύονται τῶν ἐνταῦθα κακῶν ἐκεῖ τὰς δίκας εἰδότες γινομένας, ὁ δέ γε δίκαιος χαίρων μεθίσταται καλῶν ἀποδημίαν τὴν τελευτήν, κήπους καὶ ἄνθη καὶ αὔρας ὀνειροπολῶν, καὶ ἀπελθόντος διαρκεῖ*

3 Gen. 18, 26 sq. 15 Plat. Phaed. p. 67 B

1 *οὗτος ὅλη τῇ πόλει συμφέρων Vi* 2 *πολεμίων* scripsi *πόλεων* libri edd sed *ἴσ. πολιτῶν* in marg Mor *ἄλλων* vel *πολεμίων* coni Sintenis | *παύων B* sed *ύ* in ras m[2] 3 *ὅλη τῇ πόλει Vi* | *τὸ Pa* 4 *δουλεύοιεν* reposui e libris *δουλεύσειεν* Mor *δουλεύσειαν* Re 6 *τὸ B* | *κεκριμένων* scripsi cum Iacobsio Lect Sinteni *κεκρυμμένων* (*κεκρυμένον B* sed *μ* suprascr m[2]) libri edd sed *ἴσ. κεκτημένων* in marg Mor | *καλὸν B* | *ἐκβαλεῖ* libri Mor corr Re 7 *ἑλκύσει Pa* 8 *δὲ B* edd 10 *δώσοντας* scripsi e *BaPaB* *σώζοντας PL Vi* edd sed *ἴσ. διδόντας* Mor, „*fort. ἐπιδώσοντας aut saltim δώσοντας*" Re | *αὐτῶν* libri edd sed *αὑτῶν* coni Re | *ἡγουμένους* scripsi ut coni Re *ἡγουμένων* libri edd 11 *μὲν* inserui e *BaPaB* om *PL Vi* edd 13 *ᾅδην L Vi* | *εἰδότες ἐκεῖ τὰς δίκας BaPa* 14 *εἰδότες* om *B* 15 *ἐπιδημίαν B* | *τελευτήν* scripsi e *BaPaB* *καλήν PLVi* edd sed „*fort. τὴν καλὴν τελευτήν*" Re | *εὐρηκώς* post *τελευτὴν B* 16 *ὥρας Vi* | *ἀπελθόντος*] *εἰ ἀπέλθοι B* | *διαρκεῖ* scripsi auctore Iacobsio Lect App Pors 330 *χαίρει* libri edd sed *χαίρει τοὔνομα ἀκούων* coni Mor Not „*sententia postulat ζῇ aut ἀνθεῖ*" Re *χρονιεῖ* Schwabe

τοὔνομα καθάπερ Ἀριστείδου τοῦ Λυσιμάχου. 11. καὶ μόνοις τοῖς δικαίοις καλὰ μὲν τὰ τῇδε, καλλίω δὲ τὰ ὑπὸ γῆν. καὶ θάπτονται μὲν σὺν ἐπαίνοις, χωροῦσι δὲ παρὰ φίλους τοὺς ἐκεῖ θεοὺς τοῖς παισὶν οἱ μὲν καταλιπόντες μετὰ χρημάτων τὴν παρὰ πάντων εὔνοιαν, οἱ δ' αὖ τὴν εὔνοιαν ἀντὶ χρημάτων. 12. ὁ ἀριστεὺς ἂν μὴ δίκαιος ᾖ, ταῖς χερσὶ καὶ κατὰ τῶν πολιτῶν ἂν χρήσαιτο. ὁ ῥήτωρ ἂν δικαιοσύνης ἀμελῇ, συμφορὰ τοῖς χρωμένοις ἐστί. σωφροσύνη δὲ οὐδ' ἂν γένοιτο τὴν ἀρχὴν μὴ δικαιοσύνης ἡγουμένης. καὶ ὅλως τὰ μὲν ταύτης κεκοινωνηκότα καὶ τοὺς κεκτημένους καὶ τοὺς ἄλλους ἂν ὠφελήσειε, τὰ δὲ ἐστερημένα καὶ τοῖς ἔχουσι κακὰ καὶ ὅσοι τούτοις συζῶσιν.

ζ'.

Ἐγκώμιον γεωργίας. R IV 952

1. Φθάσας ἡμᾶς Ἡσίοδος ἐπήνεσε τὴν γεωργίαν ὁμοίᾳ τε καὶ ἴσῃ σπουδῇ χρησάμενος περί τε θεῶν γενεαλογίαν καὶ τὰ περὶ γῆν παιδεύματα. δῆλον γὰρ ὅτι μέγα τε καὶ ἀγαθὸν ἡγούμενος τῆς αὑτοῦ μούσης ἠξίωσε. 2. πῶς γὰρ ἂν εἴη μικρὸν ὑπὸ τοιούτων καὶ

---

1 *Ἀριστείδου* scripsi e *BaPaB* ut coni Mor Not Re *ἀριστείδῃ P* edd *ἀριστείδης LVi* 3 *ὑπὸ τὴν γῆν Vi* 4 *φίλους* scripsi e *B* ut coni Re *φίλοις BaPa* *φαύλους PLVi* edd | *μετὰ χρημάτων καταλιπόντες BaPa* 5 *μετὰ χρημάτων* om *B* | *οἳ L Vi* 6 „*fort. μόνην (vel ψιλὴν) τὴν εὔνοιαν*“ Re *αὐτὴν εὔνοιαν* Iacobs Lect | *ἀντιχρημάτων Pa* 7 *καὶ* inserui e *B* om reliqui libri edd | *ποιητῶν Pa* | *ἂν χρήσαιτο* scripsi *ἐχρήσατο* libri edd sed „*scr. aut χρήσεται aut quod probabilius χρήσαιτο ἄν*“ Iacobs Lect 8 *ἀμελῇ* reposui e libris cum Iacobsio Lect *ἀμελεῖ* edd 9 *δ'* edd 10 *τηναρχὴν B* 11 *ἐκκοινωνηκότα L* *ἐκκεκοινωνηθέντα Vi* 13 *καλὰ Vi* | *συζῶσι PVi* edd

17 *τῇ ἴσῃ τε καὶ ὁμοία Vi* 18 *καὶ περὶ τὰ γῆς παιδεύματα* coni Sintenis | *γῆς LVi* 19 *αὐτοῦ* scripsi e *L* *αὑτοῦ* reliqui libri edd *αὐτῆς* coni Mor

τηλικούτων θεῶν συμπεπορισμένον; ἀκούεις γὰρ ὡς Ἀθηνᾶ βοῦν τε ἤγαγεν ὑπὸ ζυγὸν καὶ ἄροτρον ἔδωκεν ἀνθρώποις, Διόνυσος δὲ τὴν τῆς ἀμπέλου χάριν ἔφηνε, πυροὶ δὲ καὶ κριθαὶ Δήμητρος δόσις. ἐλαία δὲ ὡς Ἀθηνᾶς ἱερὸν καὶ εὕρημα τῆς θεοῦ τὸ φυτόν, ἐν τῇ πρὸς Ποσειδῶ κρίσει ⟨τῇ⟩ περὶ τῆς Ἀττικῆς ἐδηλώθη. 3. ἕως μὲν οὖν ἡ τέχνη τῆς γεωργίας ἀπῆν, οὐδὲν διέφερεν ὁ τῶν ἀνθρώπων βίος τοῦ τῶν θηρίων οὐδὲ πόλεων ἦσαν κατασκευαὶ οὐδὲ τάξις πολιτείας οὐδὲ νόμων θέσις, ἀλλὰ χάριτι τὸ δίκαιον ἐκρίνετο καὶ ὁ ἀσθενὴς ὑπὸ τοῦ ἰσχύοντος εἵλκετό τε καὶ ἤγετο. γεωργίαν δὲ ἡγοῦμαι συναγαγεῖν τε ἀνθρώπους καὶ ἄστη κτίσαι καὶ ὁμόνοιαν ἐμφυτεῦσαι καὶ τὰ διάφορα ἐκεῖθεν ὑπὸ τῶν νόμων λύεσθαι.

4. Μυρία μὲν οὖν ἐπιτηδεύματα κατὰ ἀνθρώπους, ἄριστον δὲ ἡ γεωργία. τὸ γὰρ μέγιστον κέρδος δίδωσι τοῖς γεωργοῦσι. τοῦτο δέ ἐστιν αὐτοὺς ἀγαθοὺς εἶναι.
R IV 953 ἀνὴρ γὰρ ἀρούρᾳ προσκείμενος | καὶ περὶ τὴν γῆν ἐσπουδακὼς πόρρω μὲν ἀγορᾶς καὶ τῆς ἐν ἀγορᾷ φιλονεικίας, πόρρω δὲ δικαστηρίων καὶ τῶν ἐν δικαστηρίοις συκοφαντιῶν, πόρρω δὲ ἐκκλησίας καὶ τῶν

2 Lycophr. Al. 359. 520 c. schol. Aristid. Ath. t. II p. 308, 16 K

3. *τοὺς προγόνους δὲ αὐτοῦ λαμπροὺς οὐκ ἂν* | R IV 968 *εὕροι τις ἀπ' ἐκείνων ἃ τοὺς ἄλλους εἴωθε ποιεῖν, ἀγῶνας λέγω καὶ μάχας καὶ πολέμους καὶ τρόπαια καὶ τὸ συμμαχῆσαι φίλοις καὶ τὸ κολάσαι δυσμενεῖς καὶ τὸ μείζω καταστῆσαι τὴν ἀρχήν, εἰ μὴ τοῦτό τις ἡγεῖται λαμπρὸν τὸ καταφρονεῖν τῶν θεῶν καὶ παροινεῖν εἰς τὸν εὐεργέτην Ἡρακλέα καὶ τὰς συνθήκας παραβαίνειν. ταῦτα γὰρ τὰ Λαομέδοντος, ἀλλ' οὐκ ἐμέμψατο τὴν δίκην, ἀλλ' ἑώρα τὴν πόλιν κειμένην ὑφ' Ἡρακλέους.* 4. *καὶ τοιούτων ἐπειρᾶτο κακῶν καὶ ὁ παῖς μὲν ἐκείνου, πατὴρ δὲ Ἕκτορος. ὃν ὅτι ἐκτρέφει γενόμενον, ὡς ἐν βαρβάροις εἰκὸς καὶ τυραννίδι, ἐν μέθῃ καὶ ὕβρει καὶ ἀπαιδευσίᾳ, δῆλον ἐκ τῆς κακίας ἣν ἔδειξεν εἰς ἄνδρας ἐλθών.* 5. *ἐπιχειροῦντος γὰρ τοῖς μεγίστοις ἀδικήμασιν Ἀλεξάνδρου καὶ παρεσκευασμένου πλεῖν εἰς Πελοπόννησον ἐφ' ἁρπαγῇ τῆς Ἑλένης καὶ φανερῶς ναυπηγουμένου καὶ πόλεμον εἰσάγοντος εἰς τὴν Τρῳάδα βαρύν, οὐ γὰρ ἦν ἄδηλον ὡς οἱ πεπονθότες κακῶς καὶ τιμωρίαν ζητήσουσιν, ὁρῶν ταῦτα ἐκεῖνος οὐ παρῄνεσεν, οὐκ ἀπέτρεψε μὴ τολμᾶν, οὐκ*

8 cf. t. V 283, 1 sq.

1 *τοὺς* om *Vi* | *αὐτῷ Vi* 2 *εὕροι* scripsi e *BaPaBVi* *εὕρῃ PL* edd | *τίς Pa* 3 *λέγω* inserui e *Pa* om reliqui libri edd sed „*fort. ἐκείνων γάρ τίς οἶδεν ἀγῶνας*“ Re 4 *τὸ* om *PLVi* Mor | *φί·* (λ supra) *P* *φίλους LVi* | *κλαῦσαι PLVi* Mor 8 *οὐ B* | *ἐμέμψατο* in lac 10 litt om *B* 10 *καὶ*(2) inserui e *BaPa* om *BPLVi* edd 11 *δὲ* om *BaPa* | *ὃν* om *B* | *ὅτι* scripsi *ὅπως* libri edd sed *ἴσ. οὕτως* Mor quod probat Re | *τοῦτον* post *ὅπως B* | *ἐκτρέφῃ γεννώμενον B* 12 *ἐν* om *B* | *καὶ*] *ἐν B* | *ἐν*] *καὶ B* 13 *ὕβρει καὶ* om *B* | *δὲ καὶ* post *δῆλον BaPa* *γὰρ B* | *μαγίας B* 15 *παρεσκευασμένου* — 17 *ναυπηγουμένου* om *B* 16 *πελοπόννησον BaPaVi* edd | *ἁρπαγῆς BaPa* 19 *κακῶς* om *B* | *ζητήσουσιν* scripsi e *BaPa* *ζητοῦσιν BPLVi* edd sed „*malim ζητήσουσιν*“ Re 20 *παρήνησεν Ba* *παροίνησεν Pa* | *ἀπεστρ̊'* (ε supra) *Ba* *ἀπέστρεψε Pa* *ἀπέτρεπε B*

ἔπεισεν, οὐκ ἠνάγκασεν, οὐδὲν οὔτε μικρὸν οὔτε μέγα ἐποίησε κωλύων τὴν ἀδικίαν. 6. εἰ δ' ὁ μὲν ἔπλει καὶ ἐλάμβανεν, ὁ δ' ἐξὸν ἐπισχεῖν ἐνεδίδου πλεῖν, ἐκοινώνει τῶν πονηρευμάτων τῇ γνώμῃ, μᾶλλον δέ, πᾶν εἰς αὐτὸν ἔρχεται τὸν κύριον ὄντα μὴ συγχωρῆσαι ταῦτα γενέσθαι.

7. Ἆρ' οὖν, ἐπειδὴ ταῦτα παρεῖδε καὶ ἦν ἡ Μενε-
R IV 969 λάου γυνὴ παρὰ τοῖς | Τρωσὶ καὶ κίνησις ἐγεγόνει μεγίστη τῶν ⟨Ἑλλήνων⟩ ἀπαιτούντων ἡμέρως τὸ πρῶτον καὶ οὐκ ἐν τοῖς ὅπλοις εὐθύς, διωρθώσατό τι τῶν οὐ καλῶς ἠμελημένων καὶ παρελθὼν ἀπέδωκε τὴν ἄνθρωπον καὶ τὴν πόλιν ἠλευθέρωσεν ὀλέθρου σαφῶς; οὐκ ἔστιν. 8. ἀλλ' ὁρῶν πρεσβείαν ἐπὶ δικαίοις ἀφιγμένην καὶ τὴν πόλιν ἄγων διὰ τὸ γῆρας τοῦ πατρὸς καὶ κυριώτερος ὢν Ἀλεξάνδρου καὶ τοῖς ὅλοις ἐφεστηκὼς οὐκ ἐξέβαλε τὴν ὑπόθεσιν τῶν συμφορῶν, ἀλλ ἐπιστάμενος ὡς ἐπὶ τῇ πόλει πάσῃ τὸ γύναιον μένει, μᾶλλον Ἀλεξάνδρου τὰς ἡδονὰς ἐθεράπευεν ἢ δι' ὧν ἔσται σώζεσθαι προὐνοεῖτο. 9. πόλεμος ἐντεῦθεν καὶ τῶν

8 Thuc. I 1, 2   9 cf. ad t. V 232, 11   18 Chor. Patr. p. 275, 2 Boiss

1 οὔτε (1 et 2)] ἤ B   2 ἐποί^η Ba ἐποίει Pa ἐποίησεν B | ἀποτρέπων τῆς ἀδικίας B | δὲ B | „post καὶ ἐλάμβανεν deesse videtur haec ferme sententia: ὧν ἐπιθυμεῖν ἀδικία καὶ ὕβρις ἦν" Re   3 ὅδ' Pa ὁ δ' reliqui libri edd | ἐπεδίδου BaPa | πλέ^ειν Pa   4 τὸ πᾶν Re   5 „fort. τοῦ μὴ" Re at cf. t. VII 213, 12   6 καὶ ante γενέσθαι BaPa   7 ἄρ' BaPa   8 παρὰ scripsi e BaPa sed in hoc ex ἐν corr, B ἐν PLVi edd   9 τῶν Ἑλλήνων scripsi τῶν libri edd sed τούτων Iacobs Lect   10 καὶ inserui e BaPaB ut inserendum coni Re om PLVi edd | τοῖς om B | comma post εὐθύς posui cum Iacobsio Lect, post ὅπλοις Re quod delevi ἦν post εὐθὺς B | τί^σ Pa   12 τὴν om B   15 τῆς ὅλης PLVi Mor qui τοῖς ὅλοις coni | ὑφεστηκὼς BaPa ἀφεστηκὼς PLVi Mor qui ἐφεστηκὼς coni   18 ταῖς ἡδοναῖς PLVi Mor τὰς συμφορὰς Ba | ἐθεράπευσεν Vi

Ἑλλήνων ἡ στρατιὰ τοὺς ὁμόρους ἔφθειρε. τοῦτο δὲ ἀσθενῆ τὰ τῶν Τρώων ποιήσειν ἔμελλεν. ἆρ' οὖν ἐκινήθη, παρωξύνθη, τὰ ὅπλα ἔλαβε, δύναμιν ἄγων ἧκε τοῖς κακουμένοις; οὐκ ἔστιν. ἀλλ' ἐκάθητο τὸν ἐμπρησμὸν περιμένων ὁπότε λήψεται τῆς πόλεως. 10. καὶ δὴ προσέσχον τῇ ἐκείνου φερόμενοι καὶ τὰς ναῦς καθελκύσαντες τοὺς περιοίκους ἥρπαζον. πάλιν Ἕκτωρ τὰ τῶν γειτόνων κακὰ ἐπυνθάνετο, παρῆν δὲ τῶν πορθουμένων οὐδενί. τὴν ᾐόνα τῶν σκηνῶν ἐνεπίμπλασαν οἱ Ἕλληνες, ὁ δὲ ἀπὸ τῶν τειχῶν μετ' αὐτῶν ἐθεᾶτο τῶν γυναικῶν. τὸ σεμνὸν δὲ ἦν προκύψαι τῶν πυλῶν, οὐκ ἐπ' ἔργοις καὶ μάχαις, ἀλλ' ὥστε προσιόντων πολεμίων φεύγειν. 11. μέγας γάρ, νὴ Δία, καὶ φοβερὸς Ἀχιλλεύς, καὶ οὐκ ἦν ἐνεγκεῖν | τὸν Πη- R IV 970 λέως. καλῶς. ὃν δὲ ἐκεῖνος ὠργίζετο χρόνον καὶ τῶν πραγμάτων ἀφειστήκει καὶ λαμπρᾶς ἀπήλαυον τῆς τύχης οἱ Τρῶες, ἔδειξεν ἐν τούτοις ἀρετῆς τι μετέχον; ποίας; οὐ τοὺς ὅρκους ὁρῶν ὀλιγωρουμένους καὶ συνθήκας λυομένας καθ' ἃς Ἀλεξάνδρῳ Μενέλαος ἐμονομάχει τὴν

6 cf. p. 237, 19 sq. 11 Il. χ 136 13 Chor. Polyd. Herm. XVII 208, 24 19 Il. δ 64 sq.

1 *στρατεία Pa* | *καὶ* post *δὲ B* 2 *τῶν* om *Vi* 3 *δύναμις ἔγνω BaPa* | *ἧκεν ἄγων ἐπὶ τοὺς κακωμένους B* 4 *ἔσται B* 5 *περιμένων* scripsi e *BaPaB* *παραμένων PLVi* edd 6 „*num ἐρρωμένοι?*“ Re at cf. p. 237, 20 8 *δὲ* inserui e libris om edd 9 *ᾐόνα* scripsi e *Pa* *ἠιόνα* reliqui libri edd | *ἐνεπίμπλασαν* scripsi *ἐμπίπλασαν BaPa* *ἐπίμπλασαν BPL* edd *ἐπίμπρασαν Vi* 11 *σεμνὸν δὲ ἦν τὸ προκύψαι BaPa* *τί σεμνὸν δὲ ἦν προκύψαι* Iacobs Lect 13 post *φεύγειν* lac 3 litt *P* | *μέγας μὲν γὰρ B* 14 punctum post *Πηλέως* posui cum Sinteni om libri edd 16 *ἀπέλαυον BL* Re cf. ad p. 94, 13 *τῆς* om *Vi* 17 *ἔδειξεν ἐν τούτοις* scripsi e *BaPaB* *ἐν τούτοις ἔδειξεν PLVi* edd | *τί PaPL* *τὸ B* | „*malim μετέχων*“ Re at cf. Her. VII 16, 3 *τι τοῦ θείου μετέχον* | *ποίας* om *BaPa* 18 *ὁρῶν* om *Pa* | *τὰς* ante *συνθήκας Vi*

ἡσυχίαν ἦγεν; ἀλλὰ τί χρῆν ποιεῖν; ἀποσπάσαντα τὴν Ἑλένην δοῦναι τῷ νενικηκότι καὶ τὸν Ἀλέξανδρον δειλὸν ὄντα κελεῦσαι μὴ τῶν ἀλλοτρίων ἔχεσθαι. 12. *οὐ τοῦ Διομήδους εὐδοκιμοῦντος καὶ τοῖς ἐναντίοις ἐμπίπτοντος καὶ τοῦ καιροῦ ζητοῦντος στρατιώτην ἀρκοῦντα στῆσαι τὴν συμφορὰν ἀφεὶς τὴν τάξιν τῆς μάχης Ἑκάβῃ τῇ μητρὶ διελέγετο καὶ τῇ γυναικὶ συνῆν καὶ ταῖς εὐχαῖς ἀντὶ τῶν ὅπλων ἐχρῆτο;* 13. *οὐχ οὗτος ὁ θρασὺς μὲν προκαλέσασθαι, φαῦλος δὲ μαχέσασθαι, καὶ τοῖς μὲν ῥήμασι λαμπρός, τοῖς δὲ ἔργοις ταπεινὸς οὗτος παρ' Αἴαντος λίθῳ κατενεχθεὶς μόλις ἀναστὰς ἐπινίκιον ᾖσεν εἰς τὸν ἐχθρόν;* 14. *καὶ τί δεῖ λέγειν τὸν Πηλέως καὶ τὸν Τελαμῶνος; οὐ τὸν Ἀτρέως ἔτρεμε; πρὸ γὰρ τῆς Ἀγαμέμνονος πληγῆς οὐδαμοῦ φαίνεται, μετὰ ταῦτα δὲ ἦγε καθ' Ἑλλήνων ἀξιῶν εἶναί τις.*

15. *Ἤδη τοίνυν τις αὐτὸς μὲν οὐκ ἔσχε τὸ δέον εὑρεῖν, ἑτέρῳ δὲ ἠκολούθησεν εὑρόντι, τοῦτο δὲ ἔλαττον εἰς εὐφημίαν ἐκείνου, σῶσαι δὲ ἀρκεῖ τὸν πειθόμενον. Ἕκτωρ δὲ μετὰ τῆς ἀνοίας ἀπείθειαν εἶχε καὶ οὔθ' ἑώρα οὔτ' ἐπείθετο καὶ τοῦ Πολυδάμαντος κατα-*

---

6 sq. Il. ζ 264 sq. 8 Il. ζ 475 12 Il. ο 246 sq. 13 Il. λ 163 sq. 15 Il. λ 284 sq. 21 Il. μ 230 sq.

---

1 *χρὴ BaPaVi* | *ἀποσπάσαντα* scripsi *ἀποσπάσαντι* libri edd 3 *κελεῦσαι δειλὸν ὄντα BaPa* 5 *ἀρκοῦντα στῆσαι*] *στῆσαι ζητοῦντα BaPa* *ἀρκοῦσαν καταστῆσαι B* 9 *ἦν* ante *ὁ PaB* | *ταχὺς B* | *προσκαλέσασθαι PLVi* Mor | *φαύλως BaPa* 10 *δ' BaPa* 11 *παρ'* scripsi e *BaPaB* *κατ' PLVi* Mor om Re sed *ὑπ'* scribendum coni | *λίθοις Vi* 12 *ἐπινικίοις ἦκεν B* 13 *τὸν*(2) inserui auctore Re om libri edd | *οὐ*] *καὶ B* 15 *ἦν BaPa* 17 *αὐτὸς μὲν τὶς Vi* | *τίς PL* om *Pa* | *δέον*] *δὲ Pa* 18 *δ'* edd | *ἠκολούθει Vi* 20 *ἀπείθειαν* scripsi e *BaPaB* *ἀπειθεῖν PLVi* edd sed *καὶ τὸ ἀπειθεῖν* coni Re

φρονῶν ἄχρηστον ἐποίει παρὰ τῷ στρατοπέδῳ τὴν ἐκείνου | σύνεσιν τῷ τέλει μανθάνων ὡς ἄρα R IV 971 πεπεῖσθαι κάλλιον ἦν.

16. Ὁ δὲ τῆς Πατρόκλου μεμνημένος τελευτῆς ἐν ἐπαίνοις Ἕκτορος οὐκ οἶδεν ἀντ' Εὐφόρβου τὸν Ἕκτορα θαυμάζων. οὐχ ὁ κειμένοις ἐπεμβαίνων ἀνδρεῖος, ἀλλ' ὁ πρῶτος κατενεγκών, ὧν τὸ μὲν Εὐφόρβου, τὸ δὲ Ἕκτορος. ὅταν δὲ ἐννοήσω τὴν αἰτίαν δι' ἣν ἐπεθύμει κρατῆσαι τοῦ σώματος, ὁρῶ τὸν βάρβαρον ἀκριβῶς καὶ μισῶ τὸν τρόπον. ἐπὶ γὰρ ὕβρει λαβεῖν ἔσπευδε καὶ τῷ τὴν κεφαλὴν ἀποτεμεῖν καὶ τὰ τῶν θηρίων ἐπὶ τὸν οἰχόμενον ἐζήλου. 17. καὶ τὴν μὲν γνώμην ἔδειξεν οἷς ἐβούλετο, τὴν δὲ ἀσθένειαν οἷς οὐκ ἴσχυε, τὸ δὲ οὐ δικαίως ἐπιχειρῆσαι τῷ δικαίως αὐτὸς παραπλήσια παθεῖν. ὡς γὰρ ἔπεσεν ὑπ' Ἀχιλλεῖ θράσει μὲν ἔξω τείχους μείνας, δειλίᾳ δὲ προσιόντος φυγών, ἀπεσφαγμένος εἵλκετο καὶ ὑβρίζετο πάσχων ἃ δρᾶσαι βουληθεὶς οὐκ ἔσχε. καὶ τὸ δὴ καινότατον, ἐπράθη νεκρὸς ὑπὸ τῶν πολεμίων τῷ πατρί.

5 Il. π 808 sq. 11 Il. ρ 126 18 Il. ω 579. Eustath. ad Il. χ 351

1 ἄχρηστον scripsi e *B* ut coni Re ἄχριστον *BaPa* ἄχρις *Vi* ἄχρι *PL* edd sed ἄχαριν coni Mor | παρὰ delendum aut παντὶ scribendum coni Re | τοῦ στρατοπέδου *B* 3 πεπεῖσθαι κάλλιον ἦν scripsi e *B* πεπεῖσθαι βέλτιον ἦν *BaPa* πεσεῖσθαι κάλλιον *PLVi* πείσεσθαι κάλλιον edd sed „*aut* πείθεσθαι *leg. aut quod malim* πεπεῖσθαι“ Re 4 μεμνημένον *Pa* 5 ἀντὶ *B* 6 θαυμάζειν *L* | οὐχ ὁ inserui e *BaPaB* om *PLVi* edd sed οὐ inserendum coni Mor, οὐ γὰρ ὁ Re | ἀνδρείως *Vi* 7 πρῶτος scripsi e *Vi* ut coni Re πρώτως reliqui libri edd 10 ἐπεὶ *PL* Mor qui ἐπὶ coni 11 καὶ (2) inserui om libri edd | „*fort.* ἐπὶ τῶν οἰχομένων“ Re 12 ἐζήλου scripsi ut coni Re ἐζήτει libri edd | μὲν inserui *BaPaB* om *PLVi* edd 13 δ' (1) *BaPa* edd 14 „*post* ἐπιχειρῆσαι *videtur* ἐδήλωσε *vel* ἐδηλώθη *vel simile quid deesse*“ Re | αὐτὸς scripsi αὐτὸν libri edd 15 ἀχιλλέως *Pa* 16 φυγών scripsi e *BaPaB* ut coni Re φυγὴν *PLVi* edd 18 τε ante καὶ *B* | ἐπράχθη *PLVi*

18. *Μὴ δὴ συγχωρείτω τις ἄριστον εἶναι τῶν Πριαμιδῶν τὸν Ἕκτορα. τὸ μὲν γὰρ τῶν ἄλλων ἄδηλον, πῶς ποτ' ἂν ἐχρήσαντο τοῖς τρόποις τὴν ἀρχήν, τοῦ δὲ τὴν κακίαν ἑωράκαμεν ἐν τῷ κρατεῖν.*

19. *Καὶ τὸ δὴ πέρας τῶν κακῶν, Ἀνδρομάχη ἐμί-*
R IV 972 *γνυτο Νεοπτολέμῳ | τῷ παιδὶ τοῦ τὸν Ἕκτορα ἀποκτείναντος, τὸν δὲ παῖδά τις ἐκείνου λαβὼν ἔρριψεν ἀπὸ τοῦ τείχους.*

γ'.

R IV 972

Ψόγος Φιλίππου.

1. *Εἰ τοὺς πονηροὺς ψέγειν δίκαιον καὶ τοῖς τοῦτο ποιοῦσιν ἔπαινον ἔχον, οὐκ οἶδ' ὅτου με χρὴ κατηγορεῖν ἀφέντα Φίλιππον. τύραννος μὲν γὰρ τῶν ἐν ἀνθρώποις κακῶν τὸ χείριστον, τῶν δὲ τυράννων ἁπάντων Φίλιππος.* 2. *τί γὰρ ἄν τις εἴποι περὶ αὐτοῦ καλόν; τὴν πατρίδα; βάρβαρος ἦν. τὸ τῆς πόλεως μέγεθος; καὶ τί φαυλότερον τῆς Πέλλης; οἱ πρόγονοι δὲ αὐτοῦ δοκοῦντες ἄρχειν ἐδούλευον δεχόμενοι μὲν ἐπιτάγματα παρὰ τοῦ Περσῶν βασιλέως, φόρους δὲ φέροντες τῇ τῶν Ἀθηναίων πόλει.* 3. *παῖς δὲ ὢν Ἀμύν-*

---

5 Arctin. Iliup. apud Proclum chrest. ed. Kinkel. Fr. ep. p. 50, 5. hypoth. Eur. Andr. 7 Hyg. fab. 109
10 Apthon. prog. 9 ed. Walz. Rhet. gr. I 93, 16 qui hic illic Libanii vestigiis insistit. cf. H. Rabe Mus. Rhen. LXII 262
19 sq. Dem. Phil. ep. p. 156, 17

---

1 *συγχωροίτ* *Ba* *συγχωροῖτο* *Pa* | *τίς* *PaPL* 3 *τρόποις* scripsi coll p. 297, 16 *προδόταις* libri edd sed „*fort. προδόταις κεκτημένοι τὴν ἀρχήν*" Re | *τούτον* *B* 4 *ἑωράκαμεν* scripsi *ἑωράκειμεν* *BaBL* edd *ἑωράκει μὲν* *PaPVi* 7 *κτείναντος* *B* | *τίς* *PaPL*
12 *ποιοῦσι δίκαιον* *Vi* | *ἔχων* *BaPa* *ἔχει* *B* 19 *τοῦ Περσῶν βασιλέως* scripsi e *BaPaB* *τῆς τῶν Περσῶν βασιλείας* *PL* *Vi* edd

του Φίλιππος, ὁ δὲ Ἀμύντας ἀπ' οὐδενὸς ἔργου λαμπρός, ἐν ἤθεσι βαρβαρικοῖς ἐτύγχανε τραφείς, ἐν οἷς οὐ μουσικῆς ἔρως, οὐ σοφίας ἄσκησις, οὐκ ἐπιθυμία λόγων, οὐ σωφροσύνης φροντίς, οὐ δικαιοσύνη τίμιον, ἀλλ' οἶνος πολὺς καὶ μέθη καὶ πλησμονὴ καὶ χαρίσασθαι ταῖς ἡδοναῖς καὶ μηδὲν τῶν αἰσχίστων ὀκνῆσαι. 4. *ταῦτα ἐμάνθανε Φίλιππος, ἐν τούτοις ἐπαιδεύετο, ἀπὸ ταύτης τῆς μελέτης εἰς ἄνδρας ἧκε. παῖς δὲ ὢν ἔτι παρὰ Θηβαίοις ὡμήρευεν. ὃ σημεῖον ἦν τῆς τοῦ πατρὸς ἀσθενείας, δεῖγμα δὲ τῆς τούτου κακοδαιμονίας τὸ τῶν οἰκείων ἀπεῖναι. οὐ μὴν ἠμέλητο παντάπασι παρὰ τοῖς Θηβαίοις, ἀλλ' ἔμενεν αὐτοῦ Παμμένους ἐρώμενος καὶ νέος ἐραστής, ὁ δὲ φιλάνθρωπός τε ἦν καὶ ἐχαρίζετο.* 5. *παραλαβὼν δὲ τὰ πράγματα καὶ σωθεὶς σαφῶς ὑπ' Ἀθηναίων ἐπὶ τοὺς σεσωκότας τῷ ἑαυτοῦ ἐχρήσατο τρόπῳ τὴν Ἀμφίπολιν ἀποστερῶν, τὴν Ποτίδαιαν ἁρπάζων. | πολλὰς μὲν εἷλε πόλεις, μετὰ* R IV 973
δὲ καλοῦ σχήματος οὐδεμίαν. οὐδὲ γὰρ μαχόμενος

---

5 Dem. Ol. II 18 p. 23, 11 sq. [Luc.] enc. Dem. 5. Theopomp. fr. 217 a b c ed. Grenfell et Hunt 9 Apthon. l. l. p. 95, 2. Iustin. VI 9, 7 10 Dem. Ol. II 20 p. 23, 25 12 cf. ad t. VI 232, 5. Plut. Pel. 26. Suid. s. v. *Κάρανος* 16 cf. t. VI 230, 18 sq.

---

1 *ὁ δὲ* scripsi e *BaPaB* cum Sinteni *ὃν PLVi* edd sed „*fort. παῖς δὲ ἦν Ἀμύντου Φίλιππος. Ἀμύντας δ'*" Re 5 *χάρις BaPa* 9 *παρ' ἀθηναίοις B* | *ὃς BaPa* 11 *ἠμέληται Ba* | *παντάπασι παρὰ* scripsi auctore Re *παντάπασιν ἄρα* libri edd et defendit Weiskius Hyperb. err. II 12 12 *ἔμενον Ba Pa* | *Παμμένους ἐρώμενος* scripsi cum Wesselingio Diod. Sic. XVI 34 t. II p. 107 coll t. VI 232, 5 *παμμένει B τῷ μένει Ba τῷ τεμένει Pa πα* cum lac 4 litt *P*, 5—6 litt *L* edd *παρὼν Vi ὑπὸ Παμμένους ἐρασθείς* Weiske 13 *νέος*] *ἦν BaPa* 14 *παραλαβὼν δὲ* scripsi auctore Re *παραλαβόν τὰ Ba παραλαβόντα PaPLVi* edd sed *παραλαβὼν τὰ* coni Mor Not *παραλαβόντι B* 16 *τρόπῳ* scripsi e *BaPaVi* coll p. 296, 3 ut coni Mor Not et Re *τόπῳ BPL* edd 18 *οὐ* ante *καλοῦ L*

κρείττων ἐγένετο τῶν ἀνδρῶν, ἀλλὰ δελεάζων καὶ κολακεύων καὶ φιλίαν πλαττόμενος καὶ δωρούμενος τὰ πατρῷα δούλους εἶχε τοὺς λαμβάνοντας. θαυμαστὸν δὲ ἦν οὐ τὸ σύνταγμα τῶν Φιλίππου στρατοπέδων, ἀλλὰ τὸ χρυσίον ὃ τοῖς πολιτευομένοις ἤρχετο. τοιαῦτα γὰρ τἀκείνου μηχανήματα, δοῦναι, φενακίσαι, παρακρούσασθαι. 6. χρηστὴ μὲν ἡ ἐπαγγελία, παμπόνηρα δὲ τὰ ἔργα. τὴν Ἀμφίπολιν πολιορκῶν ὑπὲρ Ἀθηναίων ἔφασκε τοῦτο ποιεῖν, ὡς δὲ εἷλεν, ἐζήτουν εὐθὺς οἱ Ἀθηναῖοι καὶ τὴν Ποτίδαιαν. Θετταλοῖς ἔδοξε ⟨τὴν⟩ τυραννίδα καταλύειν καὶ πιστευθεὶς εὐθὺς ἐφίστη τυραννίδα χαλεπωτέραν. Ὀλυνθίοις ἠφίει τι χωρίον ὡς δὴ φιλόδωρος, καὶ μικρὸν ὕστερον οὐδαμοῦ τῆς Θρᾴκης Ὀλύνθιοι, μᾶλλον δὲ οἱ Χαλκιδεῖς, δύο καὶ τριάκοντα πόλεις. 7. καίτοι τοιαῦτα ποιῶν οὐ Χαλκιδεῦσιν ἐπολέμει μόνον, ἀλλὰ καὶ τοῖς θεοῖς, οἳ παρ' ἐκείνοις ἐτιμῶντο, ὧν οὐκ ἔδεισε ⟨μῆνιν⟩ κατασκάπτων ἱερὰ καὶ βωμοὺς ἀνατρέπων καὶ θυσίας συγχέων. Ἀμφιπολιτῶν τινας θερα-

5 sq. Iustin. IX 8, 5—8 8 sq. Dem. Aristocr. p. 659, 4 sq. 11 cf. t. VI 302, 8; 403, 17; 415, 15. Dem. Phil. III p. 117, 24 12 Dem. Phil. II p. 70, 25. Aristid. or. 38 t. I p. 718, 14 sq. et 716, 22 sq. D 14 cf. t. VI 231, 17. Dem. Phil. III p. 117, 21 17 Aristid. or. 39 t. I p. 739, 9 D. Iustin. VIII 3, 4; 5, 5 18 sq. cf. t. VI 223, 10. Aristid. or. 38 t. I p. 715, 20 D

---

1 *ἐγίνετο* L 2 *ὑποκρινόμενος* B | *δωρουμένη* L | *τὰ* om B 3 *φίλους* B 4 *στρατευμάτων* B 5 *δοῦναι.* post *ἤρχετο,* non post *μηχανήματα* BaPa | *γὰρ τἀκείνου* scripsi e BaPaB *τὰ ἐκείνου* PLVi edd 7 *ἡ* om BaBPVi Mor 8 *δ'* post *τὴν* edd delevi | *ἔφη* Vi 10 *τὴν* inserui om libri edd 11 *τὴν* ante *τυραννίδα* libri edd sed „*aut pro τὴν leg. est φρουρὰν aut sic: ἐφίστη τῆς πρότερον τυραννίδος χαλεπωτέραν δεκαρχίαν aut τετραρχίαν*“ Re *ἐφίστησιν* coni Iacobs Lect App Pors 333 12 *τι*] *τὸ* B | *δὴ* om BaPaB 14 *χαλ* (superscr. *κ*) Ba *χαλκοὶ* Pa 15 *καὶ* B 16 *καὶ* om BaPa | *τοῖς* om Vi | *ἐπιτιμῶνται* BaPa | *ὧν*] *καὶ* B 17 *μῆνιν* inserui om libri edd

πεύσας εἶχεν Ἀμφίπολιν. ὡς δὲ ἦν δεσπότης, δι' ὧν εἰλήφει τὴν πόλιν, τούτους ἐξήλαυνε. 8. πρὸς δέ γε τοὺς Πυδναίους οὐ διέστησεν ἀπὸ τῶν σπονδῶν τὰς σφαγάς, ἀλλ' ἀνέμιξεν ἀμφότερα. ταῖς αὐτοῦ τέχναις οὐ λαμβάνων Φερὰς Ὠρεὸν ἐδῃοῦτο. καὶ οὐ χαλεπὸς μὲν τοῖς προδοθεῖσι, πιστὸς δὲ τοῖς προδόταις, ἀλλὰ μετὰ τὴν χρείαν | πᾶς ὁ συμπράξας ἄτιμος. R IV 974

9. *Οὐ τοίνυν τὰς μὲν πόλεις οὕτως ἔκλεπτε, τῷ δὲ ἄλλῳ βίῳ προσῆν τι κόσμου καὶ τάξεως, ἀλλ' ἐμέθυεν, ἐκορδάκιζε, συνῆγε τοὺς ἀσελγεῖς, τούτοις συνέπινε, μετὰ τούτων ἠσχημόνει, καὶ οἷς οὐκ ἦν ἀλλαχοῦ ζῆν, τούτοις ἦν εὐδοκιμεῖν παρ' ἐκείνῳ. Καλλίας ἦν τις δημόσιος Ἀθήνησι. τούτου τὴν βδελυρίαν μὴ φέρων ὁ δῆμος ἐξέβαλεν. οὗτος οὐκ ἠγνόησεν οἷ χρὴ δραμεῖν, ἀλλ' ἧκέ τε τῷ Φιλίππῳ καὶ πρὸ τῶν ἄλλων ἐκέκριτο.* 10. *νοσῶν τοίνυν τὴν τῆς φιλοτιμίας νόσον καὶ ζημίαν ἡγούμενος, εἰ μή τις εἴη παρ' αὐτῷ τῶν βελτιόνων ἥττων ἀφροδισίων, οὐ τούτων μόνον τῶν ἐχόντων δή*

---

1 cf. Wesseling ad Diod. S. XVI 8 (t. II p. 88). Weiske Hyp. II 6 et 33 4 Dem. Chers. p. 104, 8—11; 94, 13 5 sq. Dem. cor. p. 241, 14 sq. 9 sq. Dem. Ol. II 18 p. 23, 12. Theop. fr. 217 b 12 sq. cf. p. 101, 15. Dem. Ol. II 19 p. 23, 19 c. schol. 16 Dem. Ol. II § 18 p. 23, 9 sq.

---

1 *δ' Ba* 2 *εἰλήφει* scripsi e *BPVi* *εἴληφε BaPaL* edd 4 punctum post *ἀμφότερα* posui auctore Re om libri edd | *αὐτῶν BaPa* *αὐταῖς B* *αὐτοῦ PLVi* Mor 5 *οὐ* om *B* *καὶ Vi* | *φερρὰς BaPaPLVi* edd | *χαλεπὸν Ba* 6 *προδοθεῖσιν, ἀγαθὸς Vi* 7 *πράξας Vi* 8 *δ' BaPa* 9 *ἦν BaPa* | *τί Pa PL* 10 *ἐκορδάκιζεν BaPa* | *τούτοις συνέπινε* om *Vi* 11 *ἀλλαχόσε Vi* 12 *τούτοις* scripsi e *BaPa* *τούτους BPLVi* edd | *ἦν* om *Pa* | *τις* scripsi e *B* *τίς BaPa* om *PLVi* edd 14 *οἷ* in *οἷον* corr *Ba* *ἦ PaVi* 15 *τε* inserui e *B* om reliqui libri edd 18 *ἥττων* scripsi e *BaPaB* ut coni Re *ἢ τῶν PLVi* edd *ἥττων τῶν* Iacobs Lect | *τούτων μόνον* scripsi e *Ba PaB* *μόνον τούτων PLVi* edd

τινα παραίτησιν, ἀλλὰ καὶ ὅσα νόμῳ φύσεως κεκώλυται, οὐκ ᾐσχύνετο τῷ παρ' Ἀθηναίων ἀφιγμένῳ περὶ τῆς τοῦ παιδὸς διαλεγόμενος ὥρας.

11. Φίλιππος ἦν ὁ τὴν μὲν εἰρήνην ζητῶν ἐν ᾧ πολεμεῖν ἔδει, τὰ δὲ τοῦ πολέμου ποιῶν ἐν τῷ τῆς εἰρήνης καιρῷ. ὧν τὸ μὲν ἀσθενείας, τὸ δὲ πονηρίας δεῖγμα. δι' ἐκεῖνον ἡ περὶ τὸν Πύθιον χώρα πολλὴν ἐρημίαν ἐδέξατο καὶ δύο καὶ εἴκοσι πόλεις πιστεύσασαι διῳκίσθησαν. ἐκεῖνος ἦν ὃς τὴν αὑτοῦ τάξιν ὑπερβὰς δεσποτείαν ἐπῆγε τοῖς ἐλευθερωτάτοις Ἕλλησι σπενδόμενος, εἶτα διορύττων τὰς πόλεις.

12. Καὶ μὴν καὶ τὸ σῶμα τοιοῦτος, οἷον ἄν τις ἰδὼν οἰωνίσαιτο, χωλεύων, τὸν ὀφθαλμὸν ἐκκεκομμένος, πολλὰ τῶν μελῶν πεπηρωμένος.

13. Ἀλλ' οὐδὲ εἰ Φιλίππου θαυμάζουσιν ἔνιοι τὰ περὶ τὴν Χαιρώνειαν, οὐδ' ἐνταῦθα τροπαίων ἂν

---

2 Dem. fals. leg. § 230 et 233 p. 412, 25 et 413, 22 4 Lib. hypoth. ad Dem. Phil. II p. 64, 1—7 9 cf. p. 304, 7 12 cf. t. VI 273, 10 sq.; 246, 20 13 Dem. Aristog. I § 80 p. 794, 5; cor. § 67 p. 247, 11. Diod. Sic. XVI 34 fin. cum nota Wesselingii t. II 108

---

1 *καὶ* ante *παραίτησιν PaBaPLVi* edd delevi 2 *τῷ* om *BaPaB* *τῶν Vi* | *παρὰ BaPaB* | *παρὰ BaPa* 5 *τῷ τῆς* inserui e *BaPaBVi* om *PL* edd 7 *παρὰ Pa* | *Πύθιον* scripsi e *BaPaBVi* cum Weiskio Hyperb. II 30 *πῦ* (superscr. *θ*) *P* *πύθον L* edd sed *περὶ τὰς πύλας* coni Re 8 *καὶ*(1) om *BaPa* 9 *αὐτοῦ BaPaBPL* edd 10 *δεσποτείαν* scripsi e *BaPaB* cum Bastio Comm. pal. (Greg. Cor.) p 835 coll p. 188, 22 *δεσπό* (superscr. *τ*) *P* *δεσπότης L* *δεσπότην Vi* edd | *Ἕλλησιν* edd 13 *καὶ* ante *τὸν Vi* | *ἐγκεκομμένος Ba* 15 *εἰ* scripsi e *B* *οἱ* reliqui libri edd „*fort. ἀλλ' οὐδὲ τῶν Φίλιππον θαυμαζόντων θαυμάζουσιν ἔνιοι*“ Re | *οἱ ὤνιοι* Iacobs Lect 16 *τροπαίων* scripsi *πολέμων* libri edd sed „*num πρωτείων?*“ Re

ἀξιωθείη. πρῶτον μὲν γὰρ οὐκ ἐφ' ὅπερ ἐκέκλητο, τοῦτο ἔπραξεν, ἀλλ' ἑτέραν ἐτράπη τὸ μὲν τῶν κεκλημένων ἀφιείς, τὸ δὲ αὑτοῦ | σκοπῶν. ἔπειτα Θρᾳξὶ R IV 975 *μὲν χρώμενος Ἀθηναίοις ἐπῄει καὶ Θηβαίοις, ἀπὸ δὲ τῶν ἔργων ἐμάνθανε τοῖς ἀμείνοσιν ἐπιχειρεῖν. ἡττᾶτο γὰρ καὶ πρώτην μάχην καὶ δευτέραν, τὴν δὲ τρίτην οὐ δικαίως ηὐτύχει, τὸ δὲ τῆς τύχης ἐπιεικῶς τοιοῦτον· μετὰ τῶν φαυλοτέρων ἵσταται τὰ πολλά.*

14. *Οὐ μὴν ἐπὶ πολὺ τῆς οὐ δικαίας τύχης ἀπήλαυσεν, ἀλλ' ὀφείλων δίκην τοῖς Ἑλληνίοις θεοῖς ἀνθ' ὧν παρῆλθεν ὕβρει τοὺς Θρᾳκῶν βασιλεῖς ἐδέξατο τελευτὴν οὐδὲν ἐπαίνοις προσήκουσαν. Πανσανίας γάρ, ᾧ γε Φίλιππος ⟨ἐχθρὸς ὢν⟩ ἐτύγχανεν αἰσχύνας τὴν ἑαυτοῦ νεότητα, τὸ ξίφος εἰς αὐτὸν ὤσας ἀπέκτεινεν.*

δ'.

Ψόγος Αἰσχίνου. R IV 975

1. *Οὐκ οἶδα πῶς ἂν ἐμαυτῷ συγγνοίην, εἰ μὴ διεξέλθοιμι κατ' Αἰσχίνου λόγους ὧν αὐτὸς ἐκεῖνος ἄξιον ἑαυτὸν ἀπέφηνε.*

2. *Καὶ θαυμαστὸν οὐδὲν εἰ γεγονὼς ἐκ δούλου*

---

8 Dem. Phil. III p. 120, 26 sq.; ep. 2 p. 1468, 15 10 Apthon. l. l. p. 97, 3 13 Apthon. l. l. p. 97, 5. Diod. Sic. XVI 93. Iustin. IX 6

20 cf. p. 343, 6 sq. Dem. cor. § 129 p. 270, 7. Apollon. vit. Aeschin. p. 265, 1 sq. ed. West.

---

1 *ἄξιοι Vi* | *γὰρ* om *Vi* | *ὥπερ PLVi* 3 *ἀφείς* libri corr Mor | *αὐτοῦ BaPaBPL* edd 4 *ἐποίει L* 5 *ἀμείνοσι* edd | *ἡττᾶτο* scripsi e *BaPaB* *ἡττᾶται PLVi* edd sed „*malim ἡττᾶτο*" Re 7 *ἐπιεικὲς Vi* 8 *ἢ* ante *μετὰ B* | *φαύλων Vi* | *ταπολλά Vi* 9 *ἀπέλαυσεν* Re cf. ad p. 94, 13 10 *Ἑλληνίοις* scripsi e *BaPaPLVi* *ἑλλήνων B* *Ἑλληνικοῖς* edd 11 *βασιλέας B* 13 *ὃ BaPa* | *ἐχθρὸς ὢν* inserui om libri edd sed „*fort. ἐχθρὸς ἐτύγχανεν ὢν*" Re *ᾧ γε Φίλιππος ἐστυγεῖτο αἰσχύνας* Iacobs Lect 14 *αὑτοῦ* Re Iacobs | *καὶ* ante *τὸ Pa*

πατρὸς καὶ τούτου πονηροῦ καὶ πόρνης μητρὸς καὶ τραφεὶς ὡς εἰκὸς τὸν ἐκ τοιούτων φύντα μηδὲν γενναῖον μηδὲ καλὸν μήτε ἐπετήδευσε μήτε εἶπε μήτε ἔπραξεν. 3. ὃς εὐθὺς μὲν ἐξ ἀρχῆς ἐμιμεῖτο τὴν ἑαυτοῦ μητέρα τοῖς βουλομένοις μεταδιδοὺς τῆς ἑαυτοῦ νεότητος καὶ κοινωνῶν τελετῶν ἐφ' αἷς ἤδη δίκην εἰλήφεσαν Ἀθηναῖοι παρὰ τῶν τελούντων, ἀνὴρ δὲ γενόμενος χοροὺς εἶχε γρᾳδίων μέγα ποιούμενος, εἰ κιττοφόρος ἀκούσειε. 4. καὶ ταῦτα ὑπέμεινεν ὑπὲρ νεηλάτων καὶ στρεπτῶν. οὗτος γὰρ ἦν ὁ μισθός, ἐπεὶ καὶ τὰ τραύματα καὶ τοὺς κινδύνους τοὺς ἐν θεάτροις ὑπὲρ τοιούτων ὑπέμεινεν ἑτέρων, σύκων καὶ βοτρύων. οὐδὲ γὰρ ἐπὶ σκηνῆς ἡδὺς ἦν, ἀλλ' εἶχε πολεμοῦντα τὸν θεατήν. ἀλλ' ὅμως ὑπὸ τῆς πενίας ἅπαντα ᾤετο
R IV 976 δεῖν ἀνέχεσθαι. | πενίαν δὲ ὅταν εἴπω, δυσμένειαν λέγω θεῶν. 5. πῶς οὖν οὗτος ὁ γεγονὼς ἐκ τοιούτων

1 cf. p. 343, 7; hypoth. Dem. fals. leg. p. 333, 5. Dem. cor. § 129 4 Dem. cor. § 258—260; fals. leg. § 199 sq. 6 cf. p. 343, 17. Dem. fals. leg. § 281; cor. § 259 9 cf. t. VI 236, 12. Dem. cor. § 260 p. 313, 28 10 Dem. cor. p. 314, 1 12 Dem. cor. p. 314, 12 15 cf. p. 311, 16 sq. 16 sq. Dem. cor. § 261

1 καὶ τούτου πονηροῦ om Vi | μητρὸς πόρνης B 2 τὸν] τῶν Pa 3 μήτ' (3) PL edd 4 ἐξαρχῆς Pa 5 πατέρα B | μεταδοὺς BaPa | τῆς et 6 νεότητος scripsi e B τῆς et νεό^{τη} Ba νεό^{ττ} Pa τὴν et νεότητα PLVi edd 6 κοινῶν BaPaB | τελευτῶν BaPa 7 εἰλήφεσαν scripsi e Vi εἰλήφεισαν reliqui libri edd 8 γρᾳδίων scripsi coll p. 343, 18 et Dem. l. l. γραῶν libri edd 10 στραπτῶν Vi 11 θεάτρῳ B 12 συκῶν (ποκῶν B) libri edd 13 οὐδὲ scripsi e BaPaB οὐ PLVi edd | τοιοῦτος post σκηνῆς Vi | ἦν ἡδύς Vi | ἡδὺς om L 14 ᾤετο δεῖν ἀνέχεσθαι scripsi e BaPaB δεῖν ἀνέχεσθαι ᾤετο PLVi edd 16 πῶς οὖν scripsi e B coll t. IV 1000, 22 R πῶς BaPaVi om PL edd

Ἀθηναῖος ἔδοξε; παρενέγραψεν ἑαυτὸν εἰς Κυθωκίδας τοὺς νόμους τῆς πόλεως παραβάς. καὶ πάλιν βλέψας ⟨πλουτοδότας⟩ οὐκ ὄντας τοὺς νόμους ἐν οἷς ἐγραμμάτευε Φίλιππον ὁρῶν δεόμενον προδοτῶν καὶ διδόντα πολὺ χρυσίον καὶ πόλεις ὠνούμενον ἐπὶ τὸ βῆμα ἀνέβη καὶ σπεύδων κύριος γενέσθαι πραγμάτων καὶ σαφῶς εἰδὼς ὅτι, εἰ μὴ δόξει τὸν Φίλιππον μισεῖν, οὐδὲν πιστευθήσεται, λέγει κακῶς τὸν Μακεδόνα καὶ προσποιεῖται χαλεπῶς φέρειν τῆς Ἑλλάδος διορυττομένης. 6. *εἶτα εὔνους νομισθεὶς ἧκεν εἰς Ἀρκαδίαν καὶ πάλιν ἐχρῆτο τῇ τέχνῃ κἀκεῖθεν ἥκων τῆς αὐτῆς πάλιν εἴχετο, ἕως ἐνεχειρίσθη τὴν πρὸς ἐκεῖνον πρεσβείαν, ὃν ᾔδει δώσοντα χρυσίον. ἀφεὶς γὰρ τὸν Δημοσθένην καὶ τοὺς τὴν πατρίδα σώζεσθαι βουλομένους προσέθηκεν αὑτὸν Φιλοκράτει τῷ τὴν εἰρήνην ἄνισον ποιοῦντι, τοὺς δὲ συμμάχους ἀπελαύνοντι. τὸν Φίλιππον δὲ ἰδὼν εὐθὺς αὐτῷ φίλος ἦν κοινολογούμενος ἄνευ τῶν ἄλλων συν-*

1 Aeschin. fals. leg. § 76 p. 38, 10 | cf. t. VI 238, 12 3 Lib. hyp. ad Dem. fals. leg. p. 333, 8 5 cf. p. 344, 13; t. VI 246, 19. Dem. cor. p. 245, 14; fals. leg. 437, 21; 393, 18 6 sq. cf. p. 344, 18 sq. Dem. fals. leg. § 9 sq. 13 Dem. fals. leg. § 17 15 Dem. fals. leg. p. 345, 21; 434, 28 17 Dem. fals. leg. p. 439, 18 sq.

1 signum interrogationis posui comma libri edd | *καὶ* ante *παρενέγραψεν* libri edd delevi coll t. IV p. 1000, 22 R | *παρενέγραψεν* scripsi e *BaPaB* *παρέγραψεν* *PLVi* edd | *κωθωκίδας* libri edd 2 *ὑπερβάς* *Vi* | *βλάψας ὡς οὐκ ὄντας* Iacobs Lect 3 ⟨*πλουτοδότας*⟩ inserui om libri edd sed *πλουτοδοτῆρας* inserendum coni Re *οὐ πλουτίζοντας* Bielski 5 *ὠνούμενοσ* *PL* | *εἰς* *L* 8 *καὶ* — 10 *πάλιν* om *B* 9 *εἶτ'* *PLVi* edd 11 *κἀκεῖθεν* scripsi e *BaPaBVi* ut coni Re *κἀκεῖ* *PL* edd | *πάλιν* scripsi e *BaPaB* *αὖθις* *PLVi* edd 14 *αὐτὸν* *BaPaB* edd 16 *ἀπέλαυνον* *BaPa* | *δ'* *PLVi* edd 17 *αὐτοῦ* *PLVi* edd | *φίλος* scripsi e *BaPaBVi* cum Bastio Comm. pal. (Greg. Cor.) 848 *φίλιππος* *PL* edd sed delendum coni Re *πάντα εὐθὺς αὐτῷ Φίλιππος ἦν* Iacobs Lect | *κοινολογουμένου* *Pa*

ών, δειπνῶν παρὰ τυράννοις ἀνθρώποις κατὰ τῶν ταλαιπώρων Ὀλυνθίων. 7. μικρὰ ταῦτα πρὸς τὰς ἐπαγγελίας καὶ τὰς ὑποσχέσεις. αἱ δὲ ἦσαν· ἀπολεῖ Φίλιππος Θηβαίους, σώσει Φωκέας, πάντα ποιήσει κατὰ νοῦν Ἀθηναίοις. ἀπὸ τούτων τῶν λόγων ὁ μὲν δῆμος ἐλπίζων ἐκάθητο, Φωκεῖς δὲ διῳκίζοντο, Πύλας δὲ ἔσχεν ὁ Φίλιππος, ὧν ἐγκρατὴς καταστὰς ἐτίθει μὲν τὰ Πύθια, μέγας δὲ ἐγεγόνει τοῖς Ἕλλησιν, ἀπειλῶν δὲ οὐκ ἐδόκει μείζω τῆς δυνάμεως θρασύνε-
R IV 977 σθαι. 8. ἀλλὰ | καὶ πρὸ τῶν Φωκέων ὁ τὴν Θρᾴκην ὑπ' ἐκείνῳ πεποιηκὼς Αἰσχίνης ἦν, ὁ μὴ σπεύδων ἐπὶ τοὺς ὅρκους, ὁ κωλύων σπεύδοντας. τῇ τοίνυν ἀπάτῃ τοῦ δήμου προσέθηκε τὴν τῶν δικαστῶν ἐν οἷς ἐκρίνετο, καὶ τοσούτοις Ἀθηναίοις αἴτιος ἐπιορκίας κατέστη. 9. νομίζων δὲ βραχύ τι τῷ Φιλίππῳ κεχαρίσθαι, πόλεις τοσαύτας, καὶ τοὺς Ἀθηναίους, ἕως ἂν ἔχωσι τὸ ναυτικόν, ἱκανοὺς ἔσεσθαι πάντα ἐπανορθοῦσθαι

2 sq. cf. p. 346, 8; hyp. ad Dem. fals. leg. p. 333, 25 6 cf. p. 300, 9 8 Dem. Phil. III § 32 p. 119, 11 9 sq. Dem. Ol. I § 3 11 hypoth. ad Dem. fals. leg. p. 333, 21

2 γὰρ post πρὸς *BaPa* | παραγγελίας *BaPaB* ἐπαγγελείας edd sed ἀπαγγελίας coni Re 4 σώζει *BaPaP* 5 Ἀθηναίοις reposui e libris Ἀθηναίων edd 6 πιέζων *Pa* sed ἐλ ante π inser | διωκίζ^{ον}ετο *PL* 8 ἐτίθει scripsi e *BaPaB* ἐτύθει *LVi* ἐτύθη *P* edd | πρόθια *BaPa* πυθιάς *P* πυθίας *LVi* Mor corr Re 10 θράκην libri Θρήκην edd 11 πεποιηκὸς *L* edd 12 τοὺς ante σπεύδοντας *Vi* 13 τὴν] τῇ *BaPa* 14 τοσούτοις scripsi e *BaPaB* τοσου^{τ} *PL* τοσοῦτον *Vi* edd 15 τῷ om Re 16 πο^{λ} τοσαυ^{τ} *P* πόλιν τοσαύτην *Vi* | „fort. καὶ γὰρ τοὺς" Re | ἕως ἂν scripsi e *BaPaB* ut coni Re ὡσὰν *P* ὡς ἂν *LVi* edd

τὸν Ἀντιφῶντα τὸ πῦρ ἐγνωκότα προσάγειν ταῖς τριήρεσι παρεκάλει πρὸς τὴν ἐγχείρησιν. σημεῖον δέ, ἁλόντα γὰρ καὶ κινδυνεύοντα διασώζειν ἐπειρᾶτο. καὶ προϊὼν οὐκ ἀπέστη τῆς πονηρίας, ἀλλ' ἐδέχετο μὲν κατασκόπους εὐμενῶς καὶ πάντα ἐξεδίδασκε, συνηγόρει δὲ τῷ Πύθωνι καταχέοντι τὴν πόλιν.

10. Ἐκεῖνον ἐγὼ καὶ τῆς ἐν Χαιρωνείᾳ αἰτιῶμαι συμφορᾶς. ἡ μὲν γὰρ μάχη ταύτην ἐποίησε, τὴν δὲ ἔξοδον Ἐλάτεια κατειλημμένη. τοῦτο δὲ ἔσχεν ὁ Φίλιππος ἐκ τῆς τῶν Ἀμφικτυόνων ταραχῆς, ἡ ταραχὴ δὲ τῶν Ἀμφικτυόνων ἔργον Αἰσχίνου. πάντα τοίνυν ὅσα τῇ κατὰ Χαιρώνειαν ἠκολούθησε πληγῇ τὴν ἀρχὴν ἀπὸ τῶν Αἰσχίνου λόγων ἔσχεν, οὓς ἐκεῖνος κακῶς ἐν τῇ πυλαίᾳ διεξῆλθεν.

11. Ὡς μὲν οὖν πονηρὸς ἠδίκει τὴν πόλιν, ὡς δὲ δεινὸς εἰπεῖν οὐκ ἐδίδου δίκην, ὡς δ' οὐ λανθάνων ὅτι δύσνους ἦν οὐκ ἐτιμᾶτο, ὡς δὲ βάσκανος ἐρρήγνυτο τιμωμένων ἑτέρων. 12. ἀλλὰ | γὰρ τοῦτο R IV 978

1 cf. ad p. 255, 9; 348, 3 4 Dem. cor. § 137 et 82 5 sq. Dem. cor. § 186 p. 272, 20 6 cf. ad t. VI 238, 16; 280, 16 7 sq. cf. p. 348, 8 15 Dem. cor. p. 270, 28; 315, 25; fals. leg. p. 351, 12; 374, 20; 377, 23; 403, 21; 420, 2; 450, 16 17 cf. p. 349, 7. Dem. cor. p. 267, 8; 271, 10; 274, 6

4 *οὐκ* om *Vi* 5 *εὐμενῶς* reposui e libris ut coni Re *εὐμενοῦς* edd | *καὶ* inserui e *BaPaB* om *PLVi* edd | *καὶ* ante *τῷ B* 6 „*fort. καταθέοντι*" Re 8 *ταύτην* scripsi e *BaPa B* *ταῦτα PLVi* edd | *ἐποίει Pa* 9 *ἐλάττεια B* *ἐ ὤτει* cum lac 2 litt *PL* Mor qui *ἐν Βοιωτίᾳ*, in Notis vero *ἡ Ἐλάτεια* coni *ἐγνώκει Vi* corr Re | *κατειλημμένην Vi* | *τὸ φρούριον* vel *χωρίον* post *δὲ* inserendum coni Re 10 *δὲ ταραχὴ Vi* 12 *ἠκολούθησε* scripsi e *B* *ἠκολούθησαν BaPLVi* edd *ἠκολούθη Pa* 13 *δημηγορῶν* vel *συμβουλεύων* post *κακῶς* inserendum coni Re 14 *πυλαίᾳ* scripsi e *BaPaB* ut coni Re *πύλῃ PLVi* *πόλει* edd 16 *δὲ PLVi* edd 17 *δύσνους* re-

μόνον καλῶς ἐποίησεν, ὅτι τὸν Κτησιφῶντα γραψάμενος ἔφυγεν Ἀθήνηθεν οὐκ ἐνεγκὼν τὴν ἧτταν καὶ διατρίβων ἐν νήσῳ καί τινα τρόπον ⟨τὰ τοῦ⟩ πατρὸς ἐπιτηδεύων πόρρω τῆς οἰκείας ἀπέθανεν. 13. ὑπερβαλόμενος μὲν Εὐθυκράτη καὶ Λασθένη τῇ προδοσίᾳ, νικήσας δὲ τοὺς Θετταλίαν πεπρακότας, πλείονας μὲν ὀφείλων τῇ πόλει χάριτας, ἐν ᾗ δοῦλος ὢν ἐπολιτεύετο, δούλην ταύτην ἐπεχείρησε ποιῆσαι, κοινῇ δὲ τοὺς Ἕλληνας ἀπώλλυε διὰ μιᾶς ταύτης τῆς πόλεως, ὥσθ' οἱ μὲν ἄλλοι τὰς αὑτῶν προδιδόντες ἐκείνας μόνας ἀφῃροῦντο τὴν ἐλευθερίαν, ὁ δ' ἐπὶ ταῖς Ἀθήναις λαμβάνων κατὰ παντὸς ἐλάμβανε τοῦ τῶν Ἑλλήνων γένους.

ε'.

R IV 978

Ψόγος πλούτου.

1. Ἀλλ' εἰ καὶ πολλοὺς λυπήσω φιλοχρημάτους λέγων περὶ πλούτου τἀληθῆ, τῆς γε ἀληθείας οὐδὲν

2 Apollon. vit. Aeschin. p. 268, 16 sq. West. 3 cf. p. 349, 10 4 cf. ad t. III 464, 16. Dem. fals. leg. § 342 p. 451, 1 6 Dem. cor. § 131 p. 270, 28
14 Philostr. ep. 7. Luc. Cyn. 20

posui e libris εὔνους edd sed ἴσ. ἄνους in marg, εὔνους οὐκ in Notis Mor, „fort. ὅτι Φιλίππῳ εὔνους" Re ὤνιος Iacobs Lect
1 ὅτι reposui e libris ut coni Iacobs Lect ὃς edd sed „fort. ἐποίησεν. ὡς τὸν" Re 3 τὰ τοῦ inserui coll p. 349, 10 om libri edd sed τὰ inserendum coni Re | πατρὸς ἐπιτηδεύων in lac 11—12 litt om B 4 οἰκείας scripsi e Pa ut coni Re οἰκίας reliqui libri edd | ἀπέθανε Pa | punctum posui colon libri edd | ὑπερβαλόμενος scripsi e Vi ὑπερβαλλόμενος reliqui libri edd 5 εὐθυκρά^{τ} P εὐθυκράτει BL | λασθένους Pa λασθένει B | τὴν L 6 comma posui punctum libri edd | πλείστας γὰρ Iacobs Lect 7 χαρίσασθαι BaPaB | ἐν ᾗ scripsi εἰς ἣ ν libri edd sed „fort. ἐν ῃ γὰρ δοῦλος ὢν — δούλην ταύτην" Re 8 ταύτην scripsi auctore Re αὐτὴν libri edd
9 διαμιᾶς Pa | τῆς om libri Mor inser Re 10 αὐτῶν BaPaBPL edd 11 ὁ δ' scripsi e BaL ὃδ' reliqui libri edd | ἐπὶ reposui e libris ἐν edd | τὰς ἀθήνας BVi | καταπαντὸς Pa

πρότερον ποιήσομαι. φημὶ τοίνυν ἀγαπᾶσθαι μὲν αὐτὸν ὑπὸ τῶν κακῶς τὰς γνώμας διακειμένων, εἶναι δὲ μέγιστον τοῖς ἔχουσι κακόν.

2. Καὶ πρῶτόν γε ἐντεῦθεν γνοίη τις ἂν τὴν φύσιν αὐτοῦ· πλοῦτος οὐκ ἔστι παρὰ θεοῖς οὐδ' ἀργύριον καὶ χρυσίον καὶ σκεύη καὶ ἐσθήματα, οὐδ' ἕτερος εὐπορώτερος ἑτέρου. καίτοι τῶν γε καλῶν εἴπερ ἦν, ἀνάγκη παρ' ἐκείνοις ἂν ἦν, ὥσπερ τἄλλα τὰ φύσει καλά, δικαιοσύνη καὶ ὁμόνοια καὶ φιλία. 3. ἀλλ' οὐδὲ | τοὺς εὐδοκιμήσαντας παῖδας τῶν θεῶν εὕροιμεν R IV 979 ἂν περὶ χρήματα σπουδάσαντας, οἷον Ἡρακλέα καὶ Θησέα καὶ Πειρίθουν καὶ πολλοὺς ἑτέρους. καίτοι πλεῖστον τῶν ἄλλων διενεγκόντες καὶ δυνάμενοι ῥᾳδίως, εἴπερ ἐβούλοντο, τὰ τῶν ἄλλων ἔχειν, οὐκ ἠξίωσαν ἀπὸ τοῦ πολλὰ κεκτῆσθαι λαβεῖν ὄνομα.

4. Μητέρα τοίνυν ἔγωγε νομίζω πλούτου πλεονεξίαν εἶναι καὶ τὸ μὴ τοῖς ἴσοις τὸ ἴσον ἀγαπᾶν. οὗτος πολέμους ἔτεκεν, οὗτος λῃστείας ἐποίησε. τὸ γὰρ τὰ τῶν πλησίον ἐθέλειν ἔχειν ἐπὶ τὰ ὅπλα τοὺς φιλοχρημάτους ἤγαγε καὶ μάχας κατέδειξε καὶ παρατάξεις καὶ τροπὰς καὶ μηχανήματα καὶ πόλεων κατασκαφάς. 5. καὶ

---

4 γε om BaPaB | γνώμην B 5 οὐδ' ἀργύριον scripsi e BaPaB οὐδὲ ἄργυρος PLVi edd 6 καὶ(1)] οὐδὲ Vi 7 εὐπορωτέρου BaPL Mor qui ἴσ. ἑτέρου in marg εὐπορώ[τρ] Pa ἀπορωτέρου B 8 ἀνάγκῃ scripsi ἀνάγκη libri sed om B, edd | ἦν Mor sed ἴσ. εἶναι in marg | τἄλλα Ba τὰ ἄλλα Pa PLVi edd 9 καλά reposui e libris ut coni Re κακὰ edd 11 χρήματα scripsi χρήμματα B τὰ χρήματα BaPa χρημάτων PLVi edd | σπουδάσαντες Pa 13 τῶν ἄλλων scripsi e BaPaB ἁπάντων PLVi edd 14 ἐλλήνων L 18 ἔτεκεν scripsi e BaPaB ἔδωκεν PLVi edd ἔτικτεν coni Iacobs Lect | οὗτος scripsi cum Iacobsio Lect αὐτὸς libri edd | ἐποίει Pa | τὰ τῶν] τῷ BaPaB 19 ἐχθραίνειν BaPaB

οὐδὲ τὴν θάλατταν ἡ φιλοχρηματία τῶν κακῶν ἀφῆκεν εἶναι καθαράν, ἀλλ' ἐναυπηγήσατο πλοῖα ληστρικὰ καὶ κακούργους ἐνεβίβασε καὶ τραύματα καὶ φόβους εἰσήγαγεν εἰς τὴν θάλατταν. 6. ὁ τύραννος ὑπὸ τοῦ πλούτου καθίσταται καὶ ὅπως ἔτι μᾶλλον πλουτήσειεν, ἐπιθυμεῖ τῆς δυναστείας, γενόμενος δὲ τῶν πραγμάτων κύριος, τοὺς μὲν πένητας ἐᾷ, τοὺς δὲ εὐπόρους σφάττει, καὶ γίνεται τοῖς μὲν ἡ πενία σωτηρία, τοῖς δὲ ὄλεθρος ἡ περιουσία. 7. καὶ μὴν καὶ οἱ τοιχωρύχοι τοὺς τῶν πλουσίων περισκοποῦσι τοίχους καὶ προσέρχονται μετὰ τῶν ὀργάνων ὅθεν ἔστι πολλὰ λαβεῖν, εἰ δὲ βοηθεῖν αὐτοῖς οἱ ἀδικούμενοι βούλονται, μετὰ τῶν χρημάτων ἀπώλεσαν τὰς ψυχὰς ἔργῳ μαθόντες ὅτι κρεῖττον ἦν ἄρα πένεσθαι.

8. Καὶ μὴν ὅστις μὲν εὐπορεῖ, φθονεῖται καὶ ἐπιβουλεύεται, κἂν καταλάβῃ ποτὲ αἰτία καὶ περιστῇ κίνδυνος, πολλοὺς ἔχει τοὺς ἐπικειμένους ἐγκαλεῖν μὲν οὐδὲν ἴσως ἔχοντας, δακνομένους δὲ ὑπὸ τοῦ παρ' ἐκείνῳ τὸ πλέον εἶναι. 9. τοῖς πλουσίοις καὶ τεθνεῶσιν ἤδη παρακολουθεῖ τὸ πάσχειν κακῶς. ἐπειδὰν γὰρ ταφῶσιν ἀξίως τῆς τύχης, πολλοὺς ἔχουσι τοὺς οὐκ ἐῶντας ἀκίνητον μένειν τὸν τάφον, ὥστ' ἀνάγκη τὸ σῶμα ῥίπτεσθαι καὶ δευτέρας δεῖσθαι ταφῆς. 10. παῖδες δὲ πολλῆς οὐσίας κληρονόμοι πολλοὺς ἔχουσι τοὺς

1 θάλασσαν *B* | ἡ φιλοχρηματία scripsi e *BaPaB* ὁ φιλοχρήματος *PLVi* edd | ἀφῆκε καθαράν *BaPaB* 3 κακούργους scripsi e *BaPa* κακούργοις *BPLVi* edd | ἀνεβίβασε *BaPaL* | εἰσήγαγε *Pa* 4 θάλασσαν *BaBL* edd 8 γίγνεται *Vi* 9 καί(2) inserui e *BaPaB* om *PLVi* edd 10 προσέρχεται *BaPaB* 11 ὀριγένων *BaPa* sed in hoc ε in α corr 12 αὐτοῖς *BaPaBL* edd | βούλοιντο *B* 16 περιστῇ scripsi e *BaPaB* coll p. 309, 5. Dem. cor. p. 293, 14 παραστῇ *PLVi* edd | ὁ ante κίνδυνος *L* edd delevi 18 οὐδὲν scripsi e *BaPaB* ut coni Re οὐδ' *PLVi* edd 19 ἐκείνου *Vi* 21 ἔχωσι *PL*

σπαράττοντας | καὶ ἕλκοντας καὶ λαβεῖν βουλομένους ἐξ αὐτῶν τι καὶ φοβοῦντας, εἰ μὴ δοῖεν, καὶ τὸ λαβεῖν ἀφορμὴν ποιουμένους δευτέρας ἁρπαγῆς. ἀνάγκη τοίνυν ἕλκεσθαί τε καὶ θορυβεῖσθαι καὶ ἐνοχλεῖσθαι καὶ τῆς διανοίας ἀμελεῖν ὑπὸ τοῦ πλήθους τῶν περιισταμένων κακῶν. R IV 980

11. *Καὶ μὴν τὰ μέγιστα τῶν ἐν ἀνθρώποις δεινῶν ἀπὸ τῶν τοιούτων λαμβάνει τὰς ἀφορμάς. οὕτω διαφθείρονται γάμοι χρημάτων διδομένων, οὕτω νέων ὥρα μισθοῦ προτεινομένου. τοῦτο τὰς προδοσίας ἐργάζεται, καὶ νῦν μὲν στρατηγὸς ἀπέδοτο τὸ στρατόπεδον, νῦν δὲ πρεσβευτὴς ἃ πεπίστευται, χρημάτων ἐπιθυμήσας ἑκάτερος.* 12. *οἱ δὲ τῶν θεῶν καταφρονοῦντες καὶ τὰ ἱερὰ συλῶντες, οἱ δὲ θήκας κινοῦντες καὶ τάφους ἀνορύττοντες πόθεν ἐπὶ τὸ τοιαῦτα τολμᾶν ὁρμῶνται; ἀπὸ τοῦ περὶ χρήματα μεμηνέναι.* 13. *ἐξέταζέ μοι τοὺς θρασεῖς καὶ τοὺς ὑβριστὰς καὶ τοὺς ἀσελγεῖς καὶ ὅσοι διαπτύουσι τοὺς ἐντυγχάνοντας. ἀπὸ γὰρ τῶν πλουτούντων τούτους εὑρήσεις, οὐ τῶν ἐν μετρίοις διαζώντων.* 14. *ὁ πλοῦτος οὐκ ἐᾷ σωφρονεῖν, ἀλλ' ἐρᾶν παρακαλεῖ. ὁ πλουτῶν ἀμελεῖ παιδείας ὡς*

1 Plat. rep. VII p. 539 B   11 cf. p. 191, 1   18 cf. p. 313, 18   21 Eur. Archel. fr. 235 N²

1 *ἕλκοντας* scripsi auctore Iacobsio Add 265 (*ἑλκύοντας* Lect) coll l. l. *ἐλαύνοντας* libri edd   2 *τί PaP* | *φοβοῦντας* scripsi e *B* cum Sinteni *φοβουμένους* reliqui libri edd   4 *ὑπ' αὐτῶν* post *ἐνοχλεῖσθαι B*   5 *διακονίας B* | *παρισταμένων PLVi* Mor   7 *Καὶ μὴν τὰ μέγιστα τῶν* scripsi e *BaPaB* *καὶ ἐπὶ τὰ μέγιστα μὲν τῶν PLVi* edd sed „*μὲν videtur delendum*“ Re   8 *τῶν τοιούτων*] *τούτων B* | *λαμβάνειν Vi* et coni Re | *τὴν ἀφορμήν B*   11 *τὸ* om *B*   12 *ἃ πεπίστευται* (*πιστεύεται Pa*) inserui e *BaPaB* om *PLVi* edd   13 *καταφρονήσαντες B*   14 *τὰ* om *B*   15 *ἐπὶ τῷ τὰ τοιαῦτα B*   16 *περὶ τὰ χρήματα Vi*   18 *πτύουσι BaPa* *τύπτουσι B*   19 *πλούτων BaPaB* | *οὐ*] *ἀλλ' οὐκ ἀπὸ B*   21 *παραινεῖ B*

ἀρκούντων αὐτῷ τῶν χρημάτων καὶ τὸν πέλας ἀδικεῖ προσπεριβαλέσθαι ⟨τι⟩ τοῖς οὖσιν ἐθέλων. μέτρον γὰρ οὐδὲν ἐπίσταται περιουσίας. 15. καὶ δειλία δὲ τούτοις ἐνοικεῖ. τὸ γὰρ ἀεὶ κολακεύεσθαι καὶ τρυφᾶν καὶ μεθύειν καὶ ζῆν ἐν καλοῖς ἀκούσμασιν οὐκ ἐᾷ κινδύνων ἐνδόξων ἐπιθυμητὰς γενέσθαι. 16. καὶ μὴν καὶ τὸ ὑγιαίνειν ἥδιστον, οἱ δὲ γέμουσι νοσημάτων. τὸ γὰρ ὑπερεσθίειν καὶ τῇ γαστρὶ χαρίζεσθαι καὶ μὴ γυμνάζεσθαι τὸ σῶμα τοῖς πόνοις πᾶσαν ἰδέαν ἐφέλκεται νοσημάτων. 17. ἔτι τοίνυν ἐν ταῖς μάχαις λείπουσι τὰς τάξεις καὶ φεύγουσι καὶ οὐδὲ τὸν κτύπον ὑπομένουσι τῶν ἀσπίδων. Ἴλιον τὸ πολύχρυσον ὑπὸ τῶν
R IV 981 Ἑλλήνων οὐ μάλα εὐπορούντων | ἡλίσκετο. Ξέρξης ὁ τῆς Ἀσίας δεσπότης, ὁ μεταποιῶν τὴν γῆν τε καὶ θάλασσαν ὑπ' ἀνδρῶν ὀλίγων ἠλαύνετο. τοὺς μὲν Ἀθηναίους εὕροις ἄν, ὅτε πλεῖστα ἐκτήσαντο, μάλιστα κακῶς ἀπαλλάξαντας, τοὺς δὲ Λακεδαιμονίους νόμῳ μὲν πενομένους, ἡγουμένους δὲ τῶν Ἑλλήνων ἀκού-

2 Dem. Phil. I p. 42, 29. Paus. I 10, 1 3 Eur. Archel. l. l. 12 Il. σ 289 14 cf. ad t. V 490, 4 sq. 17 Dem. cor. p. 246, 17; ep. 4 p. 1488, 15. Aeschin. Ctes. p. 76, 8

2 *προσπεριβάλλεσθαι PaVi* | *τι* inserui auctore Schwabio coll ll. ll. om libri edd 3 *ἐπίστανται BaPaB* | *δὲ* om *Vi* 5 *κινδυνεύων BaPa* 6 *ἐνδόξων* inserui e *BaPaP LVi* *μεγίστων B* om edd | *ἐπιθυμητὰς* scripsi e *BaPaB* *ἐπιθυμητὴν PLVi* edd | *καὶ*(2) scripsi e *B* *εἰ* reliqui libri edd 7 *νοσημάτων* scripsi e *BaPaB* *νοσήματος PLVi* edd 8 *τῇ* scripsi e *BaPaB* *τὸ PLVi* edd | *τὸ* ante *μὴ PLVi* edd delevi 9 *ἐφέλκεται νοσημάτων* scripsi e *BaPaB* *νοσημάτων ἐφέλκεται PLVi* edd 11 *φεύγουσιν Pa* | *δὲ Ba* | *τὸν* om *Vi* 13 *οὐ* inserui e *BaPaB* om *PLVi* edd | *ἀπορούντων Vi* et e coniectura Morelli Re | *ἡλίσκετο PaPVi* 14 *τὴν* om *B* 17 *ἀπαλλάξαντος BaPa* *ἀπαλλάξοντας B* | *δὲ* scripsi e *BaPaVi* cum Sinteni *τε BPL* edd 18 *ἀκούσαντες BaL* *ἀκούσαν̄ Pa* | *δὲ* post *ἀκούσαντας BaPaPLVi* edd delevi

σαντας παρὰ τοῦ Πυθίου φυλάττεσθαι τὴν φιλοχρηματίαν ὡς ὄλεθρον ἔχουσαν.

18. Ἡ μανία δὲ δεινὸν μέν, ἀλλ' οὐκ ἔστιν ἔγκλημα τῆς γνώμης. ἀφίησι γὰρ ἡ τύχη τὸν ἁμαρτάνοντα τῆς αἰτίας, ὁ δὲ πλοῦτος αὐτὴν διαφθείρει τὴν ψυχὴν καὶ ποιεῖ κακὸν τὸν ἔχοντα. καὶ μανίας μὲν οὐδεὶς οὐδέποτε δίκην ἔδωκε, διὰ δὲ τὴν τοῦ πλούτου ἀδικίαν δρῶμεν πολλοὺς κολαζομένους.

ς'.

Ψόγος πενίας. R IV 981

1. Ἐμὲ δὲ εἴ τις ἔροιτο τί μέγιστον ἡγοῦμαι τῶν ἀνθρωπείων κακῶν, πενίαν εἴποιμ' ἄν. οἶμαι δὲ οὐ πρῶτος ταύτην φέρειν τὴν ψῆφον, ἀλλὰ πολλοῖς μὲν ποιηταῖς, πολλοῖς δὲ ῥήτορσιν ἀκολουθεῖν, οἳ καὶ τὴν φύσιν ἐσκέψαντο τοῦ πράγματος καὶ κατηγόρησαν ἱκανῶς. 2. πῶς γὰρ οὐκ ἔμελλον κατηγορεῖν τῆς ὑπὸ θεῶν μεμισημένης τε καὶ ἐκβεβλημένης οὐρανοῦ; ὅταν γὰρ Ὅμηρος λέγῃ χρυσοῦν εἶναι τοῖς θεοῖς τὸ δάπεδον, ὁμολογεῖ πλοῦτον εἶναι παρ' αὐτοῖς καὶ τὰ τοῦ πλούτου καλά. 3. ἐπεὶ καὶ τῶν πόλεων ἃς φιλοῦσι πλοῦτον

---

1 cf. ad t. III 312, 15
11 Telet. περὶ αὐταρκείας rec. Hense p. 7, 1 sq. Eur. Archel. fr. 230, 2 et 248, 1 N² apud Stobaeum floril. 96, 3 et 4 16 cf. p. 302, 15 18 Il. δ 2 20 cf. p. 310, 12. Od. γ 304. Il. δ 51 sq.

---

1 περὶ PaPL | φυλάττονται B sed εσθαι suprascr m² | φιλοχρηματίαν scripsi e B ut coni Mor cum Bastio Comm. pal. (Greg. Cor.) 836 φιλοχρημα^τ BaPa φιλοχρήματον PLVi edd 7 πλουτεῖν BaPa sed in hoc e πλούτου corr
10 Ψόγος πενίας rubr B om Ba in quo haec vituperatio nullo intervallo cum antecedenti coniuncta est 12 εἴποιμι BaPa 13 πρώτως BaPa | φέρειν ταύτην PaVi

ταύταις δεδώκασι. σημεῖον δέ, Ῥοδίοις γάρ φησι Πίνδαρος ἐξ οὐρανοῦ ῥυῆναι χρυσόν. Θουκυδίδου δὲ ἀκούεις λέγοντος ταπεινῶς διακεῖσθαι τὴν Ἑλλάδα τὸ πρῶτον, ἕως μὴ χρήματα ἐνῆν. 4. ἔνθεν ἴδοι τις ἂν καὶ νῦν τῶν πόλεων τὰς χρημάτων ἀπορούσας ταπεινάς τε οὔσας καὶ φαύλας καὶ ἀμόρφους. οὔτε γὰρ ἂν τεῖχος ἰσχυρὸν περιβάλοιτο πόλις οὔτ' ἂν τὸ μέτρον ἑαυτῆς R IV 982 ἐπὶ | πλεῖστον τῆς γῆς ἐκτείνειεν οὔτ' ἂν ναοὺς κατασκευάσαιτο περιφανεῖς οὔτ' ἂν οἰκίας λαμπράς, εἰ μὴ τὴν ἀπὸ τοῦ πλούτου χορηγίαν ἐπὶ τοῦτο ἔχοι. 5. πολέμου δὲ καταλαβόντος ἐν ᾗ πενία, πόθεν ἂν εἴη τῇ τοιαύτῃ σωτηρία μήθ' ὅπλων ὑπαρχόντων μήτε νεῶν μήτε τριηράρχων μήτε ξενικοῦ προσγινομένου μήτε τροφῆς τοῖς στρατευομένοις οὔσης; 6. ἀλλ' οὐδὲ τὴν εἰρήνην φαιδρὰν εἶναι τοῖς τοιούτοις οἷόν τε τῆς πενίας τὴν ἐκ τῆς ἀσφαλείας τέρψιν ἀφανιζούσης. ὁ πένης εἰ μὲν ἄγαμος διαμείνειεν, ὑπ' ἐρημίας πιέζοιτ' ἄν· γήμας δὲ αὐτῷ παραπλησίαν διπλοῦν αὐτῷ πεποίηκε τὸ κακόν. 7. παῖδες δὲ εἰ γένοιντο, μείζων τῆς πενίας ἡ αἴσθησις, καὶ δεῖ δακρύειν ἀφ' ὧν τοῖς εὐπόροις ἑορτάζειν ὑπάρχει, ὥστε οὐ παῖδας ἰδεῖν, ἀλλὰ τοὐναντίον

1 Pind. Ol. VII 34. cf. ad t. VII 731, 7   2 Thuc. I 2

1 *ταύταις* om *Vi*   2 *δὲ* om *BaPa* | *ἀκούῃς L*   3 *τοπρῶτον BaBPL* edd   4 *τίς PaP* *τὶς Vi* | *καὶ νῦν* inserui e *BaPaB* om *PLVi* edd   6 *φαύλους PLVi* Mor   7 *περιβάλλοιτο Vi*   8 *ἐπιπλεῖστον PaB* | num *πλεῖον*? | *ἂν* om Re   10 *τοῦτο* scripsi e *BaPaB* *τούτοις PLVi* edd   11 *τῇ BaPa* | *εἴη* inserui e libris om edd   12 *σωτηρίᾳ* edd   13 *νεῶν* scripsi e *B* *νηῶν* reliqui libri edd | *τριηραρχῶν* libri edd | *προσγιγνομένου Vi*   15 *πενίας* scripsi e *BaPaB* *τε PLVi* edd sed *γε πενίας* coni Re *ταύτης γε* Iacobs Lect   16 *μὲν* ante *πένης B*   17 *μὲν εἰ Vi*   18 *αὐτῷ* libri edd | *αὑτῷ BaPaB* edd

αἰτοῦσι παρὰ τῶν θεῶν. οἱ δὲ δὴ γενόμενοι πρὸς τὰς δουλοπρεπεῖς καταφέρονται τέχνας ἀπὸ τῶν χειρῶν ποιούμενοι τὸν βίον, ἐλευθερίου δὲ μαθήματος οὐκ ἐᾷ μεταλαμβάνειν ἡ πενία, οὐ κτᾶσθαι ῥητορικήν, οὐκ ἐν φιλοσοφίᾳ διατρίβειν. 8. *οὐδεὶς πένης ἀπὸ τῶν εἰς τὴν πόλιν φιλοτιμιῶν λαμπρὸς οὐδὲ περίβλεπτος οὐ χορηγεῖν δυνάμενος, οὐκ ἐπιδοῦναι ναῦν, οὐ λῦσαι λιμὸν ἐκ τῶν ἔνδον ἀποκειμένων.* 9. *οὗτοι κἂν φρονήσει διενέγκωσι, κἂν συμβουλὴν ἔλθωσι κομίζοντες χρησίμην, κατεφρονήθησαν διὰ τὴν τύχην καὶ τοὺς πειθομένους οὐκ ἔσχον, ἐπεὶ κἂν στρατηγικός τις ἢ πένης ὤν, παραπλήσιόν τι πάσχει καὶ τοὺς ἐγχειριοῦντας τὸ στράτευμα οὐκ ἔχει. πένης πρεσβεύων κἂν ὡς δικαιότατα διακονήσῃ, δωροδοκεῖν ὑποπτεύεται.* 10. *καὶ ὅλως τὰς ἀρετάς, εἴ τινες ἄρα γένοιντο, σπάνιον δέ, κωλύει λάμπειν. ὡς τά γε πολλὰ πονηρίας ἐστὶ διδάσκαλος ἀναγκάζουσα κακὸν εἶναι τὸν ἀποροῦντα.* 11. *ἀπὸ τούτων εἰσὶν οἱ τολμῶντες | κερδαίνειν* R IV 983 *ἐκ τῶν τάφων καὶ τὰς θήκας τῶν οἰχομένων ἀναρρηγνύναι, ἀπὸ τούτων οἱ τοίχους ὀρύττοντες, ἱερόσυλοι, κλέπται μήτ' ἀνθρώπους αἰδούμενοι μήτε θεοὺς δεδιότες. οὗτοι τὰς δεξιὰς ἐν ταῖς ἐρημίαις ὁπλίζουσι*

7 cf. ad p. 172, 20   18 cf. p. 309, 18

1 *περὶ Pa*   3 *ἐλευθέρως Pa* | *θελήματος B*   4 *οὐκ* Re | *οὐκ*] *ἀλλ' Ba* sed *λ'* delet., *Pa*   5 *σοφίᾳ Vi* | *διατρίβειν* reposui e libris sed *ειν* delet. *Ba*, ut coni Mor *διατρίβην* Mor *διατριβήν* Re | *οὐδεὶς* scripsi e *BaPaB* *οὐδὲ PLVi* edd   6 *οὐ*] *οὐδὲ* libri Mor corr Re   8 *λοιμὸν Ba*   10 *χρήσιμον Vi*   11 *στρατηγικός* scripsi auctore Re *στρατηγός* libri edd | *ἢ* reposui e libris ut coni Mor Re *ἦ* edd   16 *κωλύειν Pa*   17 *μὴ εὐποροῦντα B*   18 *οἱ* reposui e libris ut coni Re *εἰ* edd   19 *ταφῶν Vi*   22 *ταῖς ἐρημίαις* scripsi e *BaPaB* *ἐρήμοις PLVi* edd

κατὰ τῶν ὁδοιπόρων καὶ σφάττουσιν οἷς οὐδὲν ἔχουσιν ἐγκαλεῖν ἐσθῆτος ἕνεκα φαύλης ἢ δραχμῶν ὀλίγων. τούτοις δοῦναι καὶ παρακαταθήκην σφαλερόν. ἴσασι γὰρ ἀποστερεῖν καὶ μετὰ τοῦτο ἐπιορκεῖν.

12. Πένης ἐπίτιμος οὐ πολὺ τῶν ἀτίμων διαφέρει τὴν γλῶτταν ὑπὸ τῆς τύχης, ὥς ἔφη που Θέογνις, δεδεμένος. καὶ περιέρχονται κατὰ πόλιν σκυθρωποὶ καὶ κύπτοντες εἰς γῆν ἀποβεβληκότες μὲν οὐδένα τῶν οἰκείων, στένοντες δὲ μᾶλλον ὡς πενόμενοι, παραχωροῦντες θώκων, ὑποχωροῦντες ὁδῶν, ἀγαπῶντες εἰ μὴ πάθοιεν κακῶς, τὰ σώματα μὲν τοῖς νοσοῦσιν ἐοικότες, τὰς ψυχὰς δὲ τοῖς ἀεὶ πληγήσεσθαι μέλλουσι.

13. Θυγάτηρ τῷ πένητι συμφορὰ καὶ μνηστὴρ οὐδαμοῦ, ἡ δ' ἄγαμος ἐλεεινὸν τοῦ καιροῦ τὴν ἀτυχίαν μειζόνως ἐλέγχοντος. 14. ἔτι τοίνυν ἐν δικαστηρίοις, εἰ μὲν διώκει πένης ἀδικούμενος, συκοφαντεῖν ἔδοξεν· εἰ δὲ φεύγει μηδὲν ἀδικῶν, ῥᾳδίως ἥλω. 15. τέθνηκε. περὶ ταφῆς ἡ φροντίς, καὶ δακρύουσιν οὐχ οὕτω τὴν

6 Theogn. 177. cf. ad t. V 63, 4

5 ἐπίτιμος καὶ ὁ ἐκτιμώμενος ὑπό τινος, οἷον ἐπίτιμος ἀγρὸς ἢ οὐσία, ὡς Θουκυδίδης· (V 34) ἐπιτίμους τὰς οὐσίας ἐποίουν. καὶ ἐπίτιμος ὁ ἐπὶ τιμῆς καὶ ἀξιώματος. ὁ αὐτός· μὴ ὄντες ἐπίτιμοι νεωτερίσωσι (l. l.) (= Thom M. s. v. ἐπίτιμος), καθὼς δὴ καὶ ἐνταῦθα εὑρίσκεται παρὰ Λιβανίῳ in marg B²

2 ἐσθῆτος PaB | εἵνεκα edd 3 ἴσασιν edd 4 μετατοῦτο P τομεταταῦτα Vi | ἐπαρκεῖν L 6 τὴν ὑπὸ τῆς τύχης ἀτιμίαν B | δεδεγμένος B 10 τῶν θώκων Vi 11 οὐ ante τοῖς BaPa 12 τὰς δὲ ψυχὰς Vi 14 ἡ δ' scripsi ut coni Re delet. Ba ἢ Pa ἡ BPLVi edd ἢ εἰ Sintenis | ἐλεεινὸν θέαμα coni Re 16 διώκοι BL Re | ἔδοξε PL edd 17 φεύγοι B 18 περὶ θανῆς Ba περιθανῆς Pa

τελευτὴν οἱ προσήκοντες ὡς τὸ μὴ κρύψαι τὸ σῶμα πρεπόντως ἔχειν.

16. *Οὐδὲν τοσοῦτον ἡ δουλεία.* ὁ μέν γε οἰκέτης καθεύδει ῥαθύμως ταῖς τοῦ δεσπότου φροντίσι τρεφόμενος καὶ τἄλλα ἔχων ὧν δεῖται τὸ σῶμα, πένης δὲ ἐλεύθερος ἀγρυπνῶν διατελεῖ ζητῶν ὅθεν θρέψεται, χαλεπὴν ἔχων δέσποιναν τὴν ἀπορίαν ἀναγκάζουσαν λιμώττειν. 17. δεινὸν ἡ νόσος τοῖς ἀνθρώποις καὶ τὸ ἀρρωστήμασι κάμνειν, ἀλλὰ τῷ μὲν εὐπόρῳ πολλαχόθεν ἡ παραμυθία καὶ ἰατροὶ καὶ φάρμακα καὶ θεραπεία συχνὴ καὶ τέχνη· πένης δὲ ἀρρωστῶν διπλῇ προσπαλαίει νόσῳ. φαίη δ' ἄν τις ἀκριβῶς ἐσκεμμένος τὴν πενίαν κουφότερον εἶναι τὸ μετ' εὐπορίας νοσεῖν ἢ μετὰ τοῦ χρημάτων σπανίζειν ὑγιαίνειν.

ϛʹ.

Ψόγος ὀργῆς. R IV 984

1. *Καὶ αὐτός ποτε βλαβεὶς ὑπ' ὀργῆς*, πολλάκις δὲ αὐτῆς κεκρατηκὼς καὶ πείρᾳ μαθὼν οἷόν ἐστι τὸ ταύτης καὶ περιεῖναι καὶ μή, βούλομαι περὶ αὐτῆς εἰπεῖν ἃ περὶ τῆς τοιαύτης ἄξιον, μᾶλλον δέ, ὅσον μὲν ἄξιον, οὐκ ἔστιν εἰπεῖν, ὅσα δὲ ἐγχωρεῖ, καλὸν μὴ σιωπῆσαι.

2. Πρῶτον μὲν οὖν μὴ νομίζωμεν αὐτὴν ἐν οὐρα-

---

3 δού (λ supra) *Ba*   4 ἐλπίσι *B*   5 τἄλλα *Ba* | πρεπόντως post σῶμα *BaPa* e lin. 2, ut videtur, repet.   6 δρέψεται *Ba* sed ε(1) delet., *PaBVi*   7 ἐπαναγκάζουσαν *Vi*   9 τοῖς ante ἀρρωστήμασι *Vi*   10 καί(2) om Mor   13 κουφοτέραν *Pa*

18 καὶ ante κεκρατηκὼς *BIMar* Ferr Mor | ὡς post μαθὼν *B* | οἷόν ἐστι om *PLVi*   19 καί(1) om *BVIMar* Ferr 20 ἃ — 21 εἰπεῖν om *BaPaBVIMar* Ferr | μὲν ἄξιον, οὐκ] μούκ *Vi*   22 νομίζομεν *Ba* sed νομ delet., *Pa*   ζ ζόμεν cum lac 1 litt *Vi*

νᾷ τε καὶ τῇ τῶν θεῶν εἶναι διαίτῃ μηδ' ὑμᾶς μηδεὶς ἐξαπατάτω ποιητὴς τοιαῦτα ληρῶν. εἰ γὰρ εὐδαίμονες μὲν οἱ θεοί, καὶ τοῦτο ἀνωμολόγηται, στασιάζειν δὲ ὁμοῦ καὶ εὐδαιμονεῖν οὐκ ἔστιν, αἱ δὲ ὀργαὶ στάσεις ποιοῦσι, πῶς οὐκ ἀνάγκη τὰ πράγματα τῶν θεῶν καθαρεύειν ὀργῆς; 3. ἀλλὰ μὴν αὐτῶν γε τῶν ποιητῶν ἀκούομεν ῥεῖα ζώειν τοὺς θεοὺς λεγόντων, οὐκ ὀργῇ καὶ τῷ χαλεπῶς πρὸς ἀλλήλους ἔχειν ⟨χρωμένους⟩. πῶς γὰρ ἂν εἴη ῥεῖα ζώειν; 4. τὴν μὲν οὖν Ἄτην φασὶν ἐκπεσεῖν ἐκεῖθεν, ὅπως μηδὲν τῶν αὐτῆς παρ' ἐκείνοις ποιῇ, ἐγὼ δὲ θαυμάσαιμ' ἂν εἰ τὴν μὲν Ἄτην οὐκ ἐπιτηδείαν ἡγοῦντο συνδιατρίβειν αὐτοῖς, τὴν δὲ ὀργὴν ἠγάπων, ἀφ' ἧς ᾔδεσαν οὐκ ἐλάττω γενησόμενα κακά. 5. οὐκοῦν καὶ ταύτην ἐξέρριψαν ἂν ἢ μετ' ἐκείνης ἢ πρὸ ἐκείνης ἢ μετ' ἐκείνην εὐθύς, μᾶλλον δέ, οὐδετέραν ἐξέωσαν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν παρεδέξαντο. θεῶν γὰρ ἦν ἰδεῖν, οἶμαι, πρὶν παθεῖν τὸ μέλλον.

6. Οὐκοῦν ἀνθρώπων τὰ τῆς ὀργῆς καὶ οὐδὲ τούτων πεπαιδευμένων. οὔκουν τούς γε γνησίως φιλοσο-

---

7 Il. ζ 138. Od. δ 805 9 Il. τ 130

---

1 εἶναι καὶ τῇ τῶν θεῶν *BIMar* | μὴ δ' Ferr | ἡμᾶς *BIMar* 2 ληρεῖν *L* 4 καὶ εὐδαιμονεῖν ὁμοῦ *BaPaIMar* 5 ποιοῦσιν *Mar* 8 το *Pa* | χρωμένους inserui coll p. 319, 4 et Plut. quom. adul. poet. aud. p. 29 c om libri edd | πῶς — 9 ζώειν; om *VI* Ferr 9 φασὶν — 11 Ἄτην om *B* 10 αὐτῆς *BaPa* edd sed γρ αὑτοῖς in marg Mor αὑτοῖς *PL* | ποιεῖν *BaPa* 12 ἡγοῦντο Mor sed γρ ἡγοῦνται in marg ἡγοῦνται *PLVi* | αὑτοῖς libri edd | δ' *BaPaBPV* edd 15 ἐκείνην] ἐκείνης *PLVi* sed in hoc ς in ν corr m² | εὐθύς om *B* | οὐδετέραν Mor sed γρ οὐδέτερον in marg οὐδέτερον *BaPaPLVi* 16 τηναρχὴν *BI* 17 ἔστιν supra γάρ *Ba* | ἦν om *BaPa* 18 οὔκουν *Pa* 19 τῶν *Vi* | πεπαιδευμένων Mor sed γρ σπουδαίων in marg delet. *Ba* παίδευμα *PaBVIMar* σπουδαίων *PLVi* | γνησίους *Ba*

φοῦντας ἔστιν ἰδεῖν ὑπὸ τοῦδε τοῦ πάθους κατεχομένους, ἀλλὰ τοῦτον ὄντα πρῶτον φιλοσοφίας καρπόν, τὸ καθαρὰν ὀργῆς τὴν ψυχὴν παρέχεσθαι. 7. *καὶ τόν γε ὀργῇ δουλεύοντα καὶ μὴ τοῖς ἐκ τῆς φιλοσοφίας λόγοις ἥκιστά γέ φαμεν φιλοσοφεῖν, τὸν δὲ κρείττονα ταύτης, κἂν μὴ δεινὸς ᾖ τἀκείνων,* | *ἐν ἄκροις* R IV 985 *γραφόμεθα. οὕτω μέγιστος ἄθλων ἐστὶν ὀργὴν φανῆναι νικῶντα, ἣ ποιεῖ μὲν κακῶς ἄλλους, ποιεῖ δὲ αὐτὸν τὸν ἔχοντα.*

8. *Σκοπῶμεν δὲ οὑτωσί· πατὴρ ἥττων ὀργῆς ἀφόρητος υἱέσιν ὑβρίζων, ἐλαύνων, παίων. καὶ πολλοὶ τόν γε τοιοῦτον ἀποδράντες ἀλᾶσθαι μᾶλλον καὶ πτωχεύειν ἐδέξαντο καὶ τοὺς ἀλλοτρίους σφίσιν οἴκους οἰκειοτέρους ἔκριναν. ὁ δ' ἀπὸ τῶν παίδων τὴν ὀργὴν ἐπὶ τὴν γυναῖκα μετενεγκὼν ταχέως κἀκείνην ἐξήλασεν.* 9. *ἥκων δὲ ἐπὶ τοὺς οἰκέτας πολλοὺς δραπέτας ἐποίησεν, ἔστι δὲ οὓς καὶ φονέας. τοῖς μὲν γὰρ ἤρκεσεν ἀπελθοῦσιν ἀπηλλάχθαι κακῶν, τοῖς δ' ἔδοξε καὶ δίκην λαβεῖν. καὶ νύκτας ἀναμείναντες τῶν πληγῶν καὶ*

---

1 *τοῦδε* om Ferr 2 *πρῶτον* — 9 *ἔχοντα* citat Macarius Chrysocephalus fol. 93r et v | *πρῶτον ὄντα Pa* | *πρῶτος* et *καρπὸς* Macar 3 *τὸν Pa* | *καθαρὸν BaPa* | *καὶ* — 4 *δουλεύοντα*] *ὁ δέ γε ὀργῇ δουλεύων* Macar 4 *τῆς* om *BaPaBIMar* Macar Ferr 5 *γέ* om *PaPLVi* | *φαμεν* om *BaPaBIVMar* Macar Ferr | *φιλοσοφεῖ* Macar | *τὸν δὲ*] *τὸν δ' αὖ* Macar | *δὲ* scripsi *τε BaVIMar* Ferr *γε PaB* *δέ γε PLVi* Mor Re 6 *τὰ ἐκείνων BaPa* Ferr *τὰ 'κείνων VI* 7 *ὀργῆς φανῆναι κρείττονα Vi* | *ὀργῇ* Macar 8 *ᾗ BaPa* Ferr | *κακοὺς BaPaBIPLVi* *ὡς κακοὺς* Macar 11 *υἱέσι Vi* 12 *τόν γε τοιοῦτον* scripsi e *PL* *γε τοιοῦτον Vi* *τῶν γε τοιούτων BaPaBVIMar* edd | *ἀλᾶσθαι PL* 14 *ὁ* libri edd 15 *ἐκείνηῃν PLVi* 16 *ἐποίει Pa* 18 *ἀπελθοῦσιν* om *PLVi* *ἀπελθοῦσι IMar* | *πεπαῦσθαι IMar* | *δὲ B* 19 *νύκτα Vi* | *ἀναμείναν Ba* *ἀναμείναντα Pa* *μείναντες Vi*

τῶν μαστίγων ξίφεσι τὴν δίκην ἔλαβον. 10. *πάλιν τοίνυν γυνὴ μὲν εἰς ὀργὴν ἕτοιμος ἀνδρός τε καὶ οἴκου καὶ τῶν ἐν τούτοις ἀγαθῶν αὑτὴν ἀπεστέρησε, παῖδες δέ, τὸ δεινότατον τοῦτο καὶ δυσσεβές, πατέρας ἐπάταξαν καὶ γραφὰς ὑπέμειναν καὶ δικαστὰς εἶδον, καὶ οὐδαμόθεν ἡ συγγνώμη.* 11. *ὀργὴ καὶ τὸν οἰκέτην αὑτὸν ἀγνοεῖν ἀνέπεισε, καὶ μεῖζον τῆς τύχης ἔβλεψέ τε καὶ ἐφθέγξατο καὶ τὴν χεῖρα κινήσας οὐ κατὰ νόμον μύλωνα καὶ πέδας ἀντὶ τοῦ καλοῦ φρονήματος ἔσχεν.* 12. *αὕτη καὶ φιλίας δεσμοὺς διακόπτειν πέφυκε τὸν μὲν ὀργιζόμενον ἐφ' ἅπαν ἐξάγουσα ῥῆμα, τὸν δὲ παροινούμενον ἐχθρὸν ἀντὶ φίλου τῇ λύπῃ ποιοῦσα. οὐ γάρ ἐστι ῥᾴδιον τὰ ἀπὸ τῆς ὀργῆς ἐνεγκεῖν, οὐ νέοις, οὐ πρεσβύταις, οὐκ ἀνδράσιν, οὐ γυναιξίν, οὐκ ἐλευθέροις, οὐ δούλοις.* 13. *γείτων ὀργίλος ἔν τε ἀγρῷ καὶ πόλει μεγάλη τῷ πέλας συμφορά. ἡσυχάζειν μὲν γὰρ τοῖς τοιούτοις οὐδὲ μικρὸν ἔξεστι χρόνον, ἀεὶ δὲ ἐν κραυγῇ καὶ θορύβῳ καὶ ῥήμασι πικροῖς εἰσι καὶ μάχαις, κἂν νὺξ ἀφέληται, πάλιν ἧκεν ἡμέρα τὰ τῆς προτέρας φέρουσα καὶ τὸν ἐπιεικέστερον ἢ σιγῇ δεῖ φέρειν, τοῦτο δὲ οὐ ῥᾴδιον, ἢ τῶν τρόπων ἐκβάντα ἀσχημονεῖν.* 14. *τοῦτο καὶ στρατηγὸν ἂν ποιήσειεν*

3 *αὑτὴν PaPMar* | *ἀπεστέρησεν PaMar* 4 *δὴ P* | *δὴ* post *δεινότατον Vi* 6 *ἡ* inserui e *BaPaPL* om *BVIMarVi* edd | *αὑτὸν PaBPLVi* 7 *μείζω B* 9 *μυλῶνα BaPa* cf. ad t. II 543,10; V 98,22; 471,10; VII 716,10 | *καλοῦ* scripsi e *BaPaPLVi* *κακοῦ BVIMar* edd 10 *θεσμοὺς PaILVi* 12 *ἀντιφί*[λ] *Pa* 13 *ὑπὸ B* 15 *τούτων L* 16 *τῷ πέλας* om *BVIMar* Ferr 18 *εἰσι* scripsi *εἶναι* libri edd 19 *ἦλθεν B* | *ἡ* ante *ἡμέρα BaPaVi* et Boisson. Tzetz. alleg. 238 20 „*malim τῆς προτεραίας*" Re 21 *φέρειν* scripsi coll p. 234,14 *στένειν* (*στέργειν V* sed *γ* in ras m[2]) libri edd | *τῶν τρόπων ἐκβάντα* scripsi *τὸν τρόπον ἐκβάντα BaPaPLVi* *ἐκβαίνοντα τὸν τρόπον BVIMar* *ἐκβαίνοντα τῶν τρόπων* edd sed *γρ τὸν τρόπον ἐκβάντα* in marg Mor

| *ἄχρηστον καὶ στρατόπεδον ἀθυμότερον, τὸν μὲν* R IV 986 *οὐκ ἔχοντα χρῆσθαι τῇ τέχνῃ παρὰ τὴν ὀργήν, τὸ δὲ οὐχ ἡδέως τῷ τοιούτῳ παρέχον αὐτό.* 15. *βαρεῖς καὶ τῷ νέων χορῷ διδάσκαλοι ὀργῇ χρώμενοι καὶ οὔτ' ἂν ἐκεῖνοι ῥυθμίζοιντο καλῶς πληττόμενοι τὰς ψυχὰς τοῖς ἀπὸ τῆς ὀργῆς λόγοις οὔτ' ἂν οὗτοι δέχοιντο τὰς μαθήσεις ἀκριβῶς, ἀλλὰ καὶ σκηπτόμενοι νοσεῖν οἴκοι πολλάκις ἂν μένοιεν δεδιότες τὴν ἐπ' αὐτοῖς ῥηγνυμένην ὀργήν.* 16. *ταὐτὸν ἂν καὶ ἀθλητὴς πάθοι τοιούτῳ παιδοτρίβῃ περιπεσών, καὶ αὐτὸς δὲ πίπτων εἰς ὀργὴν ἐν τοῖς ἄθλοις ἀντὶ τῶν ὑπὸ τῆς τέχνης αὐτῷ παρηγγελμένων τοῖς παραπίπτουσιν ἂν χρῷτο.* 17. *ἐν νηὶ δὲ ὀργὴ τῶν πλεόντων πρὸς ἀλλήλους ἀντὶ χειμῶνος καὶ ζάλης γίγνοιτ' ἂν τῷ σκάφει.* 18. *ἡνίοχος ὀργῇ κατειλημμένος χείρους ἂν ποιήσαι τοὺς ἵππους τοῖς ἀπὸ τῶν χαλινῶν ἀλγήμασιν ἀναγκάζων κακουργεῖν. καὶ περὶ τοὺς βοῦς ἂν ταὐτὸ γίγνοιτο παρὰ τοῦ βοηλάτου ταὐτὸν ἐκείνῳ πεπονθότος.* 19. *δῆμος δὲ τραχὺς*

---

2 *χρῆσθαι τῇ τέχνῃ παρὰ τὴν ὀργήν* scripsi e *BaPaPLVi* sed *πρὸς* pro *παρὰ* *PLVi*   *παρὰ τὴν ὀργὴν χρῆσθαι τῇ τέχνῃ* *BVIMar* edd sed *γρ πρὸς* in marg Mor   3 *τὸ τοιοῦτο* *Mar* sed in *τῷ τοιούτῳ* corr m² | *αὐτό* *PaBPL*   *αὐτῶ* (ὁ supra) *Vi* | *βαρὺ χορῷ καὶ νέων διδάσκαλος ὀργῇ χρώμενος* *PLVi* et *γρ* in marg Mor   4 *τῶν* *Mar* | *νέω* *BaPa* | *οἱ* ante *διδάσκαλοι* *BaPa*   7 *καὶ* inserui e *BaPaPL*   om *BVIMarVi* edd | *σκεπτόμενοι* *PLVi*   8 *τὴν δ'* *Vi* | *αὐτῶ* *Ba*   *αὐ*^τ^ *Pa*   9 *ὀργήν* om Ferr | *πάθη* *PL*   10 *πίπτων*] *πεσών* *B*   12 *παραπίπτουσι* *PVi*   *περιπίπτουσιν* *Pa* | *χρῷτο ἄν* *BaPaPLVi*   13 *ὀργὴ τῶν πλεόντων* scripsi e *BaPaBPLVi*   *τῶν πλεόντων ὀργὴ* *VIMar* edd   14 *γίνοιτ'* *PL*   *γένοιτ'* *BVi*   15 *ποιῆσαι* *B*   *ποιήσαις* *I*   *ποιείτω* *Ba*   *ποιεῖ* (τ supra) *Pa*   *ποιεῖτο* *P*   *ποιοῖτο* *L* et *γρ* in marg Mor   *ποιεῖ* *Vi*   17 *ταυτὸν* *PL*   *τοιαῦτα* *Vi* | *γίνοιτο* *PL*   18 *πεπονθότος ταὐτὸν ἐκείνῳ* *BVIMar* Ferr | *ἐκεῖνο* *Pa* | *πεπονθότες* *PaL* Mor Re qui *πεπονθότος* scribendum vidit   *πεπονθότι* *B*

καὶ ῥᾳδίως ὀργιζόμενος πολλάκις ἀποστερεῖται τοῦ τὰ δέοντα μαθεῖν τῶν ἐχόντων εἰπεῖν τι φόβῳ σιγώντων καὶ δίκην ἣν ἔδει παρὰ τῶν πολεμίων, ταύτην παρὰ τῶν οἰκείων ἥσθη λαβών. 20. ἀλλ' οὐδὲ δικαστὴς γένοιτ' ἂν τῶν δικαίων ἀγαθὸς φύλαξ μετ' ὀργῆς ⟨ἀκροώμενος⟩ τῶν ἀγωνιζομένων. οἱ γὰρ ἕπεται τοῖς νόμοις, R IV 987 | ἀλλὰ χαρίζεται τῷ θυμῷ. 21. ὁ βασιλεὺς ἕως μέν ἐστι τοῖς ἀρχομένοις ἤπιος, τοῦτ' ἔστιν ὅπερ ὀνομάζεται· χαλεπὸς δὲ γινόμενος καὶ διδοὺς ἑαυτὸν ὀργῇ καὶ διὰ τοῦτο τοὺς μὲν χρήματα ἀφαιρούμενος, τοὺς δὲ ἐκβάλλων τῶν ὅρων, τοὺς δὲ δέων, τοὺς δὲ ἀποκτιννὺς εἰς τύραννον ἐκκεκύλισται, κἂν σφόδρα φεύγῃ τοὔνομα τοῦτο καὶ τοῦ τῆς βασιλείας ἔχηται. 22. ἐμοὶ δὲ καὶ πρεσβευτὴς ἀρέσκει κραυγὴν καὶ μέμψεις καὶ ἐγκλήματα ἐκείνων παρ' οὓς ἀφῖκται δυνάμενος ἐνεγκεῖν, ὁ δ' ὑπ' ὀργῆς χειμαζόμενος ταχέως τοῖς ἐχθροῖς βεβοηθηκὼς ἀπέρχεται τὰ αὑτοῦ μὲν ἰσχυρὰ ποιήσας ἀσθενῆ, τἀκείνων δὲ ἀσθενῆ δείξας ἰσχύοντα. καὶ γὰρ εἰ τὰ μάλιστα πάντα δι' ὧν ἦν κρατεῖν παρεσκευασμένος ἦλθεν, ἥ γε ὀργὴ προσπεσοῦσα πᾶν τὸ ἐσκεμμένον ἐσκέδασε καὶ κατέστησεν αὐτὸν εἰς

2 ποιεῖν *Vi* | τί *PaPI* 4 ἥσθη παρὰ τῶν οἰκείων *BVI Mar* Ferr 5 δικαίων scripsi auctore Re οἰκείων libri sed ἀγαθῶν *Mar*, edd | ἀκροώμενος inserui auctore Re om libri edd 7 ὁ βασιλεὺς — 13 ἔχηται citant Planudes fol. 105v et Macarius fol. 93v 9 γιγνόμενος *Vi* γενόμενος *BaPaBVIMar* Plan edd 10 καὶ om Ferr | διατοῦτο *PaI* Plan 12 ἀποκτιννύει *Ba* ἀποκτιννύων *Pa* 13 τοῦ om *Vi* 15 ἐγκλήματα scripsi auctore Re ὀγκώματα libri edd 16 ἐνεργεῖν *Ba* sed γεῖν delet., *Pa* | ὅδ' *BaPaBVMar* edd | ταχὺ *BVIMar* edd 17 βεβοηθηκὼς τοῖς ἐχθροῖς *Vi* | ἐχθρὸς *Ba* | αὑτοῦ *PL* αὐτ *Pa* 18 τὰ ἐκείνων *PaPLVi* τὰ 'κείνων *I* | δ' *PLVi* 19 ταμάλιστα *IMar* Ferr | πάντων *Pa* 20 ὅτε *Pa* 21 αὐτὸν *BaBVI* edd

ἴσον τῷ μηδὲν φροντίσαντι τὴν ἀρχήν. 23. ἀλλότριον ὀργὴ γάμων, ἀλλότριον θυσίας, ἀλλότριον κώμων, ἀλλότριον συμποσίων. τούτων μὲν γὰρ ἕκαστον ἐν γαλήνῃ καὶ τῷ τέρπειν ἀλλήλους τὴν εὐφροσύνην ἔχει, τῆς δὲ ὀργῆς ἐπεισελθούσης ταραχὴ καὶ πόλεμος καὶ λυπεῖν ἀλλήλους ἀνάγκη. 24. ἔτι τοίνυν ἀποστερεῖ μὲν τὸν ἀρρωστοῦντα βοηθείας, ἀποστερεῖ δὲ τὸν ἰατρὸν εὐδοξίας. εἰ γὰρ ὁ μὲν χαλεπὸς εἴη πρὸς τὸν μεμνημένον φαρμάκων, ὁ δ' ἀποπηδᾷ τοῦ κάμνοντος οἷς ἤκουσεν ἀνιώμενος, ὁ μὲν οὐκ ἂν ἔχοι πρὸς τὸ νόσημα σύμμαχον, ὁ δὲ πολλοὺς τοὺς κατηγόρους ὡς ἂν προδότης τοῦ κάμνοντος.

25. Οὕτω δέ ἐστι φύσει κακὸν ὁ θυμὸς τοῖς ἔχουσιν ὥστ' εἰ καὶ τἄλλα πάντα αὐτοῖς ἃ δοκεῖ ποιεῖν εὐδαιμονίαν ὑπάρχει παρὰ τῆς Τύχης, αὐτοί γε σφᾶς αὐτοὺς ἀθλιωτέρους τῶν ἀτυχούντων | ποιοῦσι. R IV 988 26. βαρὺ μὲν τὸ ἐν ἀθυμίᾳ ζῆν, ἀθυμία δὲ καταναγκάζει τό τινα αὐτὸν ἑαυτοῦ κατεγνωκέναι, τοῦτο δέ ἐστι τῶν ὡς ἡμαρτήκασιν εἰδότων, τὸ δ' ἁμαρτάνειν πυκνὰ τῆς ὀργῆς ἔργον οἶμαι τοῦ λογισμοῦ μὲν παρεωσμένου, τοῦ θυμοῦ δὲ τυραννοῦντος. 27. τὸν τοιοῦτον ἀεί γε

1 *ἴσον* Ferr | *μὴ δὲ P* *μηδὲ LV* Mor Re | *τηναρχήν I* *τὴν ἰσχύν BaPa* 2 *ἀλλότριον* ante *κώμων* et ante *συμποσίων* inserui e *PLVi* om *BaPaBVIMar* edd sed *γρ* in marg Mor 4 *τὸ PaBPLVi* 6 *ἀνάγκη ἀλλήλους BaPa* 7 *τὸν ἀρρωστοῦντα* scripsi e *BaPaPLVi* *τοὺς ἀρρωστοῦντας BIVMar* edd sed *γρ τὸν ἀρρωστοῦντα* in marg Mor | *ἀποστερεῖ δὲ τὸν* scripsi e *PLVi* *τὸν δὲ BVIMar* edd sed *γρ ἀποστερεῖ δὲ τὸν* in marg Mor *καὶ τὸν BaPa* 9 *ὑγείας B* sed *γρ φαρμάκων* in marg | *ὃ* libri edd 11 *ἂν* om *BaPaBVIMar* Ferr 13 *κακὸς PLVi* 14 *ὥστε BaPa* | *τὰ ἄλλα BaPa* | *δὴ* ante *δοκεῖ PL* Mor Re delevi 15 *ὑπάρχειν BaPaB* 16 *τῶν ἀτυχούντων* om Ferr 17 *ἀναγκάζει PaBVI* 18 *τίνα PLVi* | *αὑτὸν* edd | *κατεγνωκέναι L* sed *ατ* in ras m² | *ἐστι* om *B* *ἐστιν Vi* 19 *δὲ PLVi* | *πυκνὸν PLVi* 20 *μὴ L*

βοᾶν ἀνάγκη καὶ τὴν μὲν καρδίαν οἷον ἐκπηδᾶν νομίζειν, τὴν κεφαλὴν δὲ ὡσπερεὶ διίστασθαι, φωνὴν δὲ ἀκραιφνῆ μὴ δύνασθαι δεικνύναι, τοὺς δὲ ὀφθαλμοὺς διαπύρους. πολλοῖς δὲ καὶ νόσου δεινῆς ἀρχὴν ἤνεγκεν ὀργῆς ὑπερβολή. 28. ὑπὸ μόνων δὲ τούτων ἐν ἴσῳ τοῖς ἀνθρωπίνοις ἀτιμάζεται τὰ θεῖα. καὶ καταρῶνται μὲν γῇ, καταρῶνται δὲ οὐρανῷ, κακῶς δὲ ἀγορεύουσι τὸν τούτων δημιουργόν. ἃ κατὰ τοῦ δυσμενοῦς οὐκ ἂν ἀνὴρ σωφρονῶν φθέγξαιτο, ταῦτα ῥᾳδίως ἐπὶ τοὺς κρείττους ἀφιέντες οὐκ ἀξιοῦσι δεδοικέναι τοῦ Διὸς τὸ πῦρ.

29. Δεινὸν τὸ κέρδους ἡττᾶσθαι καὶ χρήματα συλλέγειν ὅθεν οὐκ ἄξιον, ἀλλὰ τοῦτο μέν ἐστι ταῖς ἑτέρων βλάβαις τὰ αὑτοῦ μείζω ποιεῖν, ὀργὴ δὲ πρὶν ἕτερον αὐτὸν ζημιοῖ τὸν ὀργιζόμενον. 30. δεινὸν ἡττᾶσθαι κάλλους σωμάτων, ἀλλ' ὁ μὲν τοῦτο παθὼν πρῶτον μὲν ἐν μικρῷ μέρει τῆς ἡμέρας ὁμιλήσας τοῖς παιδικοῖς ἅπτοιτ' ἂν ἔργων καλλιόνων, ἔπειτα μετὰ τῆς ὥρας ἣν ἐθαύμασε λήγει νοσῶν· ὅτῳ δὲ θυμὸς ἐμπέ-

1 καὶ τὴν μὲν] τὴν δὲ *VIMar* Ferr 3 δεικνύειν *PLVi* | τοὺς — 4 διαπύρους om *VIMar* Ferr „*quae si servantur, necesse est φανῆναι vel tale quid addi*" Re 4 δὲ om *PLVi* δὴ *Mar* 5 ὑπερβολή Mor sed γρ ὑπεροχή in marg ὑπεροχή *PLVi* | ὑπὸ Mor sed γρ ὑπὲρ in marg ὑπὲρ *PLVi* 6 ἀνθρωπίνοις scripsi e *VMar* ἀνθρώποις reliqui libri edd sed „*fort. ἀνθρωπίνοις aut ἀνθρωπείοις*" Re 7 τῇ ante γῇ *Vi* | καταρῶνται δὲ om *V* καὶ *BaPaBIMar* Ferr καταρῶνται δὲ καὶ edd 8 δημιουργῶν *I* sed ῶν in ὸν corr m² 9 φθέγξεται *Pa* 10 κρείττονας *VIMar* Ferr | καὶ ante οὐκ *BVIMar* edd delevi 12 κέρδος *PaIMar* 13 ὅθεν om *BaPa* | τούτων *Pa* 14 αὑτοῦ *BaPa* sed in hoc ' e ' corr, *PLV* edd 17 μέρει om *BVIMar* Ferr 18 καλλιόνων (καλλίων Ferr) ἔργων *VIMar* Ferr | ἔπειτα — 19 νοσῶν om *Vi* 19 νόσων *BaPaP* νόσω *L* | δὲ om Ferr | ὁ ante θυμὸς *Mar*

φυκε ζέων, πανταχοῦ τε αὐτὸν ἀπόλλυσι καὶ θανάτῳ μόνῳ παύεται. 31. μέμφεσθαι μὲν ἄξιον τοὺς οἰνόφλυγας καὶ ὅσοι μέχρι μέθης πίνουσιν, ἀλλ' ἐκεῖνοι πιόντες μέν εἰσιν ἀηδεῖς, πρὶν δὲ πιεῖν οὐ τοιοῦτοι, ὥστ' εἴ τις αὐτοὺς ἀνάγκῃ κωλύσειε μὴ πιεῖν, οὐδὲν ἂν χείρους εἶεν τῶν ἄλλων· τὸν δ' ὑπ' ὀργῆς κρατούμενον τίς ἂν ἀπαλλάξειε τῆς δεσποίνης μηχανή; | R IV 989 ἔτι μέν τοι καὶ τῶν μεθυσκομένων τοῦτ' ἔστι τὸ δεινότατον, ὅτι τὸν νοῦν διαφθείραντες εἰς ὀργὴν ἐκφέρονται.

32. Ὀργὴ τὴν Μήδειαν ὥπλισε κατὰ τῶν τέκνων, ὀργὴ τὴν Πρόκνην κατὰ τοῦ μηδὲν ἠδικηκότος Ἴτυος καὶ προσέθηκεν ἑτέραν ὠμότητα δεῖπνον τῷ πατρὶ παραθεῖσα τὸν υἱόν. ὀργῆς ἦν καὶ τὰ Θηβαίων εἰς τοὺς ἐπὶ τῇ Καδμείᾳ τῶν Ἀργείων πεσόντας, οἳ τοὺς τεθνεῶτας ἀποστεροῦντες ταφῆς ἑαυτοῖς ἀσεβείας τε δόξαν ἐποίησαν καὶ κινδύνους ἑτέρους πρὸς Θησέως. 33. τὴν Ἀχιλλέως ὀργήν, ὑπὲρ ἧς ἡ Ἰλιάς, οὐδεὶς ὅστις οὐκ οἶδεν ἀνθρώπων, ἐφ' ᾗ τὸν Ἀχιλλέα καταδυόμενον

11 cf. t. IV 1009 et 1033 R 12 cf. narr. 18 et 19 p. 45, 5 sq. 14 sq. cf. narr. 10 p. 40, 13 sq.

1 *αὑτὸν PaB1MarPLVi* 3 *πίνουσι Vi* 4 *μὲν πίοντες B* | *οὐ* — 5 *πιεῖν* om *B* 6 *δ'* om Mor *δὲ PVi* 7 *τοῦ δεσπότου* (*δεσπο̄* *Pa*) *BaPaPLVi* et *γρ* in marg Mor 9 *διαφθείραντες* scripsi e *Pa* *διαφθείροντες* reliqui libri edd
11 *τὴν Μήδειαν ὥπλισε κατὰ τῶν τέκνων* scripsi e *BaPaPLVi* *κατὰ τῶν τέκνων τὴν Μήδειαν ὥπλισεν BVIMar* edd
14 *παραθῆσαι PLVi* | *κατὰ* Ferr et *γρ* in marg Mor 15 *τῇ* om *Vi* | *πεσόντας* Mor sed *γρ* *πεσόντων* in marg *πεσόντων PLVi* 16 *αὑτοῖς Vi* *αὐτοῖς PL* | *εὐσεβείας L* | *τὴν V*
17 *Θησέως* scripsi coll p. 40, 16 *Θησέα* libri edd | *ἴσ. προσέθεσαν* in marg Mor 18 *ἡ* om *Mar*

ὁρῶμεν καὶ τῇ ἐρωμένῃ καταρώμενον ὡς τῆς ἀφορμῆς τῶν κακῶν ἐκεῖθεν ἡκούσης. 34. *ὀργὴ Τυδέα διεκώλυσεν ἀθανασίας τυχεῖν. ὀργῇ Καμβύσης τὰ πολλὰ ἐκεῖνα ἐξήμαρτε. δι' ὀργὴν ἡ πόλις ἡ τῶν Ἀθηναίων δέκα στρατηγῶν ἀγαθῶν ἑαυτὴν ἀπεστέρησε καὶ τὸν λαμπρὸν ἐκεῖνον Ἀλέξανδρον τὸν ἐν πολέμοις ἀήττητον ὀργὴ κατέστησεν αἰτίαις οὐ μικραῖς ἔνοχον.*

35. *Καὶ εἰ δή τις ἅπαντας τοὺς ὑπ' αὐτῆς ἐξημιωμένους καταλέγειν ἐθέλοι, ἀδύνατ' ἂν ζητοίη. διόπερ τούτου μὲν ἀφέξομαι, κρείττων δὲ ὀργῆς εἶναι παρὰ τῶν θεῶν αἰτῶ.*

η'.

R IV 989

Ψόγος ἀμπέλου.

1. *Οὐχ ὅτι πολλοὶ τῇ ἀμπέλῳ χαίρουσιν, ὀκνήσω περὶ αὐτῆς τἀληθὲς εἰπεῖν. πλέον γὰρ αἰδοῦμαι τὴν ἀλήθειαν ἢ τὸ τῶν ἀνθρώπων πλῆθος, οἳ τὴν ἄμπελον ἡγοῦνται ἀγαθὸν ὥσπερ καὶ ἄλλα πολλὰ τῶν κακῶν ἃ βλάπτει μὲν ὁμολογουμένως, τέρπει δὲ καὶ διὰ τοῦτο ὡς ἀγαθὸν ἐπαινεῖται.*

1 Il. τ 59 sq. 2 sq. cf. narr. 9 p. 40, 3 sq. 3 cf. ad t. IV 234, 1 5 cf. t. V 120, 14. Xen. Hell. I 7, 34 6 Sen. ir. III 17, 1 et 23, 1. Plut. coh. ir. 9 p. 458 B
13 Nicol. prog. 9, 3 ed. Walz. Rhet. gr. I 343 qui Libanii vestigia pressit 14 sq. cf. p. 339, 3 sq.

1 *τῇ ἐρωμένῃ* scripsi e *BaPaVIMar* *τῇ ἐρρωμένῃ B* *τῇ γε (γ' Vi) ἐρωμένῃ PLVi* *τὴν ἐρωμένην* edd sed *γρ τῇ γ' ἐρωμένῃ* in marg Mor 2 *διεκώλυσεν Pa* sed *σ* eras 3 *ὀργὴ PLMar* Re | *τὰ* om *Pa* 4 *ὀργῆς L* | *ἡ* (2) om *BaPaBVMar* Ferr 5 *ἀπεστέρησεν Mar* 8 *εἰ* om *Vi* | *δή* om *BaPaBVI Mar* Ferr 9 *ἐθέλει BVIMarVi* Ferr Mor *θέ* (λ supra) *BaPa* | *ἀδύνατα PLVi* 10 *τοῦ* (τ supra) *P* *τούτους L* | *κρείττω VMar* sed *ν* eras
11 *αἰτῶ* Mor sed *γρ ζητῶ* in marg *ζητῶ BaPaPLVi*
14 *πολλῇ Vi* 18 *διατοῦτο P* 19 *ὡς ἀγαθὸν* inserui e *B* om reliqui libri edd

2. Τὸν τοίνυν πρῶτον περὶ αὐτὴν σπουδάσαντα Ἰκάριον εὑρήσομεν δι' αὐτὸ τὸ σπουδασθὲν ἀποθανόντα. ὡς γὰρ περιήει παιδεύων τὰ περὶ αὐτὴν τοὺς ἀνθρώπους, ἔγευσε μὲν τοῦ οἴνου τοὺς Θρᾷκας, οἱ | δὲ ἔπασχον τὰ τῶν μαινομένων παίοντες τοὺς R IV 990 πλησίον, προπηλακίζοντες, παρειμένοι τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν, φερόμενοι τῇδε κἀκεῖσε, οἱ δέ τινες αὐτῶν ἔπιπτον. ἃ δρῶντες οἱ μὴ πεπωκότες φάρμακον ἡγήσαντο τὸν Ἰκάριον κεράσαι τοῖς μεθύουσι καὶ λαβόντες ἀπέκτειναν. 3. οὕτω μὲν ἠμείψατο τὸν πρῶτον ἡ ἄμπελος φυτουργόν, ἔχει δὲ οὐδὲ κάλλος οὐδὲ πάχος οὐδὲ μέγεθος οὐδὲ κλάδους ἰσχυρούς, ἃ ἔν τε φοίνιξιν ἔστιν ἰδεῖν καὶ καρύαις καὶ δρυσὶ καὶ κυπαρίττοις, οὐδὲ συντελεῖ εἰς οἰκίαν μὴ ὅτι εὐδαίμονι καὶ λαμπρῶς οἰκοδομουμένῳ, ἀλλ' οὐδὲ πένητι καὶ φαύλῳ. 4. πῶς δ' ἂν ἢ τοίχους συνδήσειεν ἢ κέραμον ἐνέγκαι ἥ γε οὐδ' αὐτῇ πρὸς τὸ ἵστασθαι ἀρκεῖ, ἀλλὰ δεῖ πολλῆς ἐπικουρίας; ὥσπερ γὰρ οἱ μεθύοντες ἄλλων ἀνέχονται χερσί, κἂν ἀποστῶσιν οἱ βοηθοῦντες, οἴδε κατέπεσον, οὕτω καὶ ἡ ἄμπελος δεῖται τῶν ὀρθωσόντων. 5. κά-

---

2 sq. cf. narr. 28 p. 51, 13 sq. Nicol. l. l. p. 343, 16 sq. Hyg. fab. 130; poet. astr. II 4 6 sq. cf. t. I 487, 17

---

1 *σπουδάσαντα Ἰκάριον* scripsi e *Ba* sed *ριον* delet., *PaB* *ἰκάριον* (*ἰκάριον Vi*) *σπουδάσαντα PLVi* edd 3 *δὴ* ante *περιήει Pa* | *πιέζων BaPaB* 4 *μὲν* om *Ba* 6 comma post *ὀφθαλμοὺς* delevi et post *γλῶτταν* inserui 7 *γλῶσσαν B* 8 *πεπωκότες* scripsi e *B Vi* *πεπτωκότες BaPaPL* edd 9 *ἰκάριον Vi* 13 *καροίαις PLVi* | *δρυσὶ* scripsi *δρυὶ* libri edd | *κυπαρίττω B* 14 *ἐς Vi* | *λαμπρῷ PaPLVi* 15 *οἰκοδομουμένου Pa* *οἰκοδομουμένη B* | *οὐδὲ* scripsi *οὐδ' ἂν* libri edd 16 *ἢ*(1)] *ἡ* edd 17 *αὐτῇ* scripsi cum Sinteni *αὑτῇ Pa* *αὐτὴ* reliqui libri edd 18 *ἐπικουρείας* edd 19 *ταῖς* ante *χερσί Vi* | *οἵδε* scripsi e *Pa* *οἱ δὲ* reliqui libri edd 20 *ὀρθωσάντων* Mor

μακας ὑποκεῖσθαι δεῖ καὶ χάρακας, μή που κατενεχθῇ. διὰ γὰρ τοῦ ἑαυτῆς σχήματος δηλοῖ τὴν τοῦ καρποῦ φύσιν. ἃ γὰρ οἶνος ἐργάζεται τοὺς πίνοντας, ταῦτα αὐτὴ πέπονθεν ὑπὸ τῆς φύσεως. καὶ προβαίνει τοῖς κλήμασιν ὅποι ἂν τύχῃ τοῖς τῶν γειτόνων ὑπ' ἀσελγείας ἐπιοῦσα. τοῦτο δὲ τὸ μῆκος ἀσθένεια γίνεται τοῦ φυτοῦ. 6. πῶς οὖν ἂν ἐρίσειε τῇ ἐλαίᾳ οὕτω μὲν καλῇ, οὕτω δὲ ἰσχυρᾷ, οὕτω δὲ μεγάλῃ καὶ ἀεὶ κομώσῃ τὸν πλεῖστον χρόνον γεγυμνωμένη τῆς κόμης; καὶ μὴν περὶ μὲν ἐκείνην βραχὺς πόνος ἢ οὐδείς, ἀλλ' ἀναμένουσι τὸν καρπὸν καθήμενοι. ἡ δέ γε ἄμπελος πολλάκις καλεῖ πρὸς ἑαυτὴν τοὺς θεραπεύσοντας καὶ πολὺς οὕτω πόνος ἐπὶ κακῷ τῶν ἀνθρώπων ἀναλοῦται. 7. τὰ γὰρ πλεῖστα τῶν ἀδικημάτων οἶνος ποιεῖ, τοὺς ἔρωτας, τὰς μοιχείας, πληγάς, ὕβρεις, προπηλακισμούς, ὑπεροψίας τῶν νόμων. καί τις ἐπάταξε τὸν πατέρα μεθυσθείς, ὁ δὲ βωμὸν ἀνέτρεψεν, ὁ δὲ ἄγαλμα κατήνεγκεν. 8. ὄχλος

1 Stagir. ep. ad Gregor. Nyss. ed. Maas. Rel. acad. Berol. 1912, 993, 5. [Lib.] ep. ad Basil. 1592 7 Nicol. l. l. p. 344, 27

1 κάμακας scripsi auctore Hemsterhusio (Cobet Coll. 304) coll schol. ad Arist. vesp. 1291. Philostr. iun. imag. 10 p. 27, 18 ed. Schenkl. κλίμακας libri edd | ὑποθεῖσθαι *Vi* | χάρακα *Ba Pa* 2 ἑαυτῆς scripsi e *BaPaB* ἑαυτοῦ *PLVi* edd | κύπου *Ba* ῥύπου *Pa* 4 πέπονθε παρὰ *B* | προβέβηκε *B* 5 κλίμασιν *PaVi* | ὅπου libri Mor corr Re | τύχοι *BPLVi* edd | τῆς *BaPaB* | ὑπὸ *BaPaB* 6 ἀσθενείᾳ Iacobs Lect 7 οὖν ἂν scripsi e *BaPaB* ἂν οὖν *PLVi* edd | ἐρίσ(ε) *Ba* ἐρίσῃς *Pa* ἐρίσῃ *B* | καλὴ et 8 ἰσχυρὰ *Pa* 8 δὴ *B* | ἀεὶ reposui e libris ut coni Re ἂν edd | ἢ ante τὸν *B* 10 ἀλλὰ *B* 11 πολλάκις inserui e *BaPaB* cum Bastio Comm. pal. (Greg. Cor. 706) om *PLVi* edd 12 οὕτω πόνος scripsi e *BaPaB* οὕτως *PL Vi* edd 13 κάματος ante ἀναλοῦται *PLVi* edd delevi | *ἀναιλοῦται *L* edd sed „*aut ἀνήλωται aut ἀντλεῖται*" Re 15 ὑπεροψίας reposui e libris ὑπεροψίαν edd 16 εἴ *BaPa* | τὸν om *BaPaB* 17 ἀνέτρεψε *Pa*

δὲ | εἰ μεθυσθείη, στάσεως ἂν ἐπιθυμήσειεν. ὁ R IV 991 *γὰρ οἶνος ἐλαύνει τὸν λογισμὸν καὶ τυραννήσας τὴν ψυχὴν ὠθεῖ τὸν ἄνθρωπον ἐπὶ τὰ δεινότατα καθάπερ πνεῦμα βίαιον.* 9. *στρατιῶται δὲ οἴνου γέμοντες εἰ συμπλακεῖεν τοῖς πολεμίοις, ῥᾷστοί εἰσι κρατηθῆναι, μᾶλλον ἢ παῖδες νήφοντες. διὰ τοῦτο ἄρα καὶ Ἕκτωρ διωθεῖται τῆς μητρὸς προσαγούσης λέγων ἐκπεσεῖσθαι τῆς δυνάμεως, εἰ μεταλάβοι τοῦ ποτοῦ.* 10. *δικαστὴς οἴνῳ χαίρων ἀπολέσειεν ἂν τοὺς κρινομένους. ἀθλητὴς ἄριστος τάχιστα δὴ γίνεται κάκιστος οἴνῳ προσκείμενος. λόγοις δὲ καὶ φιλοσοφίᾳ τί οὕτως ἐμποδὼν ὡς οἶνος; ἀνάγκη γὰρ ὕπνῳ κατειλημμένον κεῖσθαι. ὁ δὲ τοῦτον φυγὼν ἀγαθὸς ἂν ἔμπορος εἴη παιδείας.* 11. *καὶ μὴν καὶ ὑγείᾳ πολέμιος οὐκ ἐῶν οὔτε τὴν διάνοιαν οὔτε τὸ σῶμα ἐρρῶσθαι. τὸ μὲν γὰρ ποιεῖ μαλακόν, τὴν δὲ μανικήν. καὶ πολλοὶ πίνοντες ἀπὸ μέθης εἰς μανίαν προῆλθον.* 12. *εἰ μὴ ἔδεισε τὸν οἶνον ὁ Δημοσθένης, οὐκ ἂν ἐπὶ τοσοῦτον ἀφίκετο τῆς τέχνης. εἰ μὴ Λάϊος ἔπεσεν εἰς πολὺν πότον, οὐκ ἂν ἔσπειρε τὸν Οἰδίπουν. καὶ μὴν καὶ ὁ*

5 cf. t. I 171, 7   7 Il. ζ 264   18 cf. ad p. 256, 7. Nicol. l. l. p. 344, 24   19 [Apollod.] bibl. III 5, 7

6 *διὰ τοῦτον* Re *διὸ τοῦτον* Iacobs Lect   9 *κρινομένους* scripsi e *B* *ἀρχομένους* reliqui libri edd sed „*videtur aliquid de ἄρχων praecessisse ad hunc fere modum: δικαστὴς οἴνῳ χαίρων διαφθείρειεν ἂν τοὺς νόμους* (*vel τὴν δίκην*) *καὶ ἄρχων ἀπολέσειεν ἂν τοὺς ἀρχομένους*" Re   10 *κρά[κι]τιστος Vi* sed *ρ* del m[2]   12 *οἴνω Vi* | *ὑπνοῦντα* post *κεῖσθαι Vi*   13 *οὐδ' ὁ μὴ τοῦτον* Iacobs Lect | *ἂν* inserui post *ἀγαθὸς* e *B* ut post *ἔμπορος* Iacobs om reliqui libri edd   14 *σοφίας B* | *καὶ*(2) om *B* | *ὑγιείᾳ PLVi* edd   18 *ἔδησε BaPa*   20 *οἶνον B*

Κενταύρων καὶ Λαπιθῶν πόλεμος οἴνου ἔργον. ὃς καὶ Πολύφημον τὸν Κύκλωπα τηλικοῦτον ὄντα ὑπὸ μικρῶν κρατούμενον ἔδειξε. λέγεται δὲ καὶ Τροίαν οὕτως ἁλῶναι πινόντων καὶ ὀρχουμένων τῶν Τρώων.

13. *Τί οὖν φασιν οἱ θαυμάζοντες τὴν ἄμπελον καὶ πρὸ τῆς ἐλαίας αὐτὴν ἄγοντες, ὅταν φαίνηται καὶ τῶν ἀνθρώπων μὴ βλάπτειν χεῖρω βλαβερωτάτη οὖσα πάντων τῶν φυτῶν; οὐδ' ἴσον κακὸν ἐμποιεῖν ἢ παύειν. ὧν τὸ μέν ἐστιν ἀμπέλου, τὸ δὲ ἐκείνης. τοὺς γὰρ παραφρονοῦντας δι' οἶνον ἔλαιον πέφυκεν εἰς νοῦν ἐπανάγειν.*

2 cf. t. IV 1032, 19 R 3 Nicol. l. l. p. 344, 22. Il. parv. et Arctin. Iliup. apud Proclum chrest. ed. Kinkel. fr. ep. p. 37, 16 et 49, 8. [Apollod.] bibl. epit. 5, 17 ed. Wagner. 10 schol. ad Arist. nub. 1237

1 *Λαπιθῶν* scripsi *ὁ λαπιθῶν B ὁ λαπίθων BaPa λαπίθων PLVi* edd 2 *τοσοῦτον B τοιοῦτον PaVi* 3 *οὕτος Ba* 5 *καὶ* — 6 *ἄγοντες* om *B* 7 *ἀνθρώπων* scripsi ut coni Re *ἄλλων* libri edd | *βλαβερώτατον PaP* | *πασῶν Vi* 8 *τῶν* om *BaPaB* | *ἴσον* scripsi auctore Re *ὅσον* libri edd | *κακῶν Vi* 9 *ὧν*] *ὃ Vi* | *τόδ' P* edd *τὸ δ' L* 11 *ἐπανάγειν* reposui e libris ut coni Re *ἀπανάγειν* edd

X.

Συγκρίσεις.

Comparationes omnes quinque continent codices:

1. Barberinus II 61 nunc Vaticanus Barb. 240 (= Ba) saec. XIII/XIV valde lacer fol. 40ᵛ et 53ᵛ. Vide supra p. 1 sq. Contuli.

2. Parisinus gr. 2918 (= Pa) saec. XV fol. 161ᵛ et 168, qui e *Ba* nondum mutilato non sine correctionibus descriptus est. Vide supra p. 5 sq. Contuli.

3. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 34. Vide t. I p. 24 sq. et supra p. 209. Mihi contulerunt Ivo Bruns et Aeneas Piccolomini.

4. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) saec. XVI fol. 151, qui e *B* descriptus est. Vide t. I p. 326 sq.

5. Parisinus gr. 3014 (= P) saec. XIV fol. 47ᵛ. Vide t. II p. 375 sq. Adhibuit Morellus. Contuli.

6. Laurentianus LVIII 2 (= L) saec. XV fol. 115ᵛ, qui ex eodem quo *P* exemplari descriptus est. Vide supra p. 7. Contuli.

7. Vindobonensis Phil. graec. CCLIX (= Vi) saec. XV fol. 220, qui e fonte communi cum *PL* fluxit. Vide supra p. 8. Contuli.

Alterum est genus codicum eclogariorum.

Ac tres quidem comparationes *ναυτιλίας καὶ γεωργίας*, *Ἀχιλλέως καὶ Διομήδους*, *ἀγροῦ καὶ πόλεως* continet codex

8. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI fol. 56 qui duas priores ex editione Barbati, tertiam e Ferrariensi descriptas exhibet. Vide supra p. 8 sq.

Duas comparationes *Αἴαντος καὶ Ἀχιλλέως* et *Δημοσθένους καὶ Αἰσχίνου* continent codices

9. Bodleianus Miscellaneus 89 saec. XVI fol. 57^{v} e Parisino gr. 2918 descriptus. Vide supra p. 6 sq. Contuli; et

287 10. Leidensis Vossianus gr. qu. 18 chartaceus formae quartae olim Henrici Stephani, postea Is. Vossii, miscellaneus qui post varia, quae e parte recensuit Val. Rose Anacr. praef. p. IV, continet inde a folio 61 manu Stephani e codice Parisino 3014 excerpta Libanii progymnasmata, declamationes, ad Theodosium de seditione orationem, Socratis apologiam, monodiam Nicomediae atque ita quidem ut plerumque in initiis acquieverit, plenas tantum exscripserit *θέσιν εἰ γαμητέον* (fol. 67), *ἠθοποιίας· τίνας ἂν εἴποι λόγους πόρνη σωφρονήσασα* (fol. 68^{v}), *δειλὸς θεασάμενος πόλεμον ἐν τῷ οἰκείῳ γεγραμμένον, δειλὸς φιλάργυρος εὑρὼν χρύσεον ξίφος* (fol. 69), *ἡ νιόβη κειμένων τῶν παίδων, τὸ αὐτό* (fol. 69^{v}), *σύγκρισιν δημοσθένους καὶ αἰσχίνου* (fol. 70), *αἴαντος καὶ ἀχιλλέως* (fol. 71). Sequuntur alia. Folia 107—130 sunt pars codicis chartacei saeculi XV, quibus continentur excerpta e Demosthenis contra Philippum oratione prima, Philostrati imaginibus[1]), Callistrati ecphrasibus, Libanii ecphrasibus (inc. fol. 112 *κατὰ τὰ ὑπάρχοντα* = t. IV 1046, 2 R), Synesii, aliorum. Examinavi atque e parte contuli.

Συγκρίσεις ἀγροῦ καὶ πόλεως et *ναυτιλίας καὶ γεωργίας* continent codices

11. Vaticanus gr. 113 (V) saec. XV fol. 99^{v} et 193. Vide t. I. p. 338 sq. Contuli; et

12. Escurialensis Φ-III-19 (235 in catalogo Milleriano) saec. XVI fol. 63. Prope a *B* stat. Vide t. IV p. 325 sq.

Comparationem continet *Δημοσθένους καὶ Αἰσχίνου* codex

1) Kayser, Philostr. ed. Tur. imag. praef. p. VII.

13. Oxoniensis collegii Lincolniensis 25 saec. XV fol. 33^{v}. Vide t. I p. 378 sq. et supra p. 9;
ναυτιλίας καὶ γεωργίας codex

14. Vaticanus gr. 953 chartaceus formae octavae ma- 288
ioris saec. XV miscellaneus qui post *μαξίμου τοῦ πλανούδη χειμῶνος ἐγκώμιον* (fol. 1) et Libanii epistulas (fol. 34) praebet inde a folio 71 comparationem inscriptam *τοῦ αὐτοῦ λιβανίου σύγκρισις ναυτιλίας καὶ γεωργίας*

72 *τοῦ αὐτοῦ τίνας ἂν εἴποι λόγους ἀνδρομάχη ἐπὶ ἕκτορι* (IV 1011 R). Inspexi.

Σύκρισιν ἀγροῦ καὶ πόλεως Georgius Lacapenus in suam operum Libanianorum eclogam recepit, quam praeter Vaticanum 113 et Escurialensem T-II-9 quos supra commemoravi repraesentant codices

15. Marcianus Appendicis XCI 2 class. VIII cod. IX (= I) saec. XIV fol. 354. Vide t. I p. 217. Contuli.

16. Marcianus gr. 441 (= Mar) saec. XIV fol. 202^{v}. Vide supra p. 13. Contuli.

17. Parisinus gr. 3016 (= Par) saec. XV fol. 206. Vide t. I p. 53 sq. Contuli.

18. Neapolitanus II E 17 (CLII in catalogo Cyrilli) saec. XIV fol. 298^{v}. Vide t. I p. 211.

19. Vaticanus gr. 2243 saec. XIV fol. 12. Vide t. I p. 281.

20. Neapolitanus II E 19 (CLIV in catalogo Cyrilli) saec. XV fol. 7. Vide t. I p. 331.

21. Parisinus gr. 2577 A saec. XV fol. 107. Vide t. I p. 334.

22. Vaticanus gr. 1704 saec. XVI fol. 142. Vide t. I p. 337.

23. Marcianus Appendicis XCII 7 saec. XV fol. 175^{v}. Vide t. I p. 338.

24. Vaticanus gr. 1588 saec. XV fol. 211. Vide t. I p. 339 sq.

25. Mutinensis gr. LV (III B 3) saec. XIV fol. 89. Vide t. I p. 341 sq.

26. Bodleianus Baroccianus gr. LXVIII saec. XV fol. 110ᵛ. Vide t. I p. 342 sq.

27. Vaticanus gr. 937 saec. XV fol. 189. Vide t. I p. 329 sq.

28. Parisinus gr. 2209 saec. XV fol. 201. Vide t. I p. 344.

29. Bodleianus Laudianus gr. 16 saec. XV fol. 227ᵛ. Vide t. I p. 346.

30. Mosquensis bibliothecae synodalis 489 saec. XV fol. 252ᵛ. Vide t. V p. 180 sq.

31. Parisinus gr. 2801 saec. XV fol. 142. Vide t. VI p. 503.

32. Vaticanus gr. 481 saec. XV fol. 61. Vide t. I p. 369 sq.

33. Vaticanus Palatinus gr. 209 saec. XIV/XV fol. 91ᵛ. Vide t. I p. 370.

34. Codex Antonii Augustini qui hodie iam non exstare videtur. Vide t. I p. 347 sq.

De sex codicibus quos in censum vocandos esse duxi *BaPaBPLVi* ad ea te delego quae p. 15 dixi.

In comparatione *ναυτιλίας καὶ γεωργίας* etiam codex eclogarius Vaticanus 113 (V), in comparatione *ἀγροῦ καὶ πόλεως* praeter hunc etiam duo alii optimi recensionis Lacapenianae testes, Marcianus appendicis XCI 2 (I) et Marcianus gr. 441 (Mar) adhibendi erant. Parisinus vero gr. 3016 visus est nimis vitiis scatere quam ut eius lectionibus apparatus criticus onerari debuerit.

Σύγκρισις ἀγροῦ καὶ πόλεως primum lucem vidit editione Ferrariensi fol. 240ᵛ—242ʳ (= Ferr), quae e codice recensionis Lacapenianae, fortasse Mutinensi LV, fluxit. Secutae sunt *συγκρίσεις ναυτιλίας καὶ γεωργίας* et *Ἀχιλλέως καὶ Διομήδους* editione Barbati p. 49—53 (= Barb) e codice Vindobonensi facta, quam paucis locis correctam Camerarius p. 200—207 (= Cam) repetivit.[1] Omnes quinque *συγκρίσεις* primum complexa est editio

1) Cf. supra p. 15 sq.

Fed. Morelli Lib. op. t. I p. 123—137 (= Mor), qui fundamento quidem usus est codice Parisino gr. 3014 (P), sed in tribus illis quas modo nominavi comparationibus etiam editionem Ferrariensem et Camerarianam adhibuit. Plurima Morellianae vitia ex ingenio Reiskius correxit, sed uxor quae editionem curavit t. IV p. 992—1008 (= Re) multas emendationes in notis reliquit.

De recentiorum textus emendandi conaminibus ad ea te delego quae p. 61 dixi.

X.

α΄.

R IV 994 *Σύγκρισις Ἀχιλλέως καὶ Διομήδους.*

1. *Οὐ τὸ τῶν πολλῶν πείσομαι πάθος οὐδ' ἡγήσομαι τὸν Ἀχιλλέα βελτίω τοῦ Διομήδους, ἀλλὰ τοὐναντίον ἐκεῖνον Ἀχιλλέως, εἰ καὶ μὴ διὰ πάντων, ἀλλ' ἔν γε τοῖς πλείοσιν.*

2. *Αὐτίκα γὰρ τὸ γένος εἴ τις θαυμάζει τὸν Πηλέα καὶ τὸν Αἰακὸν σκοπῶν καὶ τὸν Δία, καὶ περὶ Διομήδους ἔχοι ἂν εἰπεῖν ὅτι καὶ αὐτὸς σπέρμα θεῖον ἦν. Θετταλίαν δὲ εἰ πάνυ τις θαυμάζει, τῇ Πελοποννήσῳ γε καὶ ἄκων εἴξει.* 3. *αὐξηθείσης τοίνυν τῆς παιδείας ἴσης ἀμφοτέροις οἵους εἰκὸς γενέσθαι τοὺς ἄνδρας ἀπὸ τῶν ἔργων σκοπήσωμεν.* 4. *οὐκοῦν ἐκάλει μὲν ὁ Τρωικὸς πόλεμος τοὺς ἀρίστους δο-*
R IV 995 *κιμάζων στρατιώτου εὐψυχίαν,* | *ὁ δὲ γενναῖος*

12 cf. p. 217, 15; 236, 8

3 *τὸ* om *Pa* Mor Re | *τῶν* om *Vi* Barb Cam 6 *πλείοσι Vi* 7 *γὰρ* inserui e *B* om reliqui libri edd 8 *καὶ* (3) om *B* 10 *τίς PaP* | *θαυμάζοι Vi* | *καὶ* ante *πελοποννήσῳ B* | *πελοπονήσῳ Pa* edd 11 *γε* om *BaPaB* | *ἥξει B* | *αὐξηθεῖσι* coni Re 12 *ἀμφοτέροις γενομένης* coni Re | *καὶ* ante *ἀμφοτέροις Vi* Barb Cam | *εἰκὸς* inserui auctore Re om libri edd 13 *ἐξετάσωμεν B* 15 *στρατιώτου* scripsi e *B* cum Bastio Comm. pal. (Greg. Cor.) 758 *στρατιώτ* cum 2 litt delet. *Ba* *στρατιῶ*$^{\tau}$ *PaP* *στρατιώτῃ L* *στρατιώτας Vi* edd sed „*fort. στρατιώτου aut στρατιω-*

Ἀχιλλεὺς εἰπὼν χαίρειν ὅπλοις καὶ τῇ δόξῃ τοῦ πατρὸς εἰς Σκῦρον καταφεύγει καὶ εἰς παρθενῶνα κατέδυ καὶ τὴν φύσιν ἔκρυψε τῷ σχήματι κόρη δοκεῖν εἶναι βουλόμενος ἢ παρατάξασθαι. 5. Διομήδης δὲ οὐ μόνον αὐτὸς ὑπήκουε τῷ καιρῷ, ἀλλὰ καὶ τοὺς ἀργῶς διακειμένους ἐκίνει καὶ πρῶτον τοῦτον αὐτὸν παρὰ τοῦ Χείρωνος ἐπὶ τὰς παρθένους δραμόντα. πῶς οὖν τοῦ πρὸς τὸν πόλεμον ἕλκοντος ὁ τοῦτο πάσχων ἀνδρειότερος ἂν εἴη; 6. ὡς τοίνυν ἧκον εἰς Ἴλιον, φοβηθέντων εὐθὺς τῶν πολεμίων ἐθαυμάζετο μὲν οὗτος, ἐπῃνεῖτο δὲ ἐκεῖνος τῶν ὑπ' Ἀχιλλέως πραττομένων ἀνιούσης ἐπὶ τὸν Διομήδην τῆς εὐδοξίας, δι' ὃν ἐκεῖνος ἐκοινώνησε τῶν ἀγώνων. 7. χρόνου δὲ πολλοῦ διελθόντος καὶ τοῦ στρατοπέδου νοσοῦντος σκοπείτω τις τὴν ἀπόνοιαν καὶ τὴν ἀπαιδευσίαν τῶν ἠθῶν Ἀχιλλέως. πρῶτον μὲν τοίνυν εἰς ἐκκλησίαν συνῆγε παρώσας τὸν βασιλέα καὶ τοὺς περὶ ταῦτα νόμους ἐτάραξεν. ἔπειτα ὕβρισεν οὕτως ἀσελγῶς τὸν Ἀγαμέμνονα φειδόμενος

2 cf. p. 218, 6; 245, 16; 284, 8 6 cf. ad p. 218, 13 16 cf. p. 340, 19

τικήν" Re στρατείᾳ Iacobs Lect 173 | ⟨τὴν⟩ εὐψυχίαν coni Iacobs | εὐτυχίαν BaPa

1 ἀχιλλέως P | εἰπὼν scripsi e Ba sed ει del., PaB πολλὰ φράσας PLVi edd | χαίρειν om PLVi Barb inser Cam 2 σκύρον BaPaB κῦρον PL 6 αὐτὸν om Mor sed γρ in marg, Re sed τὸν scribendum coni | χείρονος PL 7 δραμόντας PL | πᾶς L | τοῦ πρὸς τὸν πόλεμον ἕλκοντος ὁ τοῦτο πάσχων ἀνδρειότερος ἂν εἴη; scripsi e BaPaB τοῦ πρὸς τὸν πόλεμον ὁ τοῦτο πάσχων ἂν εἴη; PLVi Barb τούτου κρείσσων πρὸς τὸν πόλεμον ὁ τοῦτο πάσχων ἂν εἴη; Cam Mor Re qui τοῦ τοῦτο ποιοῦντος κρείσσων coni 9 τὴν ante ἴλιον PLVi edd delevi

12 διομή^{δ} BaPa διομήδη edd | ὧν PaVi Barb Cam Mor 14 σκοποῖτο Pa | τίς PaPL 15 τοῦ ante ἀχιλλέως PLVi edd delevi

οὐδενὸς ῥήματος ὡς οὐδεὶς ἂν ἄρχων τὸν αὑτοῦ στρατιώτην. τελευταῖον δὲ καὶ ξίφος ἐγύμνωσεν ἐπ' αὐτόν, καὶ εἰ μὴ θεῶν τις ἐκώλυσεν, οὐδὲν ἂν ἦν ἐμποδὼν πάντα ἐκεῖνα μάτην τοῖς Ἕλλησι πεπονῆσθαι. καὶ ταῦτα ἔπραττεν αἰχμαλώτου μιᾶς ἐρῶν, ἣν ὁρῶν ἀγομένην ἐδάκρυεν. οὕτως ἐδούλευε ταῖς ἡδοναῖς. 8. ἀλλ' οὐ Διομήδης ἐθαύμασεν αἰχμαλώτου κάλλος, ἀλλ' ὁμοίως ἀπεῖχεν ἡδονῆς πονηρᾶς καὶ θυμοῦ τὸ μέτρον ἐκβαίνοντος. καὶ ταῦτα ὅστις οἶδεν Ὅμηρον ἱκανῶς ἐξεπίσταται. ὁ γὰρ Ἄρης ὁ παρ' αὐτοῦ τιτρωσκόμενος καὶ ἡ
R IV 996 τὸ αὐτὸ πάσχουσα Ἀφροδίτη | μαρτυροῦσι κρεῖττον ἢ οἱ πληγέντες σιδήρῳ.

9. Πόθεν τοίνυν Ἀχιλλεὺς βελτίων Διομήδους; οὐχ ὁ μὲν ἡσύχαζεν, ὁ δὲ παρετάττετο; οὐχ ὁ μὲν ὠργίζετο, ὁ δὲ ἤλαυνε τοὺς πολεμίους; οὐχ ὁ μὲν ᾖδε πρὸς λύραν, ὁ δὲ πρὸς οἰμωγὰς τοὺς ἐναντίους καθίστη; 10. καὶ ταῦτα ἔπραττε Διομήδης τῆς Τύχης ἐπὶ τοὺς ἐναντίους μεθεστηκυίας καὶ τοῦ Διὸς τοῖς ἄνωθεν βέλεσι συναγωνιζομένου τοῖς Τρωσί. δεῖ δὲ τὴν ἀνδρείαν δοκιμάζειν οὐκ ἐν ταῖς εὐπραξίαις, ἀλλ' ἐν ταῖς

6 Il. α 349 8 Chor. Priam. Herm. XVII 236, 23
10 sq. cf. p. 221, 4 sq. 18 cf. p. 222, 2 sq.

1 ἑαυτοῦ *PaB* αὑτοῦ *PL* 3 τὶς *PaP* | ἂν om *BaPaB PL* 4 μάτην τοῖς Ἕλλησι reposui e libris τοῖς Ἕλλησι μάτην edd 6 ἐδούλευσε Re 9 εἶδεν *BPL* | ἐπίσταται *B* 10 ἄστου *B* 11 κρεῖττον scripsi e *BaPL* κρείττον *Vi* κρείττω *Pa* κρείττον' *B* edd κρείττονα γυναικῶν καὶ θυμοῦ Iacobs Lect 12 οἱ πληγέντες scripsi e *B* πληγέντες *BaPa* πλῆ' *P* πληγέντι *L* πληγῆναι *Vi* edd | „*fort.* σιδήρῳ ἢ καὶ ἡδονῇ" Re 14 ὠργίσατο Mor Re 16 λύρας *LVi* Barb Cam 18 ἄνωθεν reposui e libris coll p. 222, 4 ἄνω edd sed γρ ἄνωθεν in marg Mor et „*praefero* ἄνωθεν *cum margine Mor*" Re 19 ἀνδρίαν *B* edd

ἀκαιρίαις. ἐν μὲν γὰρ ἐκείναις καὶ τοὺς φαυλοτέρους ὁρῶμεν εὐδοκιμοῦντας, ἐν δὲ ταύταις τοὺς τῶν ἄλλων διαφέροντας ἀντέχοντας. 11. *εἰκότως ἄρα τῶν πρεσβευόντων ὡς ἐκεῖνον ἀπράκτων ἐπανελθόντων ἐπιτιμᾷ τῷ πεπομφότι. τὸ δὲ νυκτερινὸν ἔργον πότ' ἂν Ἀχιλλεὺς ὑπέμεινεν; ᾧ τοσοῦτον ἴσχυσεν ὥστε πεπτωκὸς τὸ φρόνημα τῶν Ἑλλήνων ἐπέρρωσε ταῖς τῶν ἐναντίων σφαγαῖς.* 12. *καὶ τί δεῖ τὰ πολλὰ λέγειν; οἱ γὰρ πολέμιοι πάλαι τὴν ψῆφον ἐνηνόχασιν. ὅταν γὰρ λέγωσιν· οὐδ' Ἀχιλλέα ποτὲ οὕτως ἐδείσαμεν, τότε διδάσκουσιν ἅπαντας ὡς οὐ δεῖ φιλονικεῖν οὐδ' εἰς ἴσον ἄγειν τῷ Διομήδει τὸν πολὺ λειπόμενον. κριταὶ γὰρ ἀκριβεῖς τῆς παρὰ τοῖς Ἕλλησιν ἀρετῆς οἱ πολέμιοι παρ' αὐτῶν ὧν ἔπαθον μεμαθηκότες τίς ἀμείνων καὶ τίς δεύτερος.*

13. *Εἶτά μοι τὸν Ἕκτορα λέγεις ὡς ἀπέθανεν ὑπ' Ἀχιλλέως, τὸ δὲ πῶς ὑπερβαίνεις. οἶσθα γὰρ ὡς, εἴ τις προσθείη τῆς νίκης τὸν τρόπον, ἑτέρου μὲν φανεῖται τὸ ἔργον, ἑτέρου δὲ ἡ δόξα. τοῦτον δὲ τὸν Ἕκτορα*

---

4 Il. ι 696 sq. 7 Il. κ 565 8 Dem. Zenoth. p. 886, 28 9 Il. ζ 99

---

4 *ὡς* om *BaPa* *εἰς B* | *ἐκείνων PaPLVi* Barb | *ἀπανελθόντων* Mor Re *ἀπανιόντων B* | *ἐπιτιμᾷ* scripsi e *L* *ἐπιτιμᾶν Ba PaB* *ἐπιτιμῶ PVi* Barb *ἐπετίμα* Cam Mor Re 5 *ὅπλον B* 6 „*fort. ἐν ᾧ*" Re „*mallem* δ" Iacobs Lect | *ἴσχυεν* Mor Re qui *ἴσχυσεν* coni | *πεπτωκὼς PL* 7 *ἠπτέρωσε B* 8 *δεῖται BaPa* 9 *οὐδὲ PLVi* edd 10 *ἐδεδοίκαμεν B* 11 *ἅπαντας* om *B* | *φιλονεικεῖν PaBaPL* Mor 12 *τῷ διομήδει* om *B* *διομή* δ *PaP* *διομήδη LVi* 13 *παρὰ* scripsi e *BaPaBL* ut coni Re *περὶ PVi* edd 16 *μέντοι B* 19 *ἑτέρου* scripsi e *BaPaB* *ἑτέροις PLVi* edd sed „*num ἑτέρου aut ἑτέρων?*" Re | *δ' BaPa* | *τοῦτον* reposui e libris ut coni Re *τοῦτο* edd *πρὸς τούτῳ* (*praeterea*) Iacobs Lect | *τὸν* inserui e *BaPaB* om *PLVi* edd

πολὺ μὲν πρότερον Αἴας Ἀχιλλέως κατέβαλεν ἐν τῇ R IV 997 μονομαχίᾳ. ταὐτὸ δ' ἂν ἐπεποιήκει Διομήδης, | εἴπερ ἦν λαχών. σημεῖον δέ, καὶ τοῦτον ηὔξατο τὸ στρατόπεδον τῶν λαγχανόντων εἶναι τῇ τῆς νίκης ἐλπίδι πρὸς τὴν εὐχὴν ἀγόμενοι. 14. εἶθ' ὁ μὲν εὐθὺς αὐτὰ κατῄσχυνε τὰ πεπραγμένα Πολυξένης ἐρῶν, πρὸς τοὺς ἐχθροὺς σπενδόμενος, τοὺς οἰκείους προδιδούς. ὁ δὲ ἐξῆλθε μέχρι τοῦ τέλους τηρῶν τὴν τάξιν τῆς εὐνοίας, δι' ἣν ἦλθε μὲν εἰς μέσην τὴν τῶν ἐναντίων πόλιν, ἐγύμνωσε δὲ τοῦ μόνου φυλακτηρίου τὸ Ἴλιον. 15. εἰ οὖν ὑπὲρ μὲν τοῦ τὴν πόλιν ἑλεῖν ὁ πᾶς συνειστήκει πόλεμος, τοῦτο δὲ διὰ τὴν Διομήδους τόλμαν πέπρακται, πῶς οὐ μικρὰ πάντα τὰ τῶν ἄλλων πρὸς τὰ τοῦδε τῶν τόσους καὶ τόσους ἀποκτεινάντων;

16. Ἔτι τοίνυν ὁ μὲν αἰσχρῶς ἀποθνήσκει παρὰ τοῦ δειλοτάτου καὶ τοξότου Πάριδος, ὁ δὲ τό τε ἄστυ τῶν δυσμενῶν ἐπολιόρκησε καὶ μετ' εὐκλείας ἀπέπλευσε καὶ τῆς οἴκοι ταραχῆς καταγνοὺς οἰκιστὴς ἑτέρωθι γίνεται, καὶ τῆς ἀθανασίας ἧς ὁ Τυδεὺς ἔτυχε μικροῦ, ταύτης ἀπήλαυσε Διομήδης.

---

1 Il. η 271 3 Il. η 179 6 cf. p. 289, 22 10 cf. ad p. 224, 18. Verg. A. II 164 14 cf. t. VII 52, 9 18 Serv. Aen. VIII 9. XI 269. schol. Lyc. 592 19 cf. narr. 9 p. 40, 6 20 Pind. Nem. X 7 cum schol.

---

1 τῇ μονομαχίᾳ scripsi e *BaPaBL* τ῀ μονομα^χ *P* τῷ μονομαχεῖν *Vi* edd 2 ταυτὸν *BaPa* 5 εἶδε Re ἔτι δὲ Sintenis 6 αὐτὰ scripsi e *Ba* sed υ delet., *PaB* αὐτὸν *PVi* αὐτὸν *L* edd sed καὶ ante τὰ inserendum coni Re αὐτοῦ coni Iacobs Lect 8 τοῦ om *B* | ἐννοίας *PLVi* Barb corr Cam 10 τὴν *BaPaPLVi* 11 μὲν om *B* 12 τόλμην *Vi* edd 13 μικρῶς *Ba* | πάντα] τά *Ba* τάδε *Pa* | πάντων ante τῶν *B* | ἄλλων om *P* 14 ἀποκτεινάντων scripsi e *BaPaB* ἀποκτενόντων *PLVi* edd 18 ἑτέρωθεν *PL* 19 γίγνεται *Vi* edd | οὐκ ante ἔτυχε Cam Mor Re delevi 20 μικροῦ om *B* | ἀπέλαυσε Re cf. ad p. 293, 16

β΄.

Σύγκρισις Αἴαντος καὶ Ἀχιλλέως. R IV 997

1. Ἀλλ' εἰ καὶ παράδοξον ἐνίοις φανεῖται τὸ πανταχοῦ δεύτερον παρ' ἐμοὶ κεκρίσθαι τὸν Ἀχιλλέα τῆς Αἴαντος ἀρετῆς, ὅμως οὐκ ὀκνήσω δεῖξαι τοῦθ' οὕτως ἔχον πρὸ τῆς φήμης τὴν ἀλήθειαν ποιούμενος.

2. Τὰ μὲν γὰρ δὴ τῆς εὐγενείας αὐτῶν ἴσα, Πηλεὺς γὰρ καὶ Τελαμὼν Αἰακοῦ παῖδες, ἐκεῖνος δὲ Διός, καὶ τῷ Τροίαν συνεξελεῖν Ἡρακλεῖ τὸν Τελαμῶνα τὴν ἐπὶ Κενταύρους στρατείαν ἔχοι τις ⟨ἂν⟩ ἀντιθεῖναι Πηλέως, ἀλλ' οὐκ ἔτι τὸ ἴσον ἐν ταῖς πατρίσι σώζεται. ποῦ γὰρ ἴσον Θετταλία, τὸ τῆς Ἑλλάδος | R IV 998 ἔσχατον, καὶ Σαλαμίς, ἢ μικροῦ μέρος τῆς Ἀττικῆς;

3. Καινόν τις ἡγεῖται τραφῆναι μυελοῖς λεόντων τὸν Ἀχιλλέα. πρὸς τοῦτον ἐρῶ νομιμωτέραν τροφὴν τοῦ Αἴαντος. ὅστις οὖν ἄνθρωπος ὢν ὡς ἀνθρώπῳ προσήκει τέθραπται, βελτίων ἐστὶν ἐκείνου κατ' αὐτὸ τοῦτο τοῦ τραφέντος ἔξω τῶν νόμων.

4. Ἀλλ' ὁ Τρωικὸς πόλεμος βελτίω τὸν Ἀχιλλέα δείκνυσιν. εἶτα τὸ κρύπτεσθαι μετὰ παρθένων

3 sq. cf. p. 324, 14 sq. 6 Alc. fr. 48. Soph. Ai. 1340 7 cf. p. 236, 2 14 cf. p. 236, 5 20 cf. p. 284, 8 sq.

3 πανταχῇ *B* 6 ἔχω *Ba* 7 δὴ om *B* | εὐγενείας αὐτῶν scripsi αὐτῶν εὐγενείας libri edd 9 τῷ scripsi e *Ba PaB* ut coni Re τὸ *PLVi* edd | τροία συνεξελθεῖν *BaPa B* 10 κενταύρου *BaPa* | ἔχει *BaPaB* | ἂν inserui cum Sinteni om libri edd 11 οὐκέτι *PaPL* 13 Σαλαμίς reposui e libris Σαλαμῖν edd | ἢ μικροῦ scripsi e *L* sed ἢ μικρὸν in
ἢ μικρὸν
marg, *Vi* ut coni Re ἡ μικροῦ *P* ἢ (ἢ *Pa*) μικρὸν *BaPaB* edd sed ἴσ. οὐ μικρὸν in marg Mor | μέρους *L* 14 Καινόν τις scripsi καινὸν τίς libri edd 15 νομιμώτερον *PaPVi* νομιμωτέρα *L* 17 προσήκοι *Ba* | βέλτιστος *P* sed βελτίων in marg man rec βέλτιστον *L* sed βελτίων in marg | ἐκεῖνο *B* 20 τὸ scripsi e *BaBVi* ut coni Re τοῦ *PaPL* edd

ἄμεινον τοῦ τοῖς πολεμίοις ἐμπίπτειν; τίς γὰρ οὐκ οἶδεν ὡς ὑβρισμένης τῆς Ἑλλάδος διὰ τῶν εἰς τὸν Μενέλαον ἀδικημάτων καὶ τοῦ καιροῦ καλοῦντος τοὺς δυναμένους ἀγανακτεῖν ὑπὲρ τῶν τοιούτων κακῶν Αἴας μὲν καθεῖλκε τὰς ναῦς καὶ ἐνέβαινε καὶ ἦν ἐν πρώτοις καὶ τοὺς ἠδικηκότας ἔσπευδεν ἰδεῖν, ὁ δὲ θαυμαστὸς Ἀχιλλεὺς εἰς Σκῦρον ἔρχεται καὶ ταῖς Λυκομήδους ἀναμίγνυται θυγατράσιν ὡς δὴ καὶ αὐτὸς ὢν κόρη καὶ τὰ τῶν ἀνδρῶν φυγὼν τὰ τῶν γυναικῶν ἐπλάττετο; 5. *ἀλλ' ἐπειδή ποτε μετέσχε καὶ τῶν πραγμάτων, τὸ δὲ* ὅπως *ἀφήσω, τί λαμπρότερον Αἴαντος ἐπεδείξατο; τελευταῖος ἐσκηνώσατο δι' ἀνδρείαν. καὶ γὰρ Αἴας ἐπὶ θάτερα τελευταῖος ἀπὸ τῆς αὐτῆς αἰτίας. ἐληΐζετο τοὺς περιοίκους ἐκεῖνος, ὁ δὲ καὶ τοὺς πλεῖστον ἀπέχοντας.* 6. *καὶ τοσαῦτα τὴν στρατιὰν ὠφελῶν* οὐδέποτε *ἐπήρθη πρὸς ὕβριν,* ὃ *ποιῶν Ἀχιλλεὺς διετέλει κινῶν τὴν τάξιν, τὰ μὴ προσήκοντα συγχέων, ἑκὼν ἀγνοῶν ἃ τοῖς βασιλεῦσιν ὀφείλεται* 7. *ἐκεῖνος ἦν ὁ συνάγων εἰς ἐκκλησίαν παρώσας τὸν Ἀγαμέμνονα καὶ τοὺς ἰδιώτας ἐπαίρων αὐτοῦ καταφρονεῖν καὶ μετὰ ταῦτα διαρρήδην ὑβρίζων ἐν μέσοις τοῖς Ἕλλησι καὶ τὸ ξίφος ἕλκων ἐπὶ τὸν κρατοῦντα καὶ τὸ τελευταῖον προδιδοὺς τοὺς ὁμοφύλους καὶ κατευχόμενος τῶν Ἀχαι-*

7 cf. p. 237, 5 12 sq. Dict. II 12 14 cf. p. 238, 18 15 Dict. II 18 19 cf. p. 335, 16 23 Il. α 409

1 *ἐμπίπτειν* in lac 4—5 litt om *B* *ἐπιπίπτειν BaPa* cf. p. 294, 4 3 *μενέλεων BaB* 6 *καὶ τοὺς* — 9 *κόρη* om *B* 7 *Ἀχιλλεὺς* om *BaPa* | *κῦρον PL* *κύρον Pa* 8 *παρθένοις Vi* 9 *καὶ*] *ὁ δὲ B* 12 *ἐσκηνήσατο Pa* 13 *θυγατερὰ Ba* *θυγα* (τρ̀ superscr.) *Pa* *θάτερον B* 15 *στρατείαν Pa* 16 *ὁ B* | *ποιῶν* scripsi e *BaPaB* *πολλάκις PLVi* edd 19 *οὖν B* 20 *αὐτοῦ ἐπαίρων Pa* | *μεταταῦτα PaPVi* 22 *τὸ* om *B*

ὢν καθήμενος ἐπὶ σκηνῆς καὶ τρυφῶν ἐν τοῖς Ἑλληνικοῖς κακοῖς.

8. Ὁ δὲ λέγων ὡς μετὰ μὲν ἐκείνου κρείττους ἦσαν τῶν ἐναντίων | οἱ Ἕλληνες, ἀφεστηκότος δὲ ἥττηντο, R IV 999 τὸ πᾶν ἀγνοεῖ. οὐ γὰρ Ἀχιλλεὺς ἐποίησεν ἑκάτερον, ἀλλ' ἡ Τύχη τοὺς αὐτοὺς ἰσχυροὺς ποιεῖ καὶ πάλιν ἀσθενεῖς. 9. ἐν μὲν οὖν ταῖς εὐτυχίαις Ἀχιλλεὺς ἐλαμπρύνετο, τοῦτο δέ, οἶμαι, καὶ τοῦ φαυλοτάτου ἂν ἦν στρατιώτου, τὴν δὲ Αἴαντος ἀρετὴν ἐξέφηνεν ἡ τοῦ καιροῦ δυσκολία. τοῦ γὰρ Διὸς ἀποδιδόντος τῇ Θέτιδι χάριν καὶ ποιοῦντος τὰ τῶν Τρώων μείζω μόνος Αἴας εἰς σωτηρίαν ἤρκει καὶ ναυσὶ καὶ σώμασι δύο πολέμους πολεμῶν, τὸν μὲν πρὸς τοὺς ἐναντίους, τὸν δὲ πρὸς τὴν Τύχην.

10. Τὸ δὲ μὴ τοῖς φίλοις ἐθέλειν βοηθεῖν Ἀχιλλέως ἦν, ὁ δὲ πείθων ἐπικουρεῖν Αἴας ἦν. καὶ ὁ μὲν ὠργίζετο, τουτέστιν ἐνόσει τὴν γνώμην, ὁ δ' ὅπως παύσεται τοῦ νοσήματος ἔπραττε.

11. Πάντα τοίνυν τἄλλα ἀφεὶς ἀπὸ τῶν εἰς Ἕκτορα δείξω τὸ μέσον ἀμφοῖν Ὁμήρῳ μάρτυρι χρώμενος. λέ-

---

1 Il. ι 346 sq. 10 cf. t. VI 325, 7 | cf. p. 240, 5 sq.
12 Il. η 182 sq. 16 sq. Il. ι 639 sq.

---

1 ἐν] ἐπὶ Pa 3 λέ$^{\gamma}$ Pa | ἐκείνου scripsi e BaB ut coni Re ἐκείνους Pa ἐκείνων PL Vi edd 4 ἀφεστηκότος scripsi e Ba PaB Vi ut coni Re ἀφεστηκότες P edd ἀφεστηκότα L | ἥττηνται Pa 5 ἀγνοεῖ ex ἀγνοῶν corr Ba | ἐποίει Pa | ἑκάτερα L Vi ἑκά^{τερ} P 6 ἀσθενεῖς ποιεῖ καὶ πάλιν ἰσχυροὺς B ἀσθενεῖς τε καὶ ἰσχυροὺς ποιεῖ Vi 7 ἀλλ' ante ἐν BaPa | οὖν om Pa 8 φαυλοτάτου reposui e libris φαυλοτέρου edd 11 τὴν ante χάριν Vi 17 δ' ὅπως scripsi δὲ πῶς libri edd
19 τὰ ἄλλα PaB 20 λέ$^{\gamma}$ Pa

γει γὰρ ὡς ὁ μέγας Αἴας ἐν τῇ μονομαχίᾳ κατέβαλε τὸν Πριάμου, καὶ εἰ μὴ θεῶν τις ἐκώλυσεν, ἀπέσφακτο ἂν ὁ Πριάμου, καὶ ὡς αὐτὸς ἱκέτευεν Ἕκτωρ ἀπηλλάχθαι τῆς μάχης. 12. ὁ δ' αὐτὸς οὗτος μεμνημένος τῆς Ἕκτορος τελευτῆς τὴν Ἀθηνᾶν ἔδωκεν Ἀχιλλεῖ σύμμαχον. οὐκοῦν Αἴας μὲν ἐκράτησεν Ἕκτορος θεοῦ παρόντος Ἕκτορι, τοῦ δ' αὐτοῦ πάλιν Ἀχιλλεὺς θεοῦ βλάπτοντος Ἕκτορα.

13. Ἀχιλλέα μὲν οὖν Ἀλέξανδρος ἀποκτιννύει, ἐφ' ᾧ Πρίαμος ᾐσχύνετο, τὸν δὲ Τελαμῶνος οὐδεὶς ηὐτύχησεν ἀποκτεῖναι. τὸ γὰρ δὴ ξίφος αὐτὸς μὲν ὦσεν, αὐτὸς δὲ ἐδέξατο. ταῦτ' ἐγὼ σκοπήσας πρὸς ἐμαυτὸν ἡγησάμην δοκεῖν μὲν Ἕκτορος ἀμείνω τὸν Ἀχιλλέα, εἶναι δὲ Ἀχιλλέως τὸν Αἴαντα.

γ'.

R IV 1000 Σύγκρισις Δημοσθένους καὶ Αἰσχίνου.

1. Οὔτε κάλλιον οὐδὲν Ἀθήνησι γέγονε Δημοσθένους κάκιόν τε οὐδὲν Αἰσχίνου. λέγω δὲ οὔτε μάτην

1 cf. p. 387, 14 2 Il. η 272 3 Il. η 290 5 Il. υ 438 9 sq. Herm. XVII 203 sq.
16 Suid. s. v. Καικίλιος. Nicol. prog. comp. 2 ed. Walz. Rhet. gr. I 358, 7 sq. qui Libanii comparatione usus est 17 Nicol. p. 358, 8

1 ὡς om Pa | μέγας] μὲν PaB | μονομα^χ PaP | κατέβαλλε Vi 2 τίς PaP | ἀπέσφαττεν Ba ἀπεσφάττετο Pa 3 αὐτὸς reposui e libris αὐτὸν edd 4 δὲ PLVi edd 5 ἀρετῆς Vi 7 μὴ ante παρόντος BaPaPLVi edd delevi auctore Schwabio | δὲ PL edd | θεοῦ om L 9 μὲν inserui e libris cum Sinteni om edd 10 Πρίαμος scripsi e libris sed ος parum certum in P, ut coni Re πρίαμον edd | Τελαμῶνος reposui e libris ut coni Re Τελαμῶνα edd | ηὔχησεν BaPaB
11 δὴ om BaPaB | post μὲν 2—3 litt (συν?) delet. Ba
13 μὲν δοκεῖν BaPaB 14 „fort. τὸν Ἀχιλλέα εἶναι, τοῦ δὲ Ἀχιλλέως τὸν Αἴαντα" Re
17 ἀθήνησιν Vi 18 λέ^γ Pa

ἐκείνῳ λοιδορούμενος οὔτε τούτῳ χαριζόμενος, ἀλλ' εἰς πράγματα βλέπων.

2. *Ὡς μὲν οὖν Ἀθηναῖός τε οὗτος καὶ πατρὸς ἀμέμπτου καὶ τὸν βίον ἀπὸ τῶν δικαίων ἔχοντος, οὐδεὶς* ⟨*ἂν*⟩ *ἀντείποι· τὸν δὲ Αἰσχίνην οὐκ ἔστιν εἰπεῖν Ἀθηναῖον, εἴγε δοῦλος ἦν ὁ πατὴρ ἐκείνῳ καὶ οὐ δοῦλος μόνον, ἀλλὰ καὶ πονηρὸς οἰκέτης. οὐ γὰρ ἂν ἐν πέδαις ἦν, εἰ μὴ πολλάκις εἴληπτο κακουργῶν. πᾶς οὖν εὖ φρονῶν ἐπῄνεσε τὴν μητέρα Δημοσθένους, τὴν δὲ Αἰσχίνου Γλαυκοθέαν ἐπῄνουν οἱ χρώμενοι μόνοι.* 3. *ἐκ τοιούτων δὴ γεγονότες ὁ μὲν ἐν ὀρφανίᾳ πόνων εἴχετο καὶ συνῆν παιδευταῖς ἀφ' ὧν ἦν γενέσθαι βελτίω, τὸν δὲ Αἰσχίνην ἔδει νῦν μὲν εὐτρεπίζειν τῷ πατρὶ τὸ παιδαγωγεῖον, νῦν δὲ συνεφάπτεσθαι τῇ μητρὶ τελετῶν οὐ νενομισμένων.* 4. *ἔχω λέγειν χορηγίας Δημοσθένους, εἰσφοράς, τριηραρχίας. εἴποι τις ἂν Αἰσχίνου τοὺς ὄφεις καὶ τοὺς θιάσους καὶ νεήλατα καὶ γρᾳδίων χορούς. ὁ μὲν φιλοτιμούμενος εἰς τοὺς δε-*

---

4 cf. p. 252, 1 7 cf. p. 301, 20 sq. 10 cf. t. VI 236, 12. [Plut.] vit. X or. p. 840 A. Dem. cor. p. 270, 24 13 Dem. cor. p. 313, 10 sq. 15 Nicol. l. l. p. 359, 21 sq. 16 cf. p. 252, 16. Dem. cor. p. 312, 25 17 cf. p. 302, 9 sq. Dem. cor. p. 313, 25 sq. et 314, 1

---

1 *ἐκεῖνον BaPa* | *λοιδορούμενος* scripsi e *B* coll. p. 344, 18 *λοιδορῶν BaPaPLVi* edd 2 *πράγματα* reposui e libris *πρᾶγμα* Mor *τὸ πρᾶγμα* Re 5 *ἂν* inserui cum Sinteni om libri edd 6 *ὁ* om *B* | *δοῦλος οὐ Vi* 7 *ἂν* om *BaPa* 9 *ἂν B* | *τὴν*(1) inserui e *BaPa* om *BPLVi* edd 10 *Γλαυκοθέαν* scripsi (Mus. Rhen. XXXII 90) coll ll. ll. *λευκοθέαν* libri edd | *μόνον χρώμενοι Pa* 11 *τοιούτων* scripsi e *BaPaB* *τούτων PLVi* edd | *πόνων* scripsi coll p. 252, 7 *λόγων* libri edd 14 *παιδαγωγεῖον* scripsi e *BaPaB* ut coni Re coll Dem. l. l. *παιδαγωγεῖν PLVi* edd | *τῇ μητρὶ* scripsi ut coni Re coll ll. ll. *τῷ πατρὶ* libri edd 15 *τελευτῶν BaPa* sed in hoc ε supra ευ m², *B* 16 *τὶς PaPL* 17 *καὶ*(1) om *Vi* | *τὰ* ante *νεήλατα B* 18 *γρᾳδίων* scripsi coll p. 302, 8 *τραγῳδῶν* libri edd

σμώτας τῶν φίλων καὶ τὰς ἐπὶ τῷ καλῷ δαπάνας οὐκ ἔφυγεν, ὁ δὲ περιήει τοὺς ἀγροὺς ἀπὸ τῆς φωνῆς τρεφόμενος οὐδὲ πάνυ τέρπων τοὺς θεωμένους. οὐ γὰρ ἂν ἐλάμβανε τραύματα.

5. Πῶς οὖν Ἀθηναῖος ἐνομίσθη δοῦλος ὤν; ἐνέβαλεν ἑαυτὸν εἰς τοὺς δημότας τῇ τέχνῃ καὶ γραμμα-
R IV 1001 τεὺς ὢν οὐκ ἀπείχετο τοῦ καὶ ἐνταῦθα | πονηρεύεσθαι.

6. Σκοπῶμεν τοίνυν ἐν αὐτοῖς τοῖς μεγίστοις. ταῦτα δὲ λέγω τὰ εἰς τὴν πόλιν. ὁ μὲν ὤνησε λέγων, ὁ δὲ ἐπειδὴ προσῆλθε τοῖς κοινοῖς, ἐζημίωσε. Φιλίππου γὰρ ἐπιθυμήσαντος τῆς Ἑλλάδος καὶ τοῖς μὲν ὅπλοις οὐ πάνυ προσέχοντος, διὰ δὲ τῶν πολιτευομένων ὠνουμένου τὰς πόλεις καὶ πανταχοῦ τοῦ νοσήματος ἐπελθόντος ὁ μὲν Δημοσθένης τῷ τε διδόντι καὶ τοῖς λαμβάνουσι πολεμῶν διετέλει γράφων μὲν ἐπ' ἐκεῖνον ἀποστόλους, ὑπάγων δὲ τοῖς νόμοις τοὺς παρ' ἐκείνου πλουτοῦντας, ὁ δ' Αἰσχίνης τῷ Φιλίππῳ μικρὸν λοι-

---

1 Dem. cor. p. 312, 28   2 Dem. cor. p. 314, 10 sq.   3 cf. p. 302, 13   4 cf. p. 302, 11. Dem. cor. p. 314, 15   5 cf. p. 302, 16 sq.   6 Nicol. l. l. p. 360, 9   12 cf. p. 253, 10 sq.   13 cf. p. 253, 12; 303, 5   14 Od. λ 200   15 cf. p. 253, 18 sq.   17 cf. t. VII 207, 8

---

1 κακῷ *L*   2 ἔφυγε *PaVi*   3 τέρπων scripsi e *BaPa* ut coni Re   τρέφων *B*   τρέπων *PLVi* edd   5 *Πῶς οὖν* om *B* | *ἐνέβαλλεν Ba*   7 *τοῦ* om *Vi* | *καὶ* om *BaPa* | *πονηρεύεσθαι* scripsi e *BaPaB*   *πορεύεσθαι PLVi* edd „*fort. πορνεύεσθαι aut alias leg. ἐντεῦθεν πορίζεσθαι*“ Re   *ἐμπορεύεσθαι* Iacobs Lect Not. crit. in Lib. apol. Socr. 27   9 *ἐπ' Vi*   10 *τὰ* scripsi e libris ut coni Re   *τὰς* edd | *τὴν* om *B*   11 *δὲ* delet. *Ba*   *δ' PLVi* edd   12 *τῆς* e *τὴν* corr *Pa*   *καὶ BPL* |
δ
ἀλλὰ Pa   13 *προέχοντος* coni Re | *πολιτῶν Vi*   14 *πανταχοῖ* coni Re | *ἐπελθόντος* scripsi e *BaPaB*   *ἐλθόντος PLVi* edd   16 *τῷ λαμβάνοντι Vi* | *ἐκείνων BVi*   17 *ὑπαγαγὼν Vi*

δορησάμενος εἰς τὸ πιστευθῆναι τὴν πατρίδα ἀφεὶς ἐμφανῶς μετετάξατο καὶ τοσαῦτα ἔλεγεν ὅσα Φιλίππῳ συμφέροι, πραττούσης μὲν ἄμεινον τῆς πόλεως σιωπῶν, ἐν δὲ τοῖς ἐκείνης πταίσμασιν εἰς παρρησίαν ἐρχόμενος. 7. προσήει ὁ Φίλιππος Ὀλυνθίοις. τίς οὖν ὁ συμβουλεύων, ὁ κεκραγώς, ὁ τῶν προγόνων ἀναμιμνήσκων, ὁ τὸν δῆμον ἐγείρων, ὁ τὰ τῶν ἐπὶ Θρᾴκης Χαλκιδέων διεξιών; ὁ Δημοσθένης. ἀλλ' ἐπειδὴ πρεσβεύοντες ἦλθον ὡς Φίλιππον, οὐχ ὁ μὲν ἀνήλισκεν, ὁ δὲ ἐλάμβανεν; οὐχ ⟨ὁ μὲν⟩ αἰχμαλώτοις πολίταις ἐπηνώρθου τὰς τύχας καὶ τὰ τοῦ τυραννοῦντος ξένια διωθεῖτο, τῷ δὲ ἐδόκει δέχεσθαι; οὐχ ὁ μὲν ἔφευγε τὸ δεῖπνον Ξενόφρονος, ὁ δ' ἠσχημόνει μεθύων | Φρύνωνα R IV 1002 μιμούμενος καὶ Φρύνωνι χαίρων, ὃς διὰ τοῦ παιδὸς ἐχαρίζετο Φιλίππῳ; 8. τίς ἦν ὁ γράφων σπεύδειν ἐπὶ Θρᾴκην καὶ μὴ διδόναι Φιλίππῳ πρὸ τῶν ὅρκων ἁρ-

5 cf. p. 254, 1   9 cf. p. 254, 6   10 Dem. fals. leg. p. 412, 27   11 cf. p. 254, 8   13 Dem. fals. leg. p. 402, 15 sq.   14 Dem. fals. leg. p. 412, 24   15 cf. p. 254, 9   16 Dem. fals. leg. p. 390, 2 sq.

2 *Φιλίππῳ* reposui e libris sed *πφ* delet. *P*, ut coni Re *φιλίᾳ* edd   3 *συμφέροι* scripsi e *B* *συμφέρει* reliqui libri edd sed „*imo vero συμφέροι aut συμφέρῃ*" Re   4 *ἐκείνοις BaPa Vi* *ἐκείνου B* | *πταίσμασι L* edd   7 ὁ] *καὶ BaPa* | *ἀγείρων PLVi* Mor | *τὰ* om libri Mor inser Re | *τὸν BaPa*   9 *ἧκον BaPa* | *εἰς B*   10 *οὐχ ὁ μὲν* scripsi *οὐκ* libri edd | *αἰχμαλώτοις* scripsi e *BaPaB* *αἰχμαλώτων PLVi* edd sed „*aut αἰχμαλώτοις πολίταις aut αἰχμαλώτων πολιτῶν*" Re | *ἐπηνώρθου* scripsi e *BaPaBVi* *ἐπανόρθου PL* edd   11 *τὰ*] *κατὰ PLVi* Mor | *διωθεῖτο* scripsi e *B* *διωθεῖται BaPa* *διωθεῖ PLVi* *διώθει* edd   12 *τὸ* Mor sed *τῷ* corr Not | *δ'* Re | *οὐκ* ante *ἐδόκει Vi* | *ἔφευγε* scripsi e *PaB* *ἔφυγε BaPLVi* edd   13 *ξενόφροντος Ba* | *ὅδ'* libri edd | *Φρύνωνα* reposui (Mus. Rhen. XXXII 91) e libris sed *ωνα* delet. *P* *Φρύνην* edd   16 *πρὸ τῶν ὅρκων ἁρπάζειν* scripsi e *BaPaB* cum Weiskio Hyperb. II 42 *πρὸ* (*πρὸς L*) *τῶν ὅρων* (*ὡρῶν* Re) *καρπίζειν PL Vi* edd *πρὸ τῶν ὅρκων καρπίζειν* Cobet Coll 304

πάξειν τὰ χωρία; τίς δὲ ὁ πράττων ὅπως ἔσται Φιλίππῳ χρόνος εἰς ἁρπαγὴν τῶν χωρίων; 9. ἐν μὲν τοῦτο τοσοῦτον, τὴν πόλιν ὁ μὲν ἔβλαψεν, ὁ δὲ ἔπραττε μὴ συμβῆναι. Φωκέας δὲ ἐννοήσας, ἔθνος τοσοῦτον ἀπολωλός, πόλεις εἴκοσι καὶ δύο διεσπασμένας, τίς οὐκ ἂν στενάξειεν Ἕλλην ἀκούων τοὺς τρόπους; τοῦτο μέντοι τὸ πάθος καὶ τὴν πολλὴν ἐρημίαν Αἰσχίνης εἴργασται ῥήμασι πεπλασμένοις Θηβαίους ἀπολεῖσθαι λέγων, Φωκέων Φιλίππῳ μέλειν, οἷς πιστεύσας ὁ δῆμος εὐθὺς οὐκ ἐξήτει Φωκέας, οἳ δὲ ἀνῄρηντο. 9. ἀλλ' οὐ Δημοσθένην ἐλάνθανεν ἐξαπατῶν, ἀλλ' ἐβόα καὶ ἐμαρτύρετο καὶ σώζειν ἐπειρᾶτο τὰς πόλεις. καὶ τὸ μέγιστον, τοῦ δήμου γὰρ τοῖς κολακεύουσι προσκειμένου μᾶλλον ἢ τοῖς τὰ βέλτιστα λέγουσιν οὐδ' οὕτως ἀγανακτήσας ἐνέλιπεν ἕλκων αὐτοὺς ἀπὸ τῶν χαριζομένων ἐπὶ τὸ ποιεῖν ἃ συμφέροι. 10. δι' ἐκεῖνον

5 Dem. fals. leg. p. 379, 9 8 cf. p. 304, 3. Dem. fals. leg. p. 358, 4 14 cf. p. 254, 15 sq. 16 cf. p. 255, 2. Dem. cor. p. 252, 7

1 δ' *Pa* | χεῖρον ante φιλίππῳ *Vi* 2 χρόνος om *Vi* | τῶν om *B* 3 οὖν ante τοῦτο *Pa* | τοῦτο om *Vi* | τοσοῦτο *B* | δὲ post πόλιν *PLVi* edd delevi | „*fort.* ἔπραττε τοῦτο μὴ συμβῆναι *aut* ἔπραττε μηδὲν βλάβος συμβῆναι" Re 4 τοσοῦτον ἔθνος *B* 5 δύο] δώδεκα *Pa* | διεσπασμένας scripsi e *BaPa* διεσπαρμένας *BPLVi* edd 6 Ἕλλην ἀκούων scripsi Ἑλλήνων (om *Vi*) ἀκούων libri edd ἀκούων Ἕλλην ὢν Cobet Coll 304 8 ἀπολέσθαι *BaPa* 9 μέλειν scripsi ut coni Re μέλλειν *BaPa* μέλει *PL* edd μέλλει *Vi* in lac 15 litt om *B* 10 οὐκ ἐξήτει scripsi cum Iacobsio Lect Not. in Lib. apol. Socr. 44 ἐζήτει libri οὐ ζήτει edd sed οὐ σώζειν ἐζήτει coni Re | τοὺς Φωκέας Iacobs | ἀνῄρηνται *BaPa* 11 οὐδὲ *Pa* | δημοσθένης *B* 12 ἐμαρτυρεῖτο *Vi* 13 προκειμένου libri sed om *B*, Mor corr Re et Wernsdorf Himer. 95 14 λέγουσι *Pa* λέγουσι πειθομένου *B* 16 συμφέροι scripsi e *B* συμφέρον *BaPa* συμφέρει *PL* edd προσήκει *Vi* | δι' ἐκεῖνον ἔπλεον στόλοι ὑπὲρ scripsi μετ' ἐκεῖνον ἔπλεον ὑπὲρ ἐκείνων στόλοι libri edd κατ' ἐκεῖνον aut μετ' ἐκεῖνα ἔπλεον στόλοι ἐκείνων ὑπὲρ Περινθίων coni Re

ἔπλεον στόλοι ὑπὲρ Περινθίων, Βυζαντίων, Χερρονησιτῶν, τῆς Εὐβοίας, δι' ἐκεῖνον ἐσώζοντο μὲν οἱ κινδυνεύοντες, ἐστεφανοῦντο δὲ οἱ σώσαντες. καὶ αὐτὸς ἀνάγεσθαί τε παρῄνει καὶ ὅπως πλεύσονται τῆς πόλεως ἀξίως προὐνοεῖτο τὸν νόμον τιθεὶς τὸν ἐπανορθοῦντα τὰς περὶ τὸ ναυτικὸν ἁμαρτίας. | ἐκεῖ- R IV 1003
νος ἐφιλωμένην τὴν πόλιν συμμάχων ἐξ ἠπείρου καὶ θαλάττης ἀπέφραττε. 11. καὶ οὐκ ἐν μὲν τοῖς λόγοις ἐδείκνυ τὸ πρόθυμον ὡς οὐδείς, εἰ δ' ἔδει τι προέσθαι, φείδεσθαι μᾶλλον ᾑρεῖτο, ἀλλ' εἱστία τὴν φυλήν, ἐχορήγει Παναθηναίοις, ἐχορήγει Διονυσίοις, ἐπεδίδου τριήρεις καὶ τὸν πλοῦτον ῥεῖν ἐποίει πρός τε τὸν δῆμον κοινῇ καὶ τοὺς καθέκαστον. πολλαὶ πενήτων θυγατέρες δι' ἐκεῖνον ἔτυχον γάμων. 12. ἀντὶ δὲ

4 Dem. cor. p. 259, 20 5 cf. p. 255, 6. Dem. cor. p. 260, 9 sq. 7 cf. p. 255, 5 10 Dem. Mid. p. 565, 10 11 cf. ad p. 253, 2 12 Dem. Mid. p. 566, 11 et 13 14 Dem. cor. p. 316, 4

1 *χερονησιωτῶν Pa* sed ω(1) eras, *Vi* *χερρονησιωτῶν BPL* edd 2 *μὲν* om *B* 3 *αὐτὴν BPLVi* 4 *τε* om *B* | *πλεύσονται* scripsi *πλεύσωνται* libri edd 5 *τὸν*(1) om *B* post *τιθεὶς* ponendum coni Re | *ἐπανορθοῦντα* scripsi e *Bà* *ἐπανορθοῦντος Pa* *ἀναιροῦντα PLVi* edd om *B* 6 *ταῖς* et *ἁμαρτίαις B* | *περὶ* e *παρὰ* corr *Pa²* | *τὸ ναυτικὸν* scripsi e *BaPaB* *τῶν αὐτῶν PLVi* edd sed *τῶν ναυτῶν* coni Mor Not et Re 7 *ἐψιλωμένη Pa* *ψιλωμένην PLVi* Mor | *τῇ πόλει BaPa* | *συμμαχεῖν L* | *καὶ — 8 ἀπέφραττε* om *BaPa* 8 *θαλάσσης Vi* *ἀπέφραττε* scripsi auctore Re *ἐπέφραττε BPLVi* edd 9 *ἐδείκνυ τὸ πρόθυμον ὡς οὐδείς, εἰ δ' ἔδει* scripsi e *B* *ἐδείκνυεν οἷαν οὐδὲ δεῖ BaPaPLVi* edd sed *ἐδείκνυεν οἷον ἔδει τι προέσθαι, φείδεσθαι δὲ μᾶλλον ᾑρεῖτο* coni Mor Not *ἐδείκνυεν οἷαν ἔδει πίστιν καὶ προθυμίαν, οὗ δ' ἔδει* coni Re *ἐδείκνυ εὔνοιαν, οὗ δ' ἔδει* Iacobs Lect App. Pors. 333 | *τί B* om *Pa* 11 *παρ' ἀθηναίοις BaPaB* | *ἐχορήγει* om *BaPa* 12 *τὸν* om *Vi* | *ῥεῖν* inserui e *B* om reliqui libri edd 13 *κοινὸν* Re | *τὸν Vi* | *καθέκαστον* scripsi e *BaPa* *καθέκαστα BPLVi* edd

τούτων τί τις ἂν ἔχοι διελθεῖν Αἰσχίνου; ποίαν πρόσοδον; ποῖον νόμον; ποῖον χωρίον; ποίαν φιλοτιμίαν; ἀνδρεῖος ἦν ἐν οἷς Ἀντιφῶντι συνηγωνίζετο κατὰ μὲν τῶν τριήρων ἥκοντι, ταῖς δὲ φροντίσι τοῦ Δημοσθένους ἐξευρημένῳ, δίκαιος Ἀναξίνῳ τῷ σκοπῷ συνών. καλὴν ἀπέδωκεν Ἀθηναίοις τὴν χάριν Πύθωνι μαρτυρῶν, ᾧ τὸ στόμα ὁ Δημοσθένης ἐνέφραξε τοῖς ἐλέγχοις.

13. *Ἐγὼ δὲ καὶ τῶν ἐν Χαιρωνείᾳ κακῶν αἰτιῶμαι τὸν Αἰσχίνην. οὐκ ἂν μὲν γὰρ ἐξῆλθον εἰς Χαιρώνειαν Ἀθηναῖοι μὴ κατειλημμένης Ἐλατείας, οὐκ ἂν δὲ ἧκεν εἰς Ἐλάτειαν Φίλιππος μὴ τῶν Ἀμφικτυονικῶν εὐπορήσας ἀφορμῶν. παρ' οὗ δὲ τὰς ἀφορμὰς ἔλαβεν, Αἰσχίνης ἦν.* 14. *ἔρχεται δύναμις, ἣν ἐδέξατο μὲν Χαι-*
R IV 1004 *ρώνεια | κατὰ ψήφισμα τοῦ Δημοσθένους, ἤγετο δ' ἐπ' αὐτὴν τὴν Ἀττικὴν ὑπ' Αἰσχίνου. ὁ δὲ Θηβαίους προσλαβὼν καὶ συστήσας καὶ ταῦτα μεμερισμένους καὶ τοῖς ἀττικίζουσι τοὺς τὰ Φιλίππου φρονοῦντας ἀφομοιώσας ἀπεκρούσατο τῆς χώρας τὴν μάχην καὶ ἐστεφανοῦτο. τῷ δ' Αἰσχίνῃ ποῖος στέφανος; τοῦ Φι-*

---

3 cf. ad p. 255, 9; 305, 1   4 Dem. cor. p. 271, 9   5 Dem. cor. p. 272, 27   6 cf. p. 255, 16. Dem. cor. p. 272, 25   8 cf. p. 305, 7   10 cf. p. 305, 9   12 cf. p. 305, 11 sq.   17 Dem. Theocr. p. 1334, 10

---

1 *τί* om *BaPa* | *τίς L*   3 *κατὰ* scripsi cum Iacobsio Lect Ach. T. 441 Sinteni *μετὰ* libri edd *ἐπὶ λύμῃ* vel *φθορᾷ* coni Re   5 *ἐξευρημένων* Mor *ἐξευρημένῳ δικαίως*; Re | *δίκαιος Ἀναξίνῳ* in lac fere 28 litt om *B* | *ἀναξείνῳ PLVi* Mor *ἐνὶ* (*ἐνὶ Pa*) *ξείνῳ Ba* sed *εί* delet., *Pa* | *σκόπῳ PLVi* | *ξυνὼν Vi* | punctum post *συνών* posui om libri edd   7 *ἐνέφρασεν Ba ἐνέφρασε Pa* | *τοῖς ἐλέγχοις* inserui e *Ba* sed *ῖς* delet., *PaB* om *PLVi* edd   10 *ἦλθεν Vi*   13 *ἔχεται Pa*   14 *κατὰ* delet. *Ba* *καιτὰ Pa* *καὶ τὰ B* | *ψήφισμα τοῦ* scripsi *ψηφίσματα* libri *ψήφισμα* edd   15 *δὲ BaPLVi* edd   16 *προλαβὼν B*   17 *ἀττικιοῦσι BaPaPLVi* Mor *ἀττικοῖς B* corr Re | *φρονοῦσιν Vi*

λίππου δὲ μεθεστηκότος καὶ τῆς ἀρχῆς εἰς τὸν Ἀλέξανδρον ἡκούσης ἐτήρησεν ἑκάτερος τὴν γνώμην, ὁ μὲν πολεμῶν, ὁ δὲ θεραπεύων τὸν τύραννον.

15. Εἴπω τὸ μέγιστον δεῖγμα τῆς ἀρετῆς ἐκείνου καὶ τῆς τούτου κακίας; ἐξῃτήθη παρὰ τῶν ἐχθρῶν Δημοσθένης, ὁ δὲ ἐθαυμάζετο. καὶ παρὰ τοῖς πολίταις ὁ μὲν ἐτιμᾶτο, ὁ δὲ ἐφθόνει. καὶ γραφόμενος αὐτὸν τοῦτο ἐδείκνυ τὸ φθονεῖν, ἑλεῖν δὲ οὐκ εἶχε καὶ φυγὴν ἐπέβαλεν αὐτῷ καὶ μεθειστήκει καὶ Ῥόδος εἶχεν αὐτόν. καὶ τὰ τοῦ πατρὸς μετῄει καὶ τῆς τῶν Ἀθηναίων φιλανθρωπίας εἰς τὴν κάθοδον οὐκ ἀπήλαυσε μόνος.

16. Σκόπει δὲ καὶ τὴν τοῦ Δημοσθένους τελευτήν. εἶχε γάρ τι καὶ αὕτη θαυμαστόν. ἐπειδὴ γὰρ ᾔρετο τὰ τοῦ Μακεδόνος ὥστ' ἤδη καὶ ῥήτορας ἐκεῖθεν λαμβάνειν, ᾤχετο φαρμάκῳ χρησάμενος οὐκ ἐνεγκὼν κολακεῦσαι τυράννους.

δʹ.

Σύγκρισις ναυτιλίας καὶ γεωργίας. R IV 992

1. Τερπέσθω μὲν ὅστις ἐθέλει ναυτιλίᾳ καὶ πλείτω καὶ κινδυνευέτω, ἐμοὶ δὲ γεωργίαν τε ἔπεισιν ἐπαινεῖν

7 cf. p. 305, 17 sq. 10 cf. p. 306, 8 13 cf. p. 257, 1 sq. 14 vit. Dem. ed. Westerm. p. 308, 64. Suid. s. v. Δημοσθένης

2 ἐτήρησεν scripsi auctore Re ἐστέρησεν BaPaPLVi ἔδειξεν B ἐστέρρησεν edd ἔστερξεν Sintenis | ἑκατέρου Ba ἑκατέρω Pa 5 signum interrogationis posui e B punctum reliqui libri edd | ἐξῃτήθη scripsi e L cum Cobeto Misc 141 ἐζητήθη reliqui libri edd | περὶ BaPa 6 ὁ ante δημοσθένης Vi | περὶ BaPa 7 γραφόμενον B | αὐτοῦ BaPaPLVi 8 τούτῳ B et scribendum coni Re, nisi τὸ φθονεῖν deleatur | εἶχον PL εἶχεν edd 9 αὐτῷ PaPL Mor 11 ἀπέλαυσε Re cf. ad p. 94, 13 12 τοῦ om BaPa 13 αὕτη scripsi αὐτὴ libri edd | ἐπειδὴ γὰρ om B 16 τύραννον L
18 συγκρίσεις. ante σύγκρισις LVi, ἀρχὴ τῶν συγκρίσεων Barb | πρώτη post σύγκρισις Vi 19 ὅστις ἂν ἐθέλοι B | θέλ Pa 20 τε om B | ἔπεισεν PVi

καὶ τοὺς ἐν τῷ γεωργεῖν εὐδαιμονίζειν. καὶ δῆτα ἐξεταζέσθω πρὸς ἄλληλα διὰ τοῦ λόγου. φανεῖται γὰρ μετὰ μὲν τῆς πολλὰ καὶ δεινά, γεωργία δὲ ἔχουσα πάντα τὰ βέλτιστα.

2. Παλαιότατον μὲν δὴ πρᾶγμα γεωργία καὶ ἅμα τοῖς ἀνθρώποις εἰς τὸν βίον συνεισελθόν. ἔδει γὰρ εὐθὺς μὲν γενομένους δεῖσθαι τῶν ἀπὸ γῆς τροφῶν, δεηθέντας δὲ τὴν γῆν ἐπιχειρεῖν ἐργάζεσθαι. ναυτιλίαν δὲ καὶ τὸ πλεῖν εἰσήγαγεν εἰς τὸν βίον ἡ πλεονεξία. τὸ γὰρ δὴ πλεῖν αὐτοὺς ἔρως τοῦ πλείονος ἠνάγκαζε καὶ τοῦ τολμᾶν. 3. καὶ πρῶτον ἔργα τῶν νεῶν λῃστεῖαι καὶ τὸ ἁρπάζειν τὰ ἀλλήλων. καὶ μὴν τὸ πλεῖν μὲν αὐτὸ οὐκ ἄνευ κινδύνων, πᾶν δὲ φυγῆς ἄξιον οὐ πολὺ τὸ κινδυνεύειν. τούτου δὲ ὄντος τοιούτου μεστὴ μὲν κινδύνων ἡ θάλαττα, καθαρὰ δὲ ἡ γῆ καὶ τὸ ταύτην ἐργάζεσθαι. 4. τίς μὲν φόβος ἐν τῷ ζεύξαντα τοὺς βοῦς ἀναρρῆξαι τὴν γῆν, τίς δὲ ἐν τῷ σπέρματα ἐπὶ τὴν γῆν ἀφεῖναι; οἱ πλωτῆρες δὲ ἐπειδὰν λύσαντες παραμείψωσι τῶν λιμένων τὰ στόματα, πλησίον ἔχον-

18 Synes. ep. 4 p. 159 c. Pantel. epigr. app. anthol. 58, 9

3 *ταύτης* Iacobs Lect 173 4 *βέλτιστα* scripsi e *BaPaB* *μέγιστα* *PLVi* edd 5 *δὴ* om *BaPaB* 7 *καὶ* ante *τῶν* *PVi* edd delevi 8 *δεηθέντας* scripsi e *BaPaB* cum Sinteni *δεηθέντες* *PLVi* edd 10 *τοῦ πλείονος ἠνάγκαζε* scripsi e *BaPaBPL* *ἠνάγκαζε τοῦ πλείονος* *Vi* edd 11 *τοῦ τολμᾶν* scripsi e *B* *τοῦτο τολμᾶν* *BaPa* Iacobs Lect Anth. Pal. III 458 *τοῦτο τολμᾶ* *PLVi* edd sed *ὃς καὶ τοῦτο τολμᾷ* coni Re *πρῶτον* scripsi e *BaPaBPL* *πρῶτα* *Vi* edd sed *γρ πρῶτον ἔργον* in marg Mor 12 *μὴν* scripsi e *BaPaB* *νῦν* *PLVi* edd *τὸ πλεῖν* scripsi *πᾶν* libri edd delendum censuit Iacobs Lect 13 *τῶν* ante *κινδύνων* *PLVi* edd delevi *πολλῶν* vel *πλείστων* coni Iacobs 15 *θάλασσα* *B* 16 *φόβος* om *B* | *ζεύξαντι* libri Barb Cam Mor corr Re | *τοὺς βοῦς* scripsi e *BaPaB* *τὰς βοῦς* *PL* Mor Re *τὴν γῆν* *Vi* Barb om Cam 17 *σπέρματι* *BaPa* | *εἰς*? 18 *ἐπειδὴ* Re

τες τὸν θάνατον πλέουσιν εἰς λεπτὴν ὁρῶντες σωτηρίας ἐλπίδα τὰ ξύλα ἐφ' ὧν φέρονται.

5. *Καὶ μὴν θεαμάτων μὲν ἥδιστον ἀγρός, ἄμπελοι, τὸ τῆς Ἀθηνᾶς δῶρον, καρποί, φυτά, λήϊα, πικρότατον δὲ ἡ θάλαττα κυκωμένη ταῖς τῶν ἀνέμων προσβολαῖς κύματά τε κυρτούμενα καὶ ἀφρὸς φοβερός. ὥστε καὶ εἴ τις ἐκ τούτων διεσώθη, διὰ πάσης ἀηδίας ἀφικόμενος σέσωσται.*

6. *Ἔτι τοίνυν δικαιοσύνη μὲν κάλλιστον, ἀδικία δὲ κάκιστον. ποιεῖ* | (R IV 993) *δὲ γεωργία μὲν δικαίους, ναυτιλία δὲ ἀδίκους. ὁ μὲν γὰρ γεωργὸς σπείρας καὶ εὐξάμενος τοῖς θεοῖς ἀναμένει τοὺς καρποὺς καὶ δέχεται τὰς ἀμοιβὰς παρὰ τῆς γῆς λυπήσας οὐδένα οὐδέν.* 7. *τοῖς δέ γε ἐμπόροις ἐν ταῖς ἐπιορκίαις τὰ ὄντα αὔξεται καὶ ἡ τέχνη πρὸς τὸ πλουτεῖν τὸ καταφρονεῖν τῶν θεῶν, καὶ ἐπὶ πᾶσαν πόλιν πλέουσι τοῦτο τὸ κακὸν ἐργαζόμενοι, ψευδόμενοι, παράγοντες, παρακρουόμενοι. καὶ ὅστις ἄριστα οἶδε τοῦτο ποιεῖν, οὗτος εὐπορώτατος ἄπεισιν.*

---

4 cf. p. 265, 12; 262, 4   10 sq. Nicol. comp. 5 ed. Walz. Rhet. gr. I 365, 22 sq. qui hac comparatione etiam in sequentibus usus est

---

1 *πλέουσι BaPaPLVi* edd | *εἰς* — 2 *ἐλπίδα* scripsi e *BaPaB* *πλέουσι λεπτὴν ἔχοντες εἰς σωτηρίαν ἐλπίδα* (om *Vi*) *PL Vi* edd | *λεπτὴν* — *σωτηρίαν* ad versum comoediae Atticae *λεπτὴν ἔχοντες ἐλπίδ' εἰς σωτηρίαν* revocavit Kockius Com. Att. fr. III p. 502 n. 511   4 *πικρότατον* scripsi e *BaPaBPL* *πικρότερον Vi* edd   5 *θάλασσα PaBLVi* edd | *κυκωμένη* om *Vi* Barb Cam   6 *ἀφρὸς* scripsi e *BaPaBPL* om *Vi* *ἄνεμος* edd sed *γρ ἀφρὸς* in marg Mor   7 *ἐσώθη BaPa* | *ἀηδίας ἀφικόμενος* reposui e libris sed *ἀδείας Pa* *ἀδικίας φερόμενος* edd sed *γρ ἀηδίας ἀφικόμενος* in marg Mor et „*praefero e margine ἀηδίας*“ Re   11 *γὰρ* om *BaPa* Barb Cam   13 *περὶ Pa* | *λυπήσας οὐδένα οὐδὲν* scripsi e *BaPa* *ἀδικήσας οὐδένα B* *μηδένα λυπήσας οὐδὲν PLVi* edd   15 *ἡ* delendum censet Re   16 *τὸ* om *B*   17 *παρακρουόμενοι παράγοντες B*   18 *εὐπορώτερος BaPaPLVi* Barb Cam Mor   19 *ἄπεισι PaVi*

8. Ὑγεία παρὰ γεωργοῖς, συνεχεῖς γὰρ οἱ πόνοι, καὶ ἔστιν αὐτοῖς ἔργα καὶ θέρους καὶ χειμῶνος καὶ τῶν ἄλλων ὡρῶν. τὸ γὰρ ἀεὶ κινεῖσθαι καὶ φιλοτεχνεῖν νοσήματα μὲν ἀποκλείει, τὸ ὑγιαίνειν δὲ διατηρεῖ. 9. πλωτῆρες δὲ τὰ πολλὰ ἀργοὶ κεῖνται, τοῦτο μὲν χειμῶνος καὶ πάλιν ἐν καπηλείοις καὶ καπνῷ, τοῦτο δὲ θέρους, ἡνίκα ἂν εὐτυχῶσιν. ἣν γὰρ ἐξ ουρίων φέρωνται, κάθηνται ἐπὶ τῶν καταστρωμάτων πίνοντες συνεχῶς καὶ ἐσθίοντες ἔξω τοῦ μετρίου. καὶ ταῦτα εἴωθε τοῖς σώμασι νοσήματα ἐντίκτειν. 10. ὡς ἡδὺ μὲν γεωργῷ διψήσαντι πιεῖν ἐκ πηγῆς προσθέντι τὸ στόμα τοῖς νάμασι, λυπηρὸν δὲ ναύτῃ πολὺν χρόνον ἐν πελάγει κάμνοντι πιεῖν ὕδωρ οὐδὲν βέλτιον βορβόρου. 11. τῷ γεωργῷ μὲν ἑσπέρας οἴκαδε ἐπανήκοντι γυνή ἐστι παραμυθία καὶ παῖδες ὁρῶντές τε καὶ ὁρώμενοι, ὁ δὲ πλέων δέδιε μὲν αὐτὸς περὶ ἑαυτοῦ, ταράττεται δὲ τῷ περὶ τῶν φιλτάτων ἀδήλῳ.

12. Κερδαλέον ἡ θάλαττα καὶ τὸ πλεῖν, ἐγὼ δὲ ᾐσθόμην καὶ γεωργοὺς πλουτοῦντας ἢ τοὺς πλέοντας. ἀλλὰ δῶμεν, εἰ δοκεῖ, πλείονα διδόναι κέρδη τὴν θά-

7 cf. t. III 338, 18; I 358, 13; II 126, 17 14 Nicol. l. l. p. 366, 10

4 *νοσήματος BaPaB* | *μὲν* om *Vi* Barb Cam | *ἀποκωλύει* libri corr Barb 6 *καπηλίοις Vi* Barb Cam 7 *εὐτυχῶσι Pa* | *ἣν* scripsi e *BaPaB* *ἢ PL* *εἰ Vi* edd | *ἐξουρίων PaL* | *φέρονται PaPLVi* Barb Cam Mor 10 *εἰώθει Pa* | *σώμασιν Pa* 11 *προσθέντι* scripsi *προθέντι BaPaPL* *προθέντα B Vi* edd 12 *νεύμασι L* | *ταύτῃ B* 14 *τὸ Pa* | *γεωργεῖν BaPa* 15 *παραμύθιον BaPa* *παραμυθῶν B* | *καὶ*(1) inserui e libris om edd 16 *πλέον Vi* | *δέδεται Pa* | *αὐτὸς περὶ* scripsi e *BaPaBPL* *ὑπὲρ Vi* edd sed *γρ αὐτὸς περὶ* in marg Mor | *αὐτοῦ B* *αὐτοῦ BaPa* 17 *περὶ* scripsi e *PaB* *παρὰ BaPLVi* edd 19 *γεωργοῦντας* Barb Cam | *πλουτοῦντας* om Barb Cam | *μᾶλλον ἢ* coni Re at cf. p. 286, 17; 335, 4; ad t. VII 508, 20 et t. IV 1031, 3 R 20 *θῶμεν* coni Sintenis | *πλέονα PLVi* edd | *τὰ* ante *κέρδη* edd delevi

λατταν. ἀλλ' ἡ διδοῦσα αὕτη καὶ ἀφαιρεῖται καὶ μετὰ τῶν φορτίων προσαφαιρεῖται καὶ τὰς ψυχάς. | καί R IV 994 τις ἀναχθεὶς μετὰ πολλῶν χρημάτων ἢ συγκατέδυ τοῖς χρήμασιν ἢ ἀπεσώθη γυμνός. 13. καὶ πλείστους δὴ ἀνθρώπων ἀπειργάσατο τοῦτο ἡ θάλαττα. καὶ ὁ τῶν ἐμπόρων εὐπορώτατος ἕως ἂν πλέῃ, οὐκέτι πλούσιός ἐστιν οὐδὲ κέκτηται οὐδέν, ἀλλ' ἔστι τῶν ἀνέμων καὶ αὐτὸς καὶ τὰ ἐκείνου. ἤδη δέ τινες ὁρῶντες τὴν οἰκείαν καὶ τοῖς ὅρμοις προσπλέοντες ῥαγείσης ἐξαίφνης τῆς νεὼς ἐξέπνευσαν ἐλεεινότερον τῶν ἀποπνιγέντων.

14. Ἥδιστον ἐν τῇ πατρίδι ταφῆναι καὶ εἰπόντα τι πρὸς τοὺς οἰκείους ἀπελθεῖν. τοῦτο γεωργοῖς παρέχει τὸ γεωργεῖν, τῶν δὲ πεπλευκότων πολλοῖς οὐδαμοῦ τάφος ἐστίν, ἀλλ' ἐν ταῖς ναυαγίαις γαστέρας ἰχθύων ἐπλήρωσαν.

ε'.

Σύγκρισις ἀγροῦ καὶ πόλεως. R IV 1005

1. Μεγέθει μὲν ἡττᾶσθαι πόλεως ἀγρὸν ὁμολογῶ, νικᾶν δὲ τοῖς ἄλλοις φαίην ἂν ἀγρόν. καὶ πρῶτά γε

11 sq. Nicol. l. l. p. 366, 2 sq.

2 καὶ inserui e *B* ut inserendum coni Re om reliqui libri edd 4 ἀπεσώσθη *PLVi* 5 ἀνθρώπους *B* | τοῦτο ἐποίησεν *Vi* Barb Cam et γρ in marg Mor | θάλασσα *BVi* Barb Cam 6 εὐπορώτερος *PLVi* Barb Cam Mor | οὐκέτι scripsi e *B* οὕτω *BaPa* οὔπω *PLVi* edd 7 ἐστιν om *B* | ἔστι — 8 ἐκείνου om *BaB* 8 καὶ ante τὴν *B* | οἰκείαν scripsi e *Pa* ut coni Re οἰκίαν reliqui libri edd et defendit Iacobs Lect 9 καὶ τοῖς ὅρμοις προσπλέοντες scripsi e *BaPa* καὶ τοῖς ὅρμοις πλέοντες *B* τοῖς ὅρμοις πλέοντες *PLVi* edd τοῖς ὅρμοις προσπλέοντες coni Re, τοῖς ὅρμοις εἰσπλέοντες Iacobs 10 ἐξέπεσαν *Pa* ἐξέπλευσαν *B* | ἐλεεινότερον scripsi e *BaPaPLVi* ἐλεεινότεροι *B* edd ἐλεεινότατοι coni Re 11 τῇ om *B* | ταφῆναι scripsi e *B* ut coni Re διαταφῆναι reliqui libri edd cf. Steph. Thes. s. v. διαθάπτω 12 τί *PaP* 14 ἐστί *Pa* 18 ἀγρῶν *PL* 19 τὸν ante ἀγρόν *Vi* | πρῶτά γε scripsi e

τῷ τῆς πόλεως ἀγρὸν εἶναι πρεσβύτερον. τίς γὰρ οὐκ οἶδεν ὡς οἱ πρῶτοι φανέντες ἐπὶ γῆς ἄνθρωποι τῶν ὀρῶν οἱ μὲν ἐν ταῖς κορυφαῖς, οἱ δὲ ἐν τοῖς μέσοις οἰκοῦντες ἀντὶ πόλεων ἀγροὺς τοῖς ἐγγόνοις παρέδοσαν, ὀψὲ δέ ποτε καὶ μόλις συνελθόντες ᾤκισαν πόλεις; εἰ δὲ τὸ ἀρχαῖον τιμιώτερον, ἀγρὸς πόλεως τιμιώτερος. 2. οὐ μὴν ἀμείνους γε τοὺς συνελθόντας ἡ σύνοδος ἔδειξεν, ἀλλ' εἰς τὸ κακῶς ποιεῖν ἀλλήλους μᾶλλον προήγαγε. κἂν ἐξετάζῃ τις, πλείω τὴν ἀδικίαν ἐν ταῖς πόλεσιν ἢ τοῖς ἀγροῖς εὑρήσει. 3. τοῖς μὲν γὰρ ἔργον περὶ τὴν γῆν πονεῖν καὶ ταύτην τὰ πολλὰ διαγίγνονται σπείροντες, ἀμῶντες, τρυγῶντες, καὶ ζῶσιν ἱδρῶσι τὰς εὐπορίας κτώμενοι. οἱ δὲ ἐν τοῖς ἄστεσι γραφαῖς καὶ κατηγορίαις καὶ συκοφαντίαις κτῶνται τὰ χρήματα τἀλλήλων ἀφαιρούμενοι καὶ μηχανὰς ἃς πλέκουσι τῆς νυκτὸς μεθ' ἡμέραν ἀλλήλοις ἐπάγουσι. 4. καὶ ἔστιν ἡ ἀγορὰ χωρίον ἐπιβουλευμάτων τοῦ μὲν ἐκεῖνον, ἐκείνου δὲ τοῦτον ἀπολέσαι ζητοῦντος. καὶ μισθὸς ῥή-

---

PLVi πρῶτον ἐν *BaPaBVIMar* edd sed πρῶτά γε in marg Mor
3 ὀρῶν *PaPLViMar* 4 ἐγγόνοις scripsi e *BaPaPLVi* ἐκγόνοις *BVIMar* edd | παρέδοσαν scripsi e *BIMar* παρεδίδοσαν *BaPaP* sed in hoc δί inser, *LViV* edd 5 καὶ μόλις inserui e *B* om reliqui libri edd | ᾤκισαν scripsi e *BPLViMar* ᾤκ(ι)ησαν *I* ᾤκησαν *BaPaV* edd 7 γε om *BaPaBVIMar* Ferr | ἡ σύνοδος] ἡσίοδος *BaPaBVIMar* Ferr 9 προσήγαγε *BaPLViVIMar* Ferr Mor ἐξήγαγε *B* corr Re | ἐξετάζει *ViI* edd sed „ἐξετάζῃ malim“ Re | τίς *PaPL* Ferr 10 τοῖς(1)] ἐν *Vi* 11 ταύτην et διαγίγνονται scripsi auctore Sinteni ταύτῃ (ταύ(τ) *Pa* ταῦτα *PL*) διαλέγονται libri edd 13 ταῖς πόλεσι *Vi* 14 καὶ κατηγορίαις om *Vi* 15 τὰ ἀλλήλων *BaPaPLVi* edd 16 μεθημέραν *BaPaB* edd | μετάγουσι *PLVi* 18 μισθὸς *Mar* sed ς in ν corr m[2] | ῥήτορσιν ἐπ' ὀλέθρῳ δίδοται τῶν πολιτῶν scripsi e *BaPaB* sed δίδοται in hoc om, *PLVi* sed τῶν in hoc om ἐπ' ὀλέθρῳ τῶν πολιτῶν δίδοται (δίδως *Mar*) ῥήτορσι *VIMar* edd

τορσιν ἐπ' ὀλέθρῳ δίδοται τῶν πολιτῶν καὶ λόγοι γράφονται κατὰ τῶν ἀσθενεστέρων καὶ χρήματα μάρτυρας εἰσάγει ψευδεῖς καὶ διαφθείρει δικαστάς. 5. τὸ γὰρ ἀργεῖν ἐπὶ ταύτην ἄγει τὴν ἐργασίαν ὥσπερ αὖ καὶ ἐπὶ τοὺς τῶν σωμάτων ἔρωτας. ἐν γὰρ δὴ τοῖς ἄστεσι πολλοὶ μὲν οἱ τοῖς νέοις ἐπιτιθέμενοι, πολλοὶ δὲ οἱ γάμους ἀδικοῦντες ἔχοντες εἰς τὰ τοιαῦτα διακόνους τὸ τῶν ἀλιτηρίων γένος μαστροπῶν. καὶ γὰρ αὕτη ἡ τέχνη πόλεως, οὐκ ἀγροῦ νόσημα. οὗτοι δὴ μεθύοντες καὶ κωμάζοντες καὶ ἐρῶντες καὶ ἀντερῶντες ἀπὸ τῆς περὶ ταῦτα | φιλονεικίας καὶ διὰ λοιδοριῶν καὶ πλη- R IV 1006 γῶν καὶ τραυμάτων ἀφικόμενοι πολλάκις εἰς φόνον τελευτῶσιν. 6. ἀγρὸς δὲ τῶν περὶ τὰ ἀφροδίσια μανιῶν καθαρός, ἐρῶσι δὲ οἱ τοῦτον οἰκοῦντες ἀρότρου καὶ βοὸς καὶ ἁμάξης καὶ αὔλακος καὶ τὴν πρὸς τὰς αὐτῶν γυναῖκας ἴσασιν ὁμιλίαν, ἑταίρα δὲ αὐτοὺς οὐ μεθίστησιν ἐφ' ἑαυτὴν ἀπ' ἐκείνων οὐδὲ τοῖς εἰς αὐτὴν ἀναλώμασι ποιεῖ πένητας. 7. οὐδ' ἠριστηκὼς ὁ γεωργὸς ἐπὶ κύβους φέρεται οὐδὲ δεδειπνηκὼς ἐπὶ τὸ θυροκοπεῖν οὐδ' ὑβρίζει καὶ παίει καὶ νομίζει νεανικὸν εἶναι τὸ κακόν τι μέγα ἐργάσασθαι. ὅλως δὲ ὅσα

16 cf. p. 352, 14. Nicol. comp. 5 ed. Walz. Rhet. gr. I 366, 10

5 ἐν μὲν γὰρ *B* | δὴ om *BaPaBVIMar* Ferr 8 ἀλιτηρίων *ViMar* | μαστροπόν *PaPLVi* μαστρωπῶν *BI* Mor Re 9 δὴ in ras *V²* δὲ *PLVi* 10 ἀντερώμενοι *Vi* 12 τραύματα *PLVi* | εἰς τὸν φόνον *Vi* 13 τελευτῶσι *PaPLVi* | δὲ om *PLVi* | μανικῶν *Vi* 14 ἀρότρου καὶ βοὸς scripsi e *PLVi* ἀρότρων καὶ βοῶν *BaPaBVIMar* edd 15 ἁμάξης *PLViI Mar* 16 αὐτῶν *PLIMar* | ἑτέρα *PaBa* | οὐ μεθίστησιν ἐφ' ἑαυτὴν ἀπ' ἐκείνων scripsi e *PLVi* et γρ in marg Mor ἐφ' ἑαυτὴν οὐχ ἕλκει *BaPaBVIMar* edd 18 ποιεῖ om *PLVi* | οὐδὲ *PLVi* | ἐριστικῶς libri Ferr Mor corr Re 19 ἀναφέρεται *Vi* | οὐδὲ δεδειπνηκὼς] οὐδ' *BaPaBVIMar* Ferr | ἥκει ante ἐπὶ *BaPa*, post θυροκοπεῖν *BVIMar* edd delevi 20 οὐδὲ *PLVi* 21 δὲ om *BaPaPLVi*

ὑπὸ μέθης τίκτεται, τούτων οὐδὲν ἂν ὑπὸ τῶν οὐ μεθυσκομένων γένοιτο, ἐπεὶ καὶ ταῖς γυναιξὶν αὐταῖς ὑπὲρ παίδων μόνον πλησιάζουσι γενέσεως. 8. εἰ δὴ μέγιστον ἀγαθὸν ἡ σωφροσύνη καὶ τὸ μὴ δουλεύειν ἡδοναῖς, τουτὶ δὲ τῶν ἐν ἀγροῖς οἰκούντων, οὐ τῶν ἐν ταῖς πόλεσι, πῶς οὐχὶ καὶ ταύτῃ νικῶν ἀγρὸς ἄστυ φανεῖται;

9. Ἔτι τοίνυν εἰ μέλλουσιν ἀπολαύσεσθαι τῆς γῆς, ὡρῶν τε καὶ ἄστρων αὐτοὺς ἐμπείρους εἶναι προσήκει καὶ τοῦ πότε τι δεῖ πονεῖν καὶ γῆς φύσεως καὶ τί μὲν αὕτη δύναιτ' ἂν φέρειν, τί δὲ ἐκείνη, τί δὲ οὐκ ἂν δύναιτο. ταύτην δὲ τίς οὐκ ἂν τῶν εὖ φρονούντων προτιμήσειε τὴν σοφίαν τῆς ἐν ἄστεσιν, ᾗ ποιεῖ δύνασθαι λέγειν, ᾗ πολλοὶ πολλοὺς ἀπώλεσαν δεινότητι νόμων κρατήσαντες;

10. Ἀνδρειοτέρους τοίνυν ποτέρους χρὴ νομίζειν εἶναι, τοὺς εἴσω τείχους ἐπὶ τῶν τραπεζῶν καὶ κουρείων καὶ μυροπωλείων ἀλλήλοις συνόντας καὶ διαλε-

18 cf. t. IV 11, 8 sq.; VII 270, 17

1 ὑπὲρ *PLVi* | τίκτεται scripsi e *BaPaPLVi* γίνεται *BI Mar* γίγνεται *V* edd sed γρ τίκτεται in marg Mor | οὐ om *P L* μὴ *Vi* 2 γίνεται *B* 3 μόνων *PL* | πλησιάζουσι γενέσεως scripsi e *BaPaPLVi* γενέσεως (γεννήσεως *B*) πλησιάζουσιν *BVIMar* edd | δὴ scripsi e *BaPLVi* δὲ *PaBVIMar* edd 4 ἡ om *PaBVIMar* Ferr 5 ἐν(1) om *I* 6 ταῖς om *BVI Mar* Ferr | ταύτῃ *I* sed ῃ in ην corr m² ταῦ *P* 8 ἀπολαύσασθαι *Ba* 9 αὐτοὺς om *PLVi* 10 καὶ(1) — γῆς om *B*, — καὶ(2) *V*, — πονεῖν *IMarPar* Ferr | τι scripsi τί *BaPa* om *PLVi* edd | πονεῖν scripsi ut coni Re ποιεῖν *BaPaPLVi* Mor Re 11 αὐτὴ *PaPLVi* | αὕτη post ἂν *B* 13 προτιμήσειε τὴν σοφίαν scripsi e *BaPaPLVi* τὴν σοφίαν προτιμήσειε *B VIMar* edd | ἣ *BaPaMar* 14 ᾗ] ἣ *PLVi* ἡ *Pa* | πολλοὶ om *Vi* 16 ἀνδρειο^τερ^ *P* ἀνδρειότερον *LVi* | πότερον *PLVi* 17 τοίχους *PLVi* | κουρίων *Pa* 18 μυροπωλίων *Mar*

γομένους ἢ οἵτινες πρὸ τῶν θυρῶν πολλάκις ἄρκτους καὶ λέοντας καὶ παρδάλεις θηρῶνται; πρὸς μὲν γὰρ τοὺς λύκους καὶ συνεχής σφισιν ὁ πόλεμος ἀμυνομένοις ὑπὲρ τῶν βοσκημάτων, οἱ δὲ καὶ τέχναις παντοδαπαῖς ταῦτα αἱροῦσι τὰ θηρία. καὶ σιωπῶ τὰς τῶν ἑρπετῶν ἐφόδους, ὧν ἀνάγκη κρατεῖν τόν γε οὐκ ἀπολούμενον. ἀφ' ὧν ἄν μοι δοκεῖ | τις εἰς παρά- R IV 1007
ταξιν ἐλθὼν μᾶλλον ἂν θαρρῆσαι πολεμίους ἢ ἀπὸ τῶν ἐν ταῖς πόλεσι λήρων.

11. Ὑγείας τοίνυν πότεροι μᾶλλον μετέχουσιν, οἱ κρύος καὶ καῦμα φέρειν μεμελετηκότες καὶ τροφῇ κεκολασμένῃ χρώμενοι καὶ λουτρῷ πηγαῖς τε καὶ ποταμοῖς ἢ οἱ τοῦ θέρους μὲν τὴν ἀκτῖνα φεύγοντες, χειμῶνος δὲ ἐν ταῖς εὐναῖς κείμενοι, λουόμενοι δὲ ἐν βαλανείοις, εἰς δὲ τὴν γαστέρα τὰ ἀπὸ τῶν μαγείρων ἐγκατατιθέμενοι κακά; 12. λέγουσι δὲ καὶ ἰατρῶν παῖδες ἐν πολὺ βελτίονι τοὺς ἐπὶ τῶν ἀγρῶν ἀέρι διαιτᾶσθαι, καὶ διὰ τοῦτο τοὺς ἐν ἄστει νοσοῦντας ἐκεῖσε κομί-

---

16 Hes. theog. 487. 890. 899 | cf. ad t. III 383, 2

---

1 *θηρῶν Pa* | *λύκους* ante *πολλάκις* et *καὶ* ante *ἄρκτους B* 2 *θεῶνται BVIMar* Ferr 3 *ἀμυνομένους Vi* 4 *τοῦ βοσκήματος PLVi* | *εἰ Pa* 5 *ταῦτα αἱροῦσι τὰ θηρία* scripsi e *BaPaPLVi* *τὰ θηρία ταῦτα* (om *B*) *αἱροῦσι BVIMar* edd | *σιωπῶ τῶν ἑρπετῶν τὰς BVIMar* Ferr 6 *γε* delet. *Ba* om *PaBVIMar* Ferr 7 *δοκῇ BaPaBPLViV* *δοκοῖ IMar* corr Mor 8 *ἢ ἀπὸ* om *Vi* 10 *πότερον BaPa* | *μετέχωσιν PL* *μετέχουσι Vi* 11 *κρῦος Vi* | *καὶ καῦμα φέρειν μεμελετηκότες* scripsi e *BaPaPLVi* *μεμελετηκότες φέρειν καὶ καῦμα BVIMar* edd | *τρυφῇ BaPa* 12 *λουτρῷ*] *γέ* cum lac 2 litt ante *γ Ba* 13 *χειμῶνες Ba* 14 *λούμενοι Mar* 16 *ἐγκατατιθέμενοι κακά* scripsi e *Ba* sed *ἐγ* delet. *κατατιθέμενοι κακά PaPLVi* *κακὰ ἐγκατατιθέμενοι VIMar* edd *κακὰ ἐναποθέμενοι B* 17 *πολὺ βελτίονι τοὺς ἐπὶ τῶν ἀγρῶν ἀέρι* scripsi e *Ba* sed *ολὺ* et *νι* delet., *PaPLVi* *ἀέρι πολὺ βελτίονι τοὺς ἐπὶ τῶν ἀγρῶν BVIMar* edd 18 *ἐκεῖ BaPaPLViI* sed in hoc in *ἐκεῖσε* corr, *γρ* in marg Mor

ζουσι σύμμαχον τῇ τέχνῃ τὸν ἀέρα προσλαμβάνοντες. καὶ οἱ μὲν ἀπὸ τῶν αὐτῶν φαρμάκων ἐνταῦθά τι πλέον ὤνησαν, τοῖς δὲ καὶ τοῦτο ἀπέχρησεν αὐτὸ τὸ ἐκεῖσε κομίσαι τὸν κάμνοντα. εἰ δὲ καὶ ἆθλα ἐτίθετο μακροτέρου βίου, τῶν ἐν ἀγροῖς ταῦτ' ἂν ἐγίνετο. 13. ἔτι τοίνυν ὁ μὲν ἀγρὸν οἰκῶν ἐλθὼν εἰς ἄστυ σκοτοδινιᾷ καὶ πειρᾶται πάλιν τὴν ταχίστην εἰς τὸν ἀγρὸν ἐπανελθεῖν πόθῳ τῆς ἡσυχίας. οἱ δ' ἐν τοῖς ἄστεσιν ὁπόταν ἀναπνεῦσαι βουληθῶσιν, εἰς τοὺς ἀγροὺς θέουσι τὰς μὲν πόλεις κλύδωνας, τοὺς δὲ ἀγροὺς λιμένας νομίζοντες, καὶ ἥ τε γνώμη ῥᾴων εὐθὺς τό τε σῶμα κουφότερον. 14. εἰ δὲ πανταχοῦ τοῦ δεομένου τὸ πληροῦν τὴν χρείαν βέλτιον, ἐκ τῶν ἀγρῶν ἡ τροφὴ ταῖς πόλεσιν, ἀλλ' οὐκ ἐκείνοις ἀπὸ τούτων. 15. βασάνους τοίνυν καὶ τὸν μαστιγούμενον καὶ τὸν στρεβλούμενον καὶ τὸν ἐπὶ ξίφος καὶ τὸν ἐπὶ πῦρ ψήφῳ δικαστῶν πεμπόμενον οἱ μὲν ὁρῶσιν, οἱ δὲ ἀκούουσιν. ὅσῳ τοίνυν ἥττων εἰς λύπην ὄψεως ἀκοή, τοσούτῳ τῆς ἐν ἄστει διαίτης ἡ κατ' ἀγρὸν ἀμείνων. 16. χωρὶς δὲ τούτων οἱ μὲν δύ-

---

1 τὸν ἀέρα προσλαμβάνοντες scripsi e *BaPaPLVi* προσλαμβάνοντες τὸν ἀέρα *BVIMar* edd 2 αὐτῶν *IMar* 3 τοῦτ' *BV* edd 4 ἆθλα *PaPL* | μακρότερα *LVi* 5 ταῦτ' om *PLVi* ταῦτα *BaPa* | ἐγίγνετο *BaBLVi* edd 6 μὲν εἰς ἀγρὸν *BI* 7 πάλιν om *BaPaPLVi* | τηνταχίστην *I* | τὸν inser *I* om *BaPaPLVi* | ἐπανελθεῖν scripsi e *BaPaPLVi* ἐλθεῖν *BVIMar* edd 8 πόθῳ Mor sed γρ πόρρω in marg πόρρω *PLVi* | δὲ *PVi* | ὅταν *BaPaBVIMar* Ferr 10 κλύδωνα *PLVi* | τὰς *B* | ἀγροὺς om *BaPaBVIMar* Ferr | λιμένα *BaPaPLVi* | ἥ τε] ἥ γε *Vi* ἡ *BaPaBVIMar* Ferr 11 ῥᾷον *PaVi* 12 τὸ] τοῦ *Vi* 13 πόλεσι *Pa* 14 ἐκείνοις ἀπὸ τούτων scripsi e *BaPaPLVi* sed in hoc ἐκ pro ἀπὸ ἀπὸ τούτων ἐκείνοις *BVIMar* edd | βασάνους scripsi e *PLVi* ut coni Re βασάνοις *BaPaBVIMar* edd 16 ἐπὶ ex ἐ corr *Vi*[2] 17 ἥττων scripsi e *BaPaPLVi* ἧττον *VIMar* edd om *B* 19 ἀμείνω *Vi* | αὐτῶν δύναιντ' ἂν *Vi* | δύναιτ' *Pa*

ναιντ' ἂν αὐτῶν φυλάττειν τοὺς τρόπους, τῶν δὲ ἐν ταῖς πόλεσιν ἀνθρώπων οἱ πλείους ὑπὸ τῆς τῶν ξένων ἐπιμιξίας κινοῦνται καὶ πολλοὶ τῶν σφῶν αὐτῶν ἀποστάντες τὰ | ἐκείνων ἐζήλωσαν. 17. εἰ δὲ σκηνῇ R IV 1008 καὶ θαυματοποιοῖς καὶ τοιούτοις θεάμασιν ἀγρὸς ἡττᾶται, τοῦτ' ἔστιν ᾧ κρείττων ἐστίν, ὅτι καὶ τὴν ἀπὸ τῶν τοιούτων διαπέφευγε λύμην πρὸς τὸ βελτίους ἡδονὰς καρποῦσθαι. ἢ μικρὸν εἰς ἡδονὴν μόσχων τε καὶ ἐρίφων καὶ ἀρνῶν φωνή; εἰ δὲ οὔπω ταῦτα μεγάλα, τί ἂν ἀντιθείη πόλις ταῖς ἀηδόνων φωναῖς; 18. ποίας δὲ οὐ γραφῆς τερπνότερον ἴωνιὰ καὶ ῥοδωνιὰ καὶ λειμῶνες καὶ κλάδοι τέττιγας φέροντες, αὐλοὶ δὲ καὶ σύριγγες νομέων εἰς αὖλιν ἐλαυνόντων βοῶν ἀγέλας καὶ αἰπόλια καὶ ποίμνια ποίων θεάτρων οὐχ ἡδίω; 19. τὴν δὲ τῶν παλαιστῶν κόνιν καὶ τὸ τῶν πυκτῶν αἷμα τῇ κινήσει τῶν ληΐων παραβάλλειν ἄξιον; παγκρατιαστῶν δὲ πληγὰς τοῖς ταύρων ἀγῶσιν; 20. ἑστιαθῆναι δ'

13 Hom. h. Ven. 168

1 αὐτῶν om *B* αὐτῶν *PaPLVi* 2 οἱ om *PLVi* | ἐπιμιξίας τῶν ξένων *B* 3 κινοῦνται scripsi e *BaPaPVi* κοινοῦνται *LBVIMar* edd | πολλὰ *Vi* | τῶν in ras 2 litt om *Mar* | ἐπιστάντες *PLVi* et γρ in marg Mor 4 τὰ 'κείνων *VI* Ferr τἀκείνων *Mar* | εἰ — 6 ὅτι om *BaPaBVIMar* Ferr | σκηναῖς *Vi* 5 θεάμασιν scripsi auctore Markowskio θαύμασιν libri edd 6 κρεῖττον *PLVi* corr Mor | καὶ om *PLVi* Mor Re 7 τῶν τοιούτων] τῶν *Vi* | διαπέφευγε λύμην] διέφυγον βλάβην *BaPaBVIMar* sed in hoc οὐ ante διέφυγον inser m², Ferr γρ διέφυγε βλάβην in marg Mor | τῶ *BaPL* sed in hoc ῶ ex ὸ corr, *IV* Ferr τῶ μὴ *Mar* 8 ἢ — 10 φωναῖς; om *VIMar* Ferr | ἢ] τί οὖν; *Ba* sed οὖν delet., *PaB* | καὶ ἐρίφων inserui e *BaPaB* om *PLVi* edd 9 φωνή om *B* | ταύτη μέγα *BaPaB* 10 φαίη *BaPaB* | ᾠδαῖς *PaB* | ποίας δὲ scripsi e *BaPaPLVi* ἐπὶ δὲ τούτοις ποίας *BVIMar* edd 11 τερπνότερον om *PLVi* 13 αὖλιν scripsi e *BaPLVi* αὐλήν *Pa* αὔλεις *BVIMar* edd sed ἐπαύλεις coni Re 14 καὶ om *Vi* | ἡδίους *PLVi* 16 παραβαλεῖν *B* 17 τοῖς τῶν ταύρων *Vi* | ἐστὶ παραθεῖναι *Vi* | δ' οὐχ *BaPa* δὲ *BIMar*

ἥδιον ὑπ' ὀρόφῳ τῷ παρὰ τῶν τεκτόνων ἢ ὑπὸ σκιᾷ τῇ παρὰ τῶν δένδρων ὑπεραιωρουμένων βοτρύων; τίς οὕτως ἐν θεάτρῳ χορὸς ἀκοὴν εὔφρανεν ὡς οἱ τοὺς βότρυς πατοῦντες ἐν τοῖς ληνοῖς καὶ οἶνον ποιοῦντες σὺν ᾄσμασιν;

21. *Ἔστι μὲν οὖν εὐδαιμονέστατον θεὸν ἰδεῖν καὶ θεῷ συγγενέσθαι, τούτου δὲ ἐν ἀγρῷ τις ἂν μᾶλλον ἢ ἐν πόλει τύχοι, ἐπεὶ καὶ Ἡσίοδος ποιμαίνων ταῖς Μούσαις ἐνέτυχε καὶ Φιλιππίδης ὕστερον πολλοῖς χρόνοις τῷ Πανὶ περὶ τὸ Παρθένιον.* 22. *εἰ δὲ βελτίους αἱ πόλεις, οὐκ ἂν ἐν Ἑλικῶνι καὶ Πιερίᾳ τὰς Μούσας διατρίβειν ἠκούομεν, ἀλλ' ἐν ταῖς μεγίσταις τῶν πόλεων. νῦν δὲ καὶ Διόνυσος ἐν ἀγρῷ φαίνεται τῷ Ἰκαρίῳ διαλεχθεὶς καὶ τυχὼν ξενίων καὶ δοὺς τὴν ἄμπελον.*

---

8 cf. t. II 180, 1. Hes. theog. 22 cum apparatu Rzachii. Dio Chr. or. LV t. II p. 282 R (t. II 115, 6 ed. Arnim.) 9 cf. t. V 515, 15. Her. VI 105 13 cf. narr. 28 p. 51, 13 sq.

---

1 *ἥδιον* non post *δ'*, sed post 2 *δένδρων PLVi* | *ὑπ'* om *BaPa* . *ὑπὸ PLVi* | *περὶ BaPaPL* et *γρ* in marg Mor | *σκιᾶς τῆς BaPa* 2 *περὶ PL* | *δένδρων* scripsi e *PLVi* *ἐν δένδροις BaPaBVIMar* edd *„num καρπῶν?“* Re 3 *οὗτος Pa* 4 *βότρυας BaPaBVIMar* edd | *πατοῦντες — 5 ᾄσμασιν*] *οἶνον ἐν ταῖς* (*τοῖς Vi*) *ληνοῖς σὺν ᾄσμασι ποιοῦντες PLVi* 6 *ἔστιν Pa* | *εὐδαιμονέστερον PL* 7 *τις ἂν μᾶλλον ἢ ἐν πόλει τύχοι* scripsi e *BaPaPLVi* sed *τῇ* ante *πόλει PLVi* *μᾶλλον ἂν ἢ ἐν πόλει τις τύχοι BVIMar* edd | *τίς BaPaPLViI* 8 *τύχη PLVi* 10 *περὶ* scripsi e *PaPVi* ut coni Re *παρὰ BaBLVIMar* edd | *ἔτυχεν* (*ἔτυχε Vi*) post *παρθένιον PLVi* Mor Re 12 *ἠκούσαμεν PLVi* et *γρ* in marg Mor 14 *ἰκαρίῳ Vi* *ἰκάρῳ IMar* Ferr

XI.

Ἠθοποιίαι.

Ethopoeiae sub Libanii nomine traditae sunt 27. Quas exceptis duabus ultimis (26 et 27) aperte subditis corpore progymnasmatum comprehensas esse ordine earum in codicibus diversarum familiarum consentiente probatur.

Sunt autem hi codices corporales:

1. Barberinus II 61 nunc Vaticanus Barb. 240 (= Ba) saec. XIII/XIV valde lacer fol. 43. Continet ethopoeias omnes 25 excepta nona (*Νιόβη. τὸ αὐτό*). Vide supra p. 1 sq. Contuli.

Ex hoc nondum mutilato descriptus est

2. Parisinus gr. 2918 (= Pa) saec. XV fol. 162v. Vide supra p. 5 sq. Contuli.

Ex hoc praetermissis duabus[1]) (2 *Ἀνδρομάχη* et 14 *Χείρων*) descriptus est

3. Bodleianus Miscellaneus 89 saec. XVI fol. 59. Vide supra p. 6 sq. Contuli.

Eiusdem quidem familiae est sed non solum ordinem exemplaris cum alio personarum loquentium potius rationem habente commutavit sed etiam in titulis et textu ethopoeiarum multa novavit

4. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 37v et 56. Deest praeter nonam (*Νιόβη. τὸ αὐτό*) tertia decima (*Ἀχιλλεὺς ἐρῶν. τὸ αὐτό*). Vide t. I p. 24 sq. Aeneas Piccolomini egoque contulimus.

Ex hoc descriptus est

---

1) Coxius cum codicem tantum 21 ethopoeias continere dixit, ambas *Ἀχιλλέως ἐρῶντος* (13 et 12) in unam confluxisse non animadvertit.

5. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) saec. XVI fol. 167 et 254^r. Vide t. I p. 326 sq.

Alterius familiae sunt:

6. Parisinus gr. 3014 (= P) saec. XIV fol. 52. Hic illic blattae in foliis vorandis grassatae sunt, etsi non tantum quantum conicias e verbis Morelli qui hoc codice pro fundamento editionis usus est (p. 155): *facilior fuit egressus ex antro Cyclopis Ulyssi, quam nobis e labyrintho Cod. Gr. vetustate ruentis.* Vide t. II p. 375 sq. Contuli.

7. Laurentianus LVIII 2 (= L) saec. XV fol. 118^r. Vide supra p. 7. Contuli.

8. Vindobonensis Phil. graec. CCLIX (= Vi) saec. XV fol. 227, qui e communi cum *PL* exemplari fluxit sed ab interpolationibus haud liber est. Vide supra p. 8 et 209. Contuli.

E *P* manu Henrici Stephani descriptus est

9. Leidensis Vossianus gr. qu. 18 qui folio quidem 63 titulos initiaque omnium ethopoeiarum, inde a p. 99 vero usque ad p. 101 (= fol. 68^r—69^r) ethopoeias 18, 19, 20, 8, 9 praebet integras. Vide supra p. 330. Inspexi.

Multo maior est numerus codicum eclogariorum.

Atque e fonte quidem eodem quo *B* fluxit ecloga 14 ethopoeiarum quam praebet

289 10. Oxoniensis Bodleianus Miscellaneus 104 teste inscriptione paginae 91 *William Hutchinson* olim Guilelmi Hutchinsoni, antea numero 2290 insignitus (Auct. F. 4. 5) chartaceus formae quartae saeculi XV qui post *φιλοστράτου λημνίου ἐπιστολικὸν χαρακτῆρα* (p. 140—143) et *Πρόκλου τοῦ πλατωνικοῦ περὶ ἐπιστολιμαίου χαρακτῆρος* (p. 144—153) inde a p. 160 alia manu exaratas continet ethopoeias Libanii titulo privas

ᾱ τίνας ἂν εἴποι λόγους μήδεια μέλλουσα ἀποσφάττειν τοὺς ἑαυτῆς παῖδας

166 *β̄. τ. ἀ. εἰ. λ. ἀνδρομάχη ἀναιρεθέντος ἕκτορος*
169 *γ̄ ἀχιλλεὺς πεσόντος πατρόκλου*
173 *δ̄ ἀχιλλεὺς καταπονουμένων τῶν ἑλλήνων*
178 *ε̄ ὁ αἴας μετὰ τὴν μανίαν*

182	ς̅	τὸ αὐτὸ
186	ζ̅	αἴας ἀφαιρεθεὶς τὰ ὅπλα
189	η̅	ἀχιλλεὺς ἐρῶν πενθεσιλείας κειμένης
192	θ̅	ἀχιλλεὺς ἀφαιρεθεὶς βρισηΐδα
195	ι̅	πολυξένη ἀπαγομένη εἰς σφαγήν
198	ια̅	μήδεια ἑτέραν γυναῖκα μνηστευομένου ἰάσονος
200	ιβ̅	πόρνη σωφρονήσασα
203	ιγ̅	δειλὸς ἰδὼν πόλεμον ἐξωγραφημένον ἐν τῇ οἰκίᾳ αὐτοῦ
206	ιδ̅	ὁ μενοικεύς.

Inspexi.

Easdem eodem ordine exhibet ethopoeias codex si non ex ipso Bodleiano, certe ex eodem quo hic exemplari descriptus

11. Vaticanus Palatinus gr. 122 chartaceus formae 290
octavae saec. XVI foliis 40—71. Antecedunt fol. 1—38v[1]) *φιλοστράτου ἀθηναίου ἐπιστολαί.* Ubi a *BaPaB* recedit, lectio eius deterior est. Examinavi.

Octo ex his 14 ethopoeiis continet codex

12. Cantabrigiensis Universitatis Dd. XI 54 (= Ca) saec. XIV/XV p. 149. In universum quidem cum *BaPaB* facit, sed hic illic etiam alterius familiae *PLVi* vestigia exhibet. Correctus est manu secunda. Vide t. II p. 55. Contuli.

Novem interque has unam (25) quae in illa 14 ethopoeiarum ecloga deest praebet codex

13. Oxoniensis collegii Lincolniensis 25 saec. XV fol. 26. Vide p. 9 et t. I p. 378.

Octo interque has tres (8, 23, 21) quae in illa ecloga desunt exhibent codices

14. Vaticanus Palatinus gr. 148 saec. XV fol. 98 et qui ex eodem quo hic fluxit exemplari

15. Vaticanus Palatinus gr. 277 saec. XVI fol. 264. Vide t. II p. 190 sq. Utrumque inspexi.

---

1) Folium 39 est vacuum relictum.

Etiam maior est numerus codicum qui summam corporis ethopoeiarum ad binas redactam exhibent.

Atque in primis duabus substitit ecloga quam exhibet codex

291 16. Bononiensis Collegii Hispanici gr. 130 chartaceus formae quartae saeculi XV/XVI olim Gasparis Cepen qui eum teste inscriptione in Bibliotheca Collegii die 29. Aprilis 1596 posuit, in quo insunt

fol. 82 *μελέτη: τινὰς ἂν εἴποι λόγους Μείδεια μέλλουσα ἀποσφάττειν τοὺς ἑαυτῆς παῖδας*

83 *Μελέτη: τινὰς ἂν εἴποι λόγους ἀνδρομάχη ἀνερεθὲν ἕκτορος.* Cf. Nicolaum Festa, Studi ital. di filol. class. III p. 483, cuius descriptione nitor, postquam mihi olim Collegium visitanti codicem Libanii in bibliotheca exstare negatum est.

Codex eiusdem generis exemplar fuit Erasmo anno 1503 Lovanii duas ethopoeias describenti et vertenti, cuius autographum est codex

17. Cantabrigiensis Collegii Trinitatis R. 9. 26 (827 in catalogo Iamesiano) fol. 50 et 54^{v}. Vide t. V p. 193.

Quominus codicem Bononiensem ipsum illud exemplar fuisse conicias obstat quod illud etiam Menelai declamationem continebat quae in hoc codice desideratur. Quin etiam est quod codicem Bononiensem ex Erasmi editione anno 1525 foras missa descriptum esse conicias. Neque enim solum forma inscriptionis utriusque sed etiam mendum typographi *Μείδεια* in codice occurrit, accentus vero in voce *τινὰς* vitium ab editione abest. Neque illi coniecturae non favet quod *Ἀφθονίου σοφιστοῦ προγυμνάσματα* in codice (fol. 63^{r}) aeque atque in illa editione (fol. 42^{r}) Libanii ethopoeiis antecedunt.

Ἀνδρομάχης et *Χείρωνος* ethopoeias praebet codex

18. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI qui per editionem Barbati e Vindobonensi fluxit. Vide p. 17.

Μενοικέως et *Μενελάου* ethopoeias cum duabus aliis quae re vera sunt, non vero nominantur Severi continet

19. Vaticanus Regin. gr. 147 bombycinus formae 292
octavae saeculi XIV miscellaneus

fol. 131^r *λιβανίου μελέται*

τίνας ἂν εἴπε λόγους ὁ μενοικεύς (R IV 1045)

131^v *τίνας ἂν λόγους εἶπεν ὁ ἀχιλλεὺς ὅτε ἐπόρθησεν ὁ υἱὸς αὐτοῦ ὁ πύρρος τὴν τροίαν* (i. e. Sever. ed. Walz. Rhet. gr. I 545)

ἠθοποιία περὶ τοῦ μενελάου μαθόντος τὴν τελευτὴν ἀγαμέμνονος (R IV 1023)

et interiectis epistulis Iuliani, Basilii, Phalaridis

141^v *οἵους ἂν εἶπε λόγους ὁ ἡρακλῆς τοῦ περικλυμένου μεταβαλομένου παρὰ τὴν μάχην καὶ τὴν οἰκείαν ἀρνουμένου μορφήν* (i. e. Sever. l. l. I 541).

Inspexi.

In duobus aliis codicibus *πόρνη σωφρονήσασα* et *Ἀχιλλεὺς ἐρῶν Πενθεσιλείας* cum Severi ethopoeiis coniunctae sunt. Qui sunt

20. Palatinus Heidelbergensis gr. 356 (= Pal) saec. XIV fol. 10^v, in quo illis succedunt (vide t. VI 500), et codex in quo cum illis mixtae sunt

21. Parisinus gr. 2985 antea numeris MDCCCXXVII, 293
2003, 3262 insignitus, olim cardinalis Nicolai Rodulphi teste inscriptione folii praefixi *Δ^a N^o 36. undecimae*[1]) chartaceus formae octavae saec. XV

fol. 263 *σεβήρου σοφιστοῦ ἀλεξανδρέως ἠθοποιίαι: τίνας ἂν εἶπε λόγους μενέλαος τοῦ ἀλεξάνδρου τὴν ἑλένην ἁρπάσαντος*

263^v *τοῦ λιβανίου· τίνας ἂν εἶπε λόγους πόρνη σωφρονήσασα*

264 *τοῦ αὐτοῦ· τίνας ἂν εἶπε λόγους ἀχιλλεὺς ἐρῶν πενθεσίλας μετὰ θάνατον*

264^v *σεβήρου σοφιστοῦ τίνας ἂν εἶπε λόγους ἕκτωρ ἀκούσας ἐν ᾅδου πρίαμον συγγεύσασθαι ἀχιλλεῖ*

265 *τίνας ἂν εἶπε λόγους ζωγράφος γράψας κόρην καὶ ἐρασθεὶς αὐτῆς*

---

1) Cf. supra p. 5. Miller, Journ. des Savants 1868 p. 186.

265^{v} *οἵους ἂν εἴπε λόγους ὁ ἡρακλῆς τοῦ περικλυμένου μεταβαλλομένου παρὰ τὴν μάχην καὶ τὴν οἰκείαν ἀρνουμένου μορφήν.*

Illum qui prope a *Ca* stat contuli, hunc inspexi.

Πόρνην et *Ἀχιλλέα ἀφαιρεθέντα τῆς Βρισηίδος* continet

22. Athous S. Athanasii *Ω* 123 saec. XIII fol. 196. Vide t. I p. 323 sq.

Μενέλαον et *πόρνην* praebet codex

294 23. Vaticanus gr. 847 chartaceus formae octavae saec. XV fol. 272

τίνας ἂν εἴπε (*λόγους* om) *μενέλαος* et

τίνας ἂν εἴπε λόγους πόρνη σωφρονήσασα.

274^{v} *λιβάνιος βασιλείῳ· εἰ ταῦτα* = ep. 1588. 1598—1601. Inspexi.

Denique ecloga ad singulas ethopoeias redacta est:

24. Vaticanus gr. 953 saec. XV fol. 72 continet *Ἀνδρομάχην*. Vide supra p. 331;

25. Neapolitanus II E 19 (CLIV in indice Cyrilliano) saec. XV fol. 119 *Μενέλαον*. Vide t. I p. 331 sq.;

26. Vaticanus gr. 887 saec. XVI fol. 116 *ζωγράφον γράφοντα Ἀπόλλωνα*. Vide supra p. 11.

Omnium vero gratissima fuit ethopoeia *πόρνη σωφρονήσασα*, quam solitariam exhibent

27. Vaticanus gr. 82 saec. XIV fol. 192^{v}. Vide t. I p. 48 sq.

28. Escurialensis Ψ-IV-1 (471 in catalogo Milleriano) saec. XV/XVI fol. 380. Vide t. V p. 187 sq.

29. Oxoniensis Baroccianus gr. LVI (= Bar) saec. XIV fol. 34^{v}. Vide t. I p. 344 sq. Codex prope ad *CaPal* accedit sed his pretio cedit. Descripsit et ut epistulam Iuliani post edictum de prostitutione ad sacerdotem Veneris Syriae missam edidit[1]) Cumontius Rev. de phil. XVI 161.

Ex hoc descriptus est codex

295 30. Cantabrigiensis collegii Trinitatis collec-

---

1) Quod res est breviter monui Mus. Rhen. L 168.

tionis Galeanae O. 1. 36 (1060 in catalogo Iamesiano)[1]) *Londini 5^{to} Novembris 1622* manu Patricii Iunii qui in margine ethopoeiae fol. 84^{v} adnotavit: *Haec ἄνευ ἐπιγραφῆς in ms. codice statim post Iuliani Imp. epistolas aliquot repcriebantur. Libanii autem epistolae duae sequebantur, qui professionis huius sive epistolae sive sermonis meretricis paenitentia ductae et ad vitam pudicam redeuntis author fortasse est.* Anepigrapham esse epistulam dicit Iamesius quem inter Cumontium et me ipsum de hac ethopoeia acta fugerunt.

Examinavi.

31. Vaticanus Urbinas gr. 152 chartaceus formae 296
octavae saec. XV continet

fol. 377 *σεβήρου σοφιστοῦ ἀλεξανδρέως· ὡς δέ τινες φασὶ προκοπίου τίνας ἂν εἶπε λόγους μενέλαος ἀλεξάνδρου τὴν ἑλένην ἁρπάσαντος*

λιβανίου: τίνας ἂν εἶπε λόγους πόρνη σωφρονήσασα

377^{v} *σεβήρου ὡς δέ τινες φασὶ προκοπίου τίνας ἂν εἶπε λόγους ὁ ἕκτωρ ἐν ᾄδου (ἀκούσας* om) *πρίαμον συγγεύσασθαι ἀχιλλεῖ.*

Inspexi.

32. Matritensis N-98 saec. XV fol. 136^{v}. Vide t. II p. 54 sq.

De necessitudinis vinculo quod inter codices corporales in censum vocandos *BaPaBPLVi* intercedit ad ea te delego quae p. 15 exposui.

Ex eclogariis paucos speciminis loco adhibuisse satis habui. E quibus primum locum tenet Cantabrigiensis Universitatis Dd. XI 54 (*Ca*), quem in universum quidem cum priore familia maximeque cum *B* facere, sed hic illic etiam vestigia alterius familiae referre supra (p. 363) dixi. Proxime ab eo stat in duabus ethopoeiis (18 et 12) Palatinus Heidelbergensis 356 (*Pal*) sed pretio ei cedit. Etiam deterior est in ethopoeia 18 Baroccianus gr. 56 (*Bar*).

Duas ultimas ethopoeias (26 *Τίνας ἂν εἴποι λόγους*

---

1) James, The Western Manuscripts in the library of Trinity College III p. 41 sq.

εὐνοῦχος ἐρῶν et 27 *τίνας ἂν εἴποι λόγους ζωγράφος γράψας κόρην καὶ ἐρασθεὶς αὐτῆς*) quae a corpore eclogisque absunt medias inter progymnasmata et orationes Libanii unus servavit codex

33. Parisinus gr. 3016 (= Par) saec. XV fol. 226 et 214. Vide t. I p. 53 sq. Ambae sunt aperte subditae, altera Severo tribuenda cum codicibus Palatino gr. 356 fol. 9ᵛ (*Pal*), quem aeque atque Parisinum contuli, Parisino gr. 2985[1]) fol. 265, Matritensi N-115 fol. 211ᵛ, quamvis inter ethopoeias huius sophistae in codicibus Parisino gr. 2918 et 2544 desit. Severo primus tribuit Allatius Exc. Var. Soph. p. 227 qui codice Palatino usus est, quem secuti sunt Thom. Galeus (Rhetores selecti. Demetrius Phalereus de elocutione, Tiberius Rhetor de schematibus Demosthenis, Anonymus sophista de rhetorica, Severi Alexandrini ethopoeiae; Demetrium emendavit; reliquos e MSS edidit et Latine vertit; omnes notis illustravit Oxonii 1676 p. 229—231[2])) et Walzius Rhet. gr. I 536 qui satis habuit adnotasse: *Libanio adscribitur in editione Reisk. Tom. IV p. 1097, quo iure, me quidem latet.* De Severo quamquam ne ego quidem ambigo, tamen hanc ethopoeiam aeque atque antecedentem anonymi ut Pseudolibanianam ab hac editione non secludendam existimavi.

Testimonia desunt excepto quod Ioannes Cinnamus ethopoeia inedita quae in codice Neapolitano III A 6 saec. XIV fol. 100ᵛ—102 inscripta est *ποίους ἂν εἴπε λόγους ζωγράφος ζωγραφῶν τὸν Ἀπόλλωνα καὶ Δάφνην ἐν πίνακι καὶ μὴ συγχωροῦντος τοῦ πίνακος* ethopoeiam 11 cognovisse videtur.

---

1) Parum recte huius loco ann. Fleckeis. 1876, 640 Parisinum 2918 dixi.

2) Quod is in praefatione (*Has ipsas Ethopoeias, sed adhuc integriores et aliquanto emendatiores Allatianis, fortuna non ita pridem in manus meas detulit*) se Severi ethopoeiarum codicem Allatiano meliorem nactum esse dicit, id in alias quidem, verum non in *ζωγράφου* ethopoeiam cadit. Nec quicquam Galeus in Notis p. 253 ad eam adnotavit. Galeanam vero editionem repetivisse satis habuit Io. Frid. Fischer, Rhetores selecti, Lipsiae 1773 p. 220—223.

Lucem primum viderunt duae ethopoeiae *τίνας ἂν εἴποι λόγους Ἀνδρομάχη κειμένῳ ἐφ' Ἕκτορι* et *τίνας ἂν εἶπε λόγους ὁ Χείρων ἀκούσας ἐν τῷ παρθενῶνι εἶναι τὸν Ἀχιλλέα* editione Barbati p. 53—55 (= Barb) e Vindobonensi profecta et a Camerario paucis locis correctis repetita, p. 207—211 (= Cam).[1] Secuta est duarum primarum ethopoeiarum (*τίνας ἂν εἴποι λόγους Μήδεια μέλλουσα ἀποσφάττειν τοὺς ἑαυτῆς παῖδας* et *τίνας ἂν εἴποι λόγους Ἀνδρομάχη ἀναιρεθέντος Ἕκτορος*) editio ab Erasmo curata primumque anno 1522 Basileae foras missa, anno 1525 Coloniae, anno 1540 Basileae, eodem anno Parisiis apud Ioannem Lodovicum Tiletanum repetita (= Er)[2], quae e codice familiae *B* cum Bodleiano Miscellaneo 104 vel Palatino gr. 122 cognato fluxit.[3] Reliquas ethopoeias e Parisino gr. 3014 (*P*) protraxit Fed. Morellus: ac primum quidem sex (*τίνας ἂν εἴποι λόγους ζωγράφος γράφων τὸν Ἀπόλλωνα εἰς δάφνην ξυλίνην, δειλὸς θεασάμενος πόλεμον ἐν τῷ οἰκείῳ,*[4] *Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ, ὁ Μενέλαος μαθὼν περὶ τῆς τοῦ Ἀγαμέμνονος τελευτῆς, ἡ Νιόβη κειμένων τῶν παίδων, δευτέρα ἠθοποιία εἰς τὸ αὐτό*) cum versione latina in Commentationibus et Coniectaneis in Statii silvas Lutetiae anno 1601 editis p. 57 sq.[5]), quarum quattuor in editione inscripta: *Λιβανίου σοφιστοῦ ἠθοποιίαι τινές. Libanii Sophistae ethopoeiae seu morales fictaeque orationes. Nunc primum graece prodeunt e Bibl. Reg. cum interpretatione Fed. Morelli Prof. Reg. Parisiis apud Fed. Morellum. MDCIII* (p. 1 *τίνας ἂν εἴποι λόγους ζωγράφος γράφων τὸν Ἀπόλλωνα εἰς δάφνην ξυλίνην καὶ τοῦ ξύλου μὴ δεχομένου τὰ χρώματα;*

1) Vide supra p. 25 sq.

2) Vide t. V p. 196 sq. Usus sum editione quae penes me est Coloniensi.

3) Concinunt Pal. gr. 122 et Er in *εἰς* p. 374, 13 omisso et in lectione *ἧς* pro *ὅσων* p. 375, 5.

4) Huius atque alterius *δειλοῦ φιλαργύρου εὑρόντος χρύσεον ξίφος* (20) ethopoeiae versionem gallicam Morellum anno insequenti 1602 edidisse supra p. 214 not. 2 commemoravi.

5) Vide supra p. 18 not. 3. Usus sum exemplari bibliothecae Bodleianae.

p. 3 τ. ἀ. εἰ. λ. δειλὸς θεασάμενος πόλεμον ἐν τῷ οἰκείῳ οἴκῳ γεγραμμένον — *has tres voces a blatis voratas divinare oportuit* —; p. 6 τ. ἀ. εἰ. λ. ὁ Μενέλαος μαθὼν περὶ τῆς τοῦ Ἀγαμέμνονος τελευτῆς; p. 9 τ. ἀ. εἰ. λ. Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ; p. 12—18 continent versionem latinam) cum versione latina repetitae sunt[1]) (= Mor[1]); deinde omnes 25 quae illo codice continentur editionis operum Libanii volumine primo Parisiis anno 1606 foras misso p. 138—171 (= Mor). Nihil nisi eclogam trium ethopoeiarum (ὁ Χείρων ἀκούσας ἐν τῷ παρθενῶνι εἶναι τὸν Ἀχιλλέα; Μήδεια μέλλουσα ἀποσφάττειν τοὺς ἑαυτῆς παῖδας; ὁ Μενέλαος μαθὼν περὶ τῆς τοῦ Ἀγαμέμνονος τελευτῆς) ex hac editione factam exhibet editio inscripta: *Λιβανίου Σοφιστοῦ προγυμνασμάτων παραδείγματα, καὶ ἠθικῶν λογῶν λόγος γ Libanii Sophistae Praeludiorum oratoriorum exempla; et Moralium Serm. III Parisiis, Apud Claudium Morellum via Iacobaea, ad insigne Fontis. M.DC.XII,* (= Mor[2]) de qua supra p. 19 sq. verba feci.

Denique Morellus secundo volumine Libanii operum Parisiis anno 1627 emisso p. 733—735 e Parisino gr. 3016 (*Par*) duas ultimas (26 et 27) ethopoeias ut Libanianas prodire iussit. Quarum ultimam secundum codicem Vaticanum Palatinum 356 (*Pal*) Allatium (= All) assentientibus Galeo (= Gal) Walzioque (= Walz) recte Severo tribuisse supra monui.

Reiskius codicum subsidiis privus textui quidem Morelliano emendando operam impendit fructuosissimam, sed ad finem non perduxit. Nam initio ethopoeiae 15 (p. 1034) adnotavit: *sed iuvat reliquas ethopoeias praeterire, quae non videntur Libanii esse. mihi certe non placent. saltim ex earum gustu. nam parum earum legi. Transibo ad Ecphrases.* Uxor vero quae editionem curavit (t. IV p. 1009—1046; 1096—1098) (= Re) plurimas mariti emendationes in notis relinquere quam in textu reponere maluit.

---

1) Etiam notae marginales eaedem sunt. Dedicatio *Reverendissimo et Ampl. V. D. D. Francisco Gueslaeo Turonensi Archiepiscopo Sacri Consistorii Senatori* facta subscriptionem exhibet: *Lutetiae IV Kal. Ian. CIↃIↃCII.* Usus sum editionis hodie rarissimae exemplari quod olim Calvarii mihi miserunt.

De recentiorum textus emendandi conaminibus ad ea te delego quae p. 61 dixi.

Ego ordinem ethopoeiarum a Morello temere constitutum cum eo commutandum esse duxi quem consensus codicum utriusque familiae repraesentat, etsi ne hunc quidem manum Libanii reddere haud ignoro. Nam quamquam Reiskii[1]) quam modo protuli sententia quin a vero abhorreat non dubito, tamen mihi quoque inter illas consensu codicum traditas ethopoeias complures subditas reperiri constat. Quarum ego numero habendas esse duco propter inscitiam artis ambagesque elocutionis nonam (*Τίνας ἂν εἴποι λόγους ἡ Νιόβη κειμένων τῶν παίδων; τὸ αὐτό*), tertiam decimam (*Ἀχιλλεὺς ἐρῶν μετὰ τὴν ἀναίρεσιν Πενθεσιλείας. τὸ αὐτό*), in qua etiam bis (p. 404, 17; 405, 4) forma *περιῇς* occurrit, ut *ᾖς* in declamationibus subditis t. VI 259, 8; VII 124, 4; 694, 16, vicesimam (*δειλὸς φιλάργυρος εὑρὼν χρύσεον ξίφος*)[2]), quae et voces, ut *διοδεύειν* p. 420, 15, et formas a Libanio alienas, ut aoristum *ἐκέρδησα* p. 420, 7, qui idem in declamatione subdita t. VII 130, 18 occurrit, *κουφίσω* p. 420, 17, exhibet, vicesimam alteram (*Μενοικεὺς ὑπὲρ νίκης τῆς πατρίδος ἑαυτὸν ἀποσφάξαι βουλόμενος*), in qua dictio Libanio insolita *τῆς πατρίδος* (*Ἑλλάδος*) *προαπελθεῖν* = *pro patria mori* ter (p. 424, 16; 425, 10 et 12) occurrit, vicesimam quartam (*Ὀδυσσεὺς πρὸς τὸν Κύκλωπα ὁρῶν τοὺς ἑταίρους ἐσθίοντα*), vicesimam quintam (*Ὀδυσσεὺς τοὺς μνηστῆρας ἀνελών*), quae imitationem ethopoeiae vicesimae tertiae et *ἐγκωμίου Ὀδυσσέως* p. 225, 15 sq. Libanii prodit structuramque non Libanianam *γίγνεσθαι ἐπὶ τὸν ἀγρὸν* p. 434, 7 exhibet. Ac ne septima quidem (*Αἴας στερηθεὶς τῶν ὅπλων*), sexta decima (*Πολυξένη κελευομένη παρὰ τῶν Ἑλλήνων κομίζεσθαι*), septima decima (*Μήδεια γαμοῦντος ἑτέραν Ἰάσονος*), undevicesima (*δειλὸς θεασάμενος πόλεμον ἐν τῇ ἰδίᾳ οἰκίᾳ γεγραμμένον*), quam Hermannus de Rohden, De mundi miraculis p. 42 a Libanio abiudicavit, suspicione carere mihi videntur.

1) Qui etiam omnes tres Ulixis ethopoeias (23, 24, 25) vix Libanii esse censuit p. 1031 not. 44.

2) Hanc etiam Iacobsius in exemplari suo corruptissimum caput et mire ineptum dixit.

XI.

Ἠθοποιίαι.

α'.

R IV 1009 *Τίνας ἂν εἴποι λόγους Μήδεια μέλλουσα ἀποσφάττειν τοὺς ἑαυτῆς παῖδας;*

1. Εἶχον ἄρα καὶ αὐτὴ βοήθειαν τὴν παρὰ τῆς τέχνης καὶ οὐκ ἔμελλον ἀλγήσειν μόνον ἀδικουμένη, ἀλλὰ καὶ λήψεσθαι δίκην. οὐκέτι βασιλεὺς Ἰάσων, οὐκέτι τῷ Κορινθίων ἐπαιρόμενος πλούτῳ. πάντα ἀνέτρεψεν ὁ στέφανος, πάντα διέφθειρεν ὁ πέπλος, πάντα συγκέχυται τῷ πυρί. καὶ πρόσεστι τῇ συμφορᾷ τὸ τῆς ἀγνοίας μέρος, τὸ μηδὲν ὑπιδέσθαι τῶν παρ' ἐμοῦ. 2. τί οὖν; ἀρκεῖν ἡγησόμεθα ταῦτα καὶ πλέον οὐδὲν ζητήσομεν; μηδαμῶς. ἔστιν ἑτέρα τιμωρία χαλεπωτέρα τῆς προτέρας οὐδὲν δεομένη φαρμάκων καὶ λανθανούσης μηχανῆς, ἀλλὰ γνώμης ἀνδρειοτέρας καὶ δεξιᾶς μηδὲν ὀκνούσης. εἰσὶ παῖδες τῷ πάντων ἀδικωτάτῳ

---

7 Ovid. Her. XII 182 8 Ovid. l. l. 204 9 cf. p. 413, 7; 414, 4. Eur. Med. 1159 sq. 1185 sq. 10 cf. p. 414, 4

---

4 *σφάττειν Vi* | *αὐτῆς Vi αὑτῆς Pa* 5 *αὐτὴ] τὴν Pa* | *τὴν* om *Vi* 7 *οὐκ ἔτι*(1 et 2) *LVi* edd 8 *τῷ* scripsi *τῶν* libri edd | *ἐπαιρόμενος* (*ἐπαιρούμενος Ba* sed *ἐπ* delet., et *γρ* in marg Mor)· *πλοῦτον BaPaB* Er et *γρ* in marg Mor 11 *ἀγνοίας* scripsi e *PLVi ἀνοίας BaPaB* edd sed *γρ ἀγνοίας* in marg Mor | *τῶ BaPaPLVi* | *τῆς* Er Mor 13 *μηδαμῆ LVi* 14 *πρώτης PLVi* et *γρ* in marg Mor | *δεομένης BaPa* 16 *πάντα PLVi*

καὶ καλεῖται πατήρ. ἀφελώμεθα ταύτην αὐτὸν τὴν παραμυθίαν καὶ τὴν προσηγορίαν.

3. *Οὐδὲν ἐᾷ με τῶν δικαίων ἐξετάζειν τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν ἐμῶν κακῶν, ἀλλ' ὅταν λογίσωμαι τί δράσασα τίνων ἀπολέλαυκα, πάντα πρὸς δίκην ἡγοῦμαι μικρά. Αἰήτης ἐμοὶ πατὴρ καὶ Σκυθῶν ἦν βασιλεύς. καὶ παρθενία καὶ φήμη βελτίων καὶ πολλοὶ τῶν ἐν τέλει μνηστῆρες καὶ τῶν παρόντων ἐλπίδες ἀμείνους.* 4. *κατέπλευσεν ὁ μιαρὸς οὗτος ὁ μήτε θεοὺς φοβούμενος μήτ' ἀνθρώπους αἰδούμενος καὶ ἦν ἐν πᾶσι* | *κακοῖς καὶ τῶν ἀδυνάτων ἔδει γενέσθαι* R IV 1010 *κρείττω, ταύρων πῦρ ἀφιέντων, ὁπλιτῶν ἐκ γῆς ἀνατρεχόντων, δράκοντος οὐκ εἰδότος καθεύδειν.* 5. *τὸ μὲν οὖν δίκαιον ἦν ἥττω δειχθῆναι τῶν ὅλων καὶ πεσεῖν αὐτὸν καὶ τὴν νίκην γενέσθαι τοὐμοῦ πατρὸς καὶ μὴ καταγελάσαι τῆς Αἰήτου βασιλείας ἄνθρωπον ἑνὸς πλοίου δεσπότην· ἐγὼ δὲ ἡ πάντας μὲν παρελθοῦσα*

---

6 Chor. Priam. Herm. XVII 231, 11 12 sq. cf. p. 413, 4 sq. Ovid. Her. XII 40 sq. Pind. Pyth. IV 224 sq. [Apollod.] bibl. I 9, 23

---

1 *αὐτὸν* scripsi e *BaBPL* *αὐτῶν Pa* edd *αὐτῷ Vi* *αὐτοῦ* Iacobs Lect 174 4 *τὸ* inserui e *PLVi* om *BaPaB* edd | *ὅταν λογήσομαι* Er Mor sed in hoc γρ *εὐθυμηθῶ* in marg *ὢ τίς* (*τις P* sed *ς* del *τὶ Vi*) *ἐνθυμηθῶ* (*ἐνθυμηθῇ PL*) *PLVi* 5 *ἀπολέλαυκα* scripsi e *PLVi* *ἀπήλαυσα BaPaB* Er Mor sed in hoc γρ *ἀπολέλαυκα* in marg *ἀπέλαυσα* Re 6 *σμικρά Vi* | *καὶ* ante *αἰήτης B* | *βασι*^λ *BaPa* *βασιλὶς* Re 7 *πάρθων Vi* 10 *φοβούμενος* scripsi e *PLVi* *δεδιὼς BaPaB* edd | *μήτε PLVi* | *αἰσχυνόμενος PLVi* *φοβούμενος* Mor sed γρ *αἰδούμενος ἢ αἰσχυνόμενος* in marg, Re 11 *καὶ* om *Vi* 12 *κρείττων BaPaB* Er 14 *ἥττων B* | *ἄθλων* coni Iacobs Lect 15 *αὐτὸν* scripsi *αὐτῶ Vi* *αὐτοῦ* reliqui libri edd

16 *ἀνθρώπου Pa* *ἄνθρωποι PLVi* 17 *δεσπό*' *PL* *δεσπόται Vi* | *μὲν* om *Vi*

προδότας πονηρίᾳ, πάντας δὲ ἀνοήτους μωρίᾳ τοὺς μὲν οἰκείους ἐχθρούς, τοὺς δὲ ἐχθροὺς οἰκείους ἡγησάμην καὶ κατὰ τῆς πατρίδος ἔστην μετὰ τῶν ἀλλοφύλων καὶ τὴν τέχνην ἀντέταξα τῇ φύσει. 6. τῶν θηρίων ἔσβεστο τὸ πῦρ, ἤνεγκαν οἱ ταῦροι τὸν ζυγόν, εἶξεν ἀρότρῳ γῆ πάντων στερροτέρα, καθεύδων ὤφθη δράκων οὔπω πρότερον τοῦτο παθών, ἐν χερσὶν ἦν τὸ δέρας τοῦ τρέμοντος, ἐγὼ δὲ ἐπὶ τούτοις ἀνέβαινον εἰς τὴν ναῦν πολλαῖς πιστεύσασα καὶ μεγάλαις ἐπαγγελίαις, ὅρκοις, αὐταῖς ταῖς εὐεργεσίαις. ἐδέξατο τῆς ἐμῆς εὐνοίας ἀπόδειξιν καὶ Ἰωλκός, οὗ βασιλεὺς Πελίας δυσμενὴς γέρων ὑπὸ τούτων ἃς ἐγέννησε κατεκόπτετο νεότητος ἐλπίδι προαπελθὼν ἀπάτῃ. 7. τὰ μὲν εἰς Ἰάσονα παρ' ἐμοῦ τοιαῦτα, τὰ μὲν οἴκοι, τὰ δὲ ἐπὶ τῆς Ἑλλάδος· αἱ δὲ ἀμοιβαὶ τίνες; Κόρινθον εἶδε καὶ τὴν Κρέοντος ἀρχὴν καὶ περὶ τῆς Γλαύκης ἤκουσε καὶ λόγος οὐδεὶς τῶν ἐμῶν, ἀλλ' ἐγάμει παῖδας ἔχων. ᾖδεν ὑμέναιον ζώσης ἐμοῦ καὶ πάντα ἐκεῖνα ἐξεβέβλητο καὶ πρὸς τὸν ἔρωτα τῆς δυναστείας αἱ παρ' ἐμοῦ χάριτες

---

1 *τιμωρίᾳ Vi* 2 *δὲ* om *Vi* *δ' B* 3 *καὶ* om *Vi* | *ἔστιν Pa* 4 post *φύσει* punctum posui cum Mor Not colon *PL* om *BaPaBVi* edd | punctum post *θηρίων BaPaBVi* edd delevi 5 *ἄσβεστον PLVi* et *γρ* in marg Mor *ἄσβεστον τὸ πῦρ ἔσβεστο* coni Mor Not 6 *ἄροτρον Vi* | *στερρότερον PLVi* 8 *τοῦ* om *BaPaPLVi* | *τρέμοντα PLVi* et *γρ* in marg Mor | *τοῦτ' P* *τούτω L* 9 *πολλὰ L* | *ἀγγελίαις PLVi* 11 *'Ιωλκός*, scripsi e *PLVi* *ἰολκός B* edd *ἰλκός BaPa* 12 *οὓς BaPaB* | *κατέκοπτο PVi* 13 *νεοτ' PaP* *νεότητα LVi* | *ἐλπιδ' Pa* | *ἀπατ' Pa* | *εἰς* om Er | *'Ιάσονα* scripsi e *PL* *ἰάσωνα BaPaBVi* edd 14 *οἴκοι* Mor sed *γρ εἰς οἶκον* in marg 15 *δ' BaPaB* edd 16 *κι ἔοντος PLVi* | *παρὰ PVi* 17 *ᾖδεν* reposui e libris *εἶδεν* edd 18 *ἐξέβλητο PL* 19 *αἱ*] *ἂν PL*

ἠμέλητο. καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλ' ἠλαυνόμην, ὑβριζόμην, προὐπηλακιζόμην. ἐντεῦθεν εἰκότως μὲν ἠγανάκτουν, πρὸς δὲ τὴν μόνην καταφυγὴν εἶδον, τὴν τέχνην, ἡ δὲ ἤρκεσε. 8. χωρῶμεν δὴ καὶ διὰ τῶν λοιπῶν καὶ δι' ὅσων ἔξεστιν ἴωμεν. πλῆττε, Μήδεια, παῖδας, σφάττε παῖδας τοὺς Ἰάσονος, ἀνδρὸς ἀδίκου, πονηροῦ πατρός, ξένου κακοῦ. μηδέν σε τῶν πάντων διαλλαττέτω, μὴ φύσις, μὴ γαστήρ, μὴ | λογισμὸς R IV 1011 ὠδίνων, μὴ τροφή, μὴ φωνή, μὴ μορφή. ζημιούσθω μὲν Ἰάσων τοῖς παισίν, οἱ δὲ τὴν παρὰ τῶν ἐχθρῶν διαφευγέτωσαν αἰκίαν. μὴ γὰρ λάβοιεν τούτους οἱ Γλαύκης συγγενεῖς μηδ' ἀφεῖεν εἰς αὐτοὺς τὸν θυμόν. 9. δεινὸν μὲν τὸ ἔργον, ἀλλ' ἀκόλουθον τῷ προτέρῳ. περὶ τὴν φύσιν ἀσεβήσομεν. τοῦτο πάλαι τετολμήκαμεν. ἀδελφοῦ φόνος ἐπὶ τὸν τῶν παίδων παραπέμπει φόνον. τῆς αὐτῆς ἐστι καὶ τοῦτο γνώμης, τῆς αὐτῆς δεξιᾶς.

10. Ἥκετε, ὦ παῖδες, ὑπὸ τὸ ξίφος, ἥκετε. τοῦτο

---

15 Absyrtus cf. p. 413, 7. Nicol. prog. ed. Walz Rhet. gr. I 303, 10 sq. [Apollod.] bibl. I 9, 24

---

1 ὑβριζόμην ἠλαυνόμην *Vi* 2 προυπηλακιζόμην om *Vi* | ἐνταῦθα *PLVi* et γρ in marg Mor 4 ἤρκεσε reposui e libris ἤρκεκε edd 5 ὅσων] ἧς Er 6 τοὺς scripsi e *BaPaB* τοῦ *PLVi* edd | Ἰάσονος scripsi e *P* sed ο ex ω corr, *L* ἰάσωνος reliqui libri edd 8 μὴ γαστήρ, μὴ φύσις *Vi* 10 παισί *Pa* | τὴν om *Vi* 11 διαφευγέτωσαν om Er | λάβοιμεν *Pa* | τοῦ' *P* τούτω *L* τοῦτο *Vi* | ἡ *PL* 12 μὴ δὲ *P* μηδὲ *L* ἀφεῖεν scripsi ἀφήσειεν *Ba* edd ἀφήσαιμεν *Pa* ἀφήσαιεν *B PLVi* ἀφήσειαν vel potius ἀφήκειαν coni Re ἀποσβέσαιεν Iacobs Lect 14 περὶ scripsi e *PL* παρὰ *BaPaBVi* edd πάλιν *BaPa* 15 ἀποπέμπει *PL* et γρ in marg Mor ἀναφέρει *Vi* 16 τοῦτο καὶ *Vi* | αὐτοῦ *PLVi* 18 Ἥκετε, ὦ] ἱκετεύω *BaPaB* Er et γρ in marg Mor

εἰς ὑμᾶς ὁ πατὴρ ὠθεῖ δι' ἐμοῦ. εἰ γὰρ ἐκεῖνος ἦν χρηστός, οὐδέν γε τούτων ἔδει. καλαί γε αἱ μορφαί, καλὸς ὁ τύπος τοῦ σώματος. ἀλλ' ἐοίκασι τῷ πατρί. τοῦθ' ἥδιω μοι ποιήσει τὸν φόνον.

11. *Οἱ μὲν οὖν αὐτίκα κείσονται, ἐγὼ δὲ ἄνωθεν ἐξ ἀέρος μέσου τὸν ἀλιτήριον ὄψομαι, καὶ στένων καὶ πάντα ποιῶν βοήσεται μέν, οὐ μὴν λήψεταί μου. τοιούτῳ ζεύγει θαρρῶ δρακόντων. ἐπιβᾶσα δὲ τῶν Ἀθηνῶν ἐκεῖσε τὴν λύπην ἀποθήσομαι.*

β'.

R IV 1011 *Τίνας ἂν εἴποι λόγους Ἀνδρομάχη ἐπὶ Ἕκτορι;*

1. *Ἥκει δὴ πρὸς ἔργον ὁ φόβος καὶ τοὺς ἐμοὺς λόγους Ἕκτωρ ὑπεριδὼν ἔγνω με τὰ βέλτιστα εἰσηγουμένην. παρῄνουν ἑαυτοῦ φείδεσθαι. ὁ δὲ ἠφείδησε. τοιγαροῦν τέθνηκεν οὐκ ἐν ταῖς ἡμετέραις, ὦ θεοί, χερσίν, ἀλλ' ὑπὸ τοῦ Ἀχιλλέως.* 2. *τὸ δὲ ἐκεῖνον τε-*

---

6 cf. p. 414, 8 sq. [Apollod.] bibl. I 9, 28 8 Eur. Med. 1384 11 Hermog. prog. 9 ed. Walz. Rhet. gr. I 44 (II 15 ed. Spengel. VI 20, 8 ed. Rab.) 14 Il. ζ 407 sq.

---

2 *γε τούτων ἔδει* om *B* sed in lac 10 litt, Er | *καλαί* om *B* | *γε* inserui e *PLVi* om *BaPaB* edd 3 *τοῦ σώματος* scripsi e *PaPLVi* et *γρ* in marg Mor *τῶν σωμάτων BaB* edd | *ἐοίκασί γε PVi* 5 *δ' BaPaB* edd 6 *καὶ στέγων* post *καὶ στένων PLVi* Mor Re qui delenda censuit 7 *οὐ* reposui e libris *οὐδὲ* edd | *μὴν* om Er | *μου* scripsi e *BaPaPLVi* *με* *B* edd sed *γρ μου* in marg Mor 8 *δράκοντι PLVi* et *γρ* in marg Mor 9 *ἐκεῖσε* scripsi e *BaPaPLVi* *ἐκεῖθεν B* edd sed *γρ ἐκεῖσε* in marg Mor qui *τὸν λυπηθέντα ὀφθήσομαι* coni Not 12 *ἐπὶ Ἕκτορι* scripsi e *BaPaPL* *ἐφ' ἕκτορι Vi* *κειμένῳ ἐφ' Ἕκτορι* Barb Cam Mor Re *ἀναιρεθέντος ἕκτορος BCa* Er 14 *μετὰ Ba* | *βελτίω BaPa* 16 *θεά BaPa* 17 *τῶν BaPaPLVi* Barb Cam Mor Re

θνάναι τὸν Πρίαμόν ἐστιν ἀπολωλέναι, τὴν Ἑκάβην, τοὺς ἀδελφούς, τουτὶ τὸ | παιδίον, ἐμέ, τὴν πό- R IV 1012 λιν ὅλην. ἐκεῖνος ἔσωζε τὸ Ἴλιον. πόθεν οὖν ἔτι σωθήσεται; ἔρρει πάντα καὶ διέφθαρται. καὶ γέγονα γυναικῶν ἀθλιωτάτη. οἵας με γεύσας ὁ δαίμων εὐδαιμονίας ἀπεστέρησεν; 3. ἦν μοι πατὴρ καὶ μήτηρ ἐν βασιλείοις καὶ χορὸς ἀδελφῶν καὶ πάντα λαμπρά. τούτοις προσεγένετο μεῖζον ἕτερον, σύνοικος Ἕκτωρ, ὁπλίτης θαυμαστός, ⟨σύμβουλος⟩ ἀγαθός. ἐβλεπόμην, εὐδαιμονιζόμην. καὶ τὴν Ἀνδρομάχην τις προσειπὼν τὴν τοῦ στρατηγοῦ προσέθηκεν ἄν, τὴν τοῦ κρατοῦντος, τὴν μακαρίαν. 4. ἔδει μὲν οὖν μέχρι γήρως δι' ὁμοίας ἀφικέσθαι τῆς τύχης, ἀλλ' οὐκ εἴασεν ὁ χαλεπὸς οὗτος Ἀχιλλεύς, ὃν ἡ Θέτις ἔτεκεν ἐπ' ἐμοί. κατήνεγκέ μοι τὸν πατέρα, ἀπέσφαξε τοὺς ἀδελφούς, δουλείαν ἐπέβαλε τῇ μητρί, εἶτα ἀπέδοτο, καὶ οὐδὲ αὐτὴ περίεστι. 5. καὶ ταῦτα δεινὰ μέν, φορητὰ δὲ ἐποίησας, Ἕκτορ, τὰ δυστυχήματα καὶ τὰ πάντων παρεῖχες μόνος καὶ ὧν ἐστερόμην, ᾤμην εἶναί

---

3 Il. ζ 403 6 Il. ζ 395 sq. 14 sq. Il. ζ 414 sq.
18 Il. ζ 429 sq.

---

1 τὸν om *L* | πρίαμον ἔστιν ἰδεῖν ἀπολωλέναι *BaPa*

4 ἐπὶ ante γυναικῶν *BCa* Er 5 ἀθλιώ^τ^' *BaPaP* ἀθλιώτατος *LVi* Barb | γεύσασαν Mor Re qui γεύσας scribendum vidit | ὁ δαίμων om *Ca* 8 θαυμαστός om *BCa* Er 9 σύμβουλος inserui om libri edd | ἐθαυμαζόμην *Vi* Barb Cam Mor sed in hoc γρ εὐδαιμονιζόμην in marg, Re 10 τίς libri edd | τὴν om *Vi* Barb Cam 11 ἄν, τὴν] αὐτὴν Barb Cam Mor Re qui αὖ vel ἂν τὴν coni 12 τῆς om *Ca* 13 εἴασε Mor Re

14 τὸν om Barb 16 οὐδ' *BaPa* | αὖ^τ^` *Pa* αὐτὸ *BCa* | δεινὰ μὲν καὶ ταῦτα *Ca* 17 ἐποίησας *P* sed ας ex εν corr ἐποίησες *LVi* ἐποίησεν *BaPa* ἐποίεις *BCa* | Ἕκτορ scripsi e *P* sed ο ex ω corr, *L* ἕκτωρ *BaPaBVi* Barb Cam Mor Re ὦ ἕκτορ *Ca* ὦ ἕκτωρ Er 18 πάντα *BCa* Er | ἐστερήμην *Pa*

μοι διὰ σέ. ἀλλ' ἀπεσφάγης, ἐδέξω τὴν πληγήν. ᾠχόμεθα, ἀπολώλαμεν. πρόσεισι τὰ δεινά, πλησίον ὁ κίνδυνος, ἐγγὺς τὸ πῦρ. ὁρᾶν μοι δοκῶ τοὺς Τρῶας κατακοπτομένους, τὰς γυναῖκας ὑβριζομένας, ⟨τὰς παρθένους⟩ αἰσχυνομένας, τοὺς παῖδας ἑλκομένους, ὁρᾶν τὸν σίδηρον, ὁρᾶν τὴν φλόγα. ἀνέῳκται τοῖς πολεμίοις τὸ Ἴλιον οὐκέτι σοῦ προβεβλημένου τῶν πυλῶν.

6. *Ὦ παιδίον, ἴσως σε λαβών τις τῶν πολεμίων προσαράξει τῷ πύργῳ. γενναῖος ἦν ὁ πατήρ. ὀφείλεις δίκας τοῖς Ἀχαιοῖς. ἐμὲ δὲ ἄρα ἀποκτενεῖ τις. τοῦτο γοῦν εὐτυχήσομεν. ἀλλ' οὐκ ἔστι. δουλεία με μένει καὶ διακονία, πληγαὶ καὶ διὰ τέλους δάκρυα. καὶ γῆν ἴσως ὄψομαι παρ' ἧς ἡμῖν οὗτος ὁ πολέμιος ἐπῆλθε.* R IV 1018 *τάχα που* | *καὶ τὸ δεινὸν ἀναγκασθήσομαι, μίγνυσθαι τῷ τὸν Ἕκτορα ἀπεκτονότι.*

---

4 Isocr. antid. § 251 p. 402, 12 ed. Bekk. 7 Chor. Priam. Herm. XVII 237, 34 14 Paus. I 11, 1

---

1 *διὰ σέ* scripsi e *BaPaBCa* *δια* cum lac 5 fere litt *PL* *διὰ σοῦ Vi* Barb Cam Mor Re *διά σε* Er 3 *μὲν BaPa* 4 *αἰσχυνομένας ὑβριζομένας Ca* | *τὰς παρθένους* inserui om libri edd 5 *αἰσχυνομένας* om Er | *ὁρᾶν τὸν σίδηρον, ὁρᾶν τὴν φλόγα*] *ὁρᾶν τὸ πῦρ, ὁρᾶν τὸν σίδηρον* Barb Cam Mor sed in hoc *γρ τὴν φλόγα* ad *τὸ πῦρ* in marg, Re 7 *οὐκ ἔτι Vi* edd 8 *λαβὼν τίς PaP* 9 *προσαρράξει PLVi* Barb Cam Mor Re *προσάξει B* Er | *ὁ φίλος Ca* 10 *δὲ* om *BCa* Er | *τίς PaCa* Er 11 *οὐκ ἔστι*] *οὐκέτι PL* *οὐκ ἔτι Vi* Barb Cam Mor Re qui *οὐκ ἔστι* coni 12 *διατέλους PLVi* Barb Cam Mor Re | *γῆν* om *Ca* *μὴν B* Er 13 *ἦλθε BCaLVi* Barb Cam Mor sed in hoc *γρ ἐπῆλθε* in marg, Re 15 *ἀποκτείναντι BaPa* Barb Cam Mor Re *ἀποκτενόντι Vi*

γ'.

Τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ κειμένῳ; R IV 1024

1. Οἴμοι τῆς παρούσης συμφορᾶς. πέπτωκας, Πάτροκλε. ἐφ' ἑτέραις μὲν ἐπέμπου ταῖς ἐλπίσιν, ἑτέρας δὲ τῆς τύχης ἐπειράθης. ἐγὼ μὲν ἤλπιζόν σε νενικηκότα δέχεσθαι, νυνὶ δὲ τετελευτηκότα θρηνῶ. ἐπὶ κακῷ τότε τοῖς Ἕλλησιν ἐβοήθησας. οὐκέτι γὰρ ὄψομαί σε τὸν φιλέταιρον, τὸν πάντων μοι τῶν ἑταίρων τιμιώτατον. εἴθε μοι κατὰ σκηνὴν ἔμενες, καὶ τούτων ἂν ἦμεν ἡμεῖς ἀπηλλαγμένοι τῶν θρήνων. ταῦτ' ἐφοβούμην, ταῦτ' ἐκβέβηκεν. 2. ἀλλὰ γὰρ ἀναμιμνήσκομαι τῶν πρότερον ἀγαθῶν, τῶν τότε, ὅτε μὲν κατεφρόνεις Ἀγαμέμνονος, ἐμὲ δὲ ἠγάπας, ὅτε ἀντὶ τοῦ τὸν σὸν γηροβοσκεῖν πατέρα τὴν μετ' ἐμοῦ πορείαν εἵλου καὶ οὔτε μήτηρ οὔτ' ἄλλος οὐδεὶς ἔπειθέ σε μένειν. 3. τὰ δ' ἐπὶ τούτοις οὐκ ἐλάττω· | σὺ γὰρ ἦσθα ὁ R IV 1025
φιλῶν μὲν οὓς ἠγάπων, μισῶν δὲ οἷς ἀπηχθόμην, χαίρων δὲ τοῖς ἐμοῖς ἤθεσι μᾶλλον ἢ τοῖς τῶν ἑτέρων, εὐνοῶν, συμβουλευόμενος, τιμὴν ἀπονέμων τὴν ἀξίαν,

---

2 Il. σ 316 sq. 4 cf. t. VII 729, 1

---

2 ἐπὶ Πατρόκλῳ κειμένῳ scripsi e *BaPa* ἐπὶ πατρόκλῳ *P L Vi* edd πεσόντος πατρόκλου *B* 7 νῦν *B* 8 οὐκ ἔτι *Vi* 9 φιλεταῖρον *B Vi* φίλτατον *Pa* | ἐμοὶ *Pa* | τιμιώτατον scripsi e *BaPaB* τιμιώτερον *PL Vi* edd 10 τούτων] τότε *B* 11 ταῦτα *PL Vi* edd 12 ἐκβέβηκε *PL* edd | ἀλλ' ἀναμιμνήσκομαι *Vi* 13 πρότερον scripsi e *Vi* προτέρων reliqui libri edd | μὲν inserui e *BaPa* om *BPL Vi* edd 14 ἠγάπησας *B* 15 γηρωβοσκεῖν *PL* 16 οὔτε *PL Vi* edd | σε om *B* 17 δὲ *B* edd | γὰρ] μὲν *Vi* 18 ἀπηχθήμην *Pa* 19 τοῖς τῶν scripsi e *Vi* τῶν *BaPa* sed in hoc ων in οις corr, *PL* τοῖς *B* edd

συνοργιζόμενος, ᾧ τὴν ἐμὴν ἐπίστευσα πανοπλίαν, ὅτε πολεμεῖν ἐβουλήθης, ὅτε τοὺς Ἕλληνας καὶ πάσας τὰς ναῦς τοῦ πυρὸς ἀπήλλαξας. 4. *καὶ ταῦτα μὲν οὕτως, τὰ δ' ἐντεῦθεν δάκρυα, θρῆνοι, ὀδυρμοί. τίς μοι τὴν σὴν πληρώσει τάξιν; ποίοις ἂν ὀφθαλμοῖς ἴδοιμι τὸν σὸν πατέρα, ὅταν ἐνθάδε κείμενόν σε καταλελοιπὼς ἀνέλθω;* 5. *ἀλλ' ἐπειδὴ τοῦτό γε παθεῖν ἐχρῆν, ὡς οὐκ ὤφελεν, οὐδὲ τελευτήσαντος ἀπολείψομαι, ἀλλ' ἀμυνῶ σοι κατὰ τὸ δυνατόν. ἐπειδὰν δὲ κἀμὲ τὸν βίον καταλῦσαι δέῃ, σὺν σοὶ κείσομαι. οὐ γάρ μοι θέμις μεθ' οὗ ζῶν διετέλουν, τούτου τελευτήσαντος ἐχθρὸν γενέσθαι.* 6. *εἶεν, ἐχέτω μὲν ταῦτα ἡμῖν ὡς ἔχει, ἐγὼ δὲ λοιπὸν ἐπὶ τὴν μάχην καὶ τὸν Ἕκτορα τρέψομαι καὶ οὐ πρότερον ἀνήσω πρὶν ἂν τοῦ σοῦ γεγονότος φονέως λαβόμενος καὶ τοῦτον ἀνελὼν περὶ τὸ σὸν ἑλκύσω μνῆμα οὐκ ὀλίγην ἐμαυτῷ τοῦ παρόντος ἐπὶ σοὶ πάθους διὰ τῆς Ἕκτορος ἀναιρέσεως παραμυθίαν διδούς.* 7. *ἀλλὰ τί ταῦτα λέγω γυμνὸς ὅπλων ἄνθρωπος τῷ πάντων μοι τῶν ἑταίρων τιμιωτάτῳ τὴν ἐμὴν διὰ τῶν ὅπλων ἀσφάλειαν συναπολωλεκώς, ἐφ' ᾗ νῦν ὁ*

---

5 Soph. Oed. R. 1371 sq. Charit. V 5. Dem. cor. p. 295, 10
10 Il. ψ 84 sq. Od. ω 76 sq.

---

2 *ἠβουλήθης PLVi* edd 3 *„fort. καὶ ταῦτα μὲν οὐ μεμπτὰ vel tale quid“* Re 5 *πληρώσειε PaBPLVi* 6 *ἐνθάδε* scripsi e *BaPaB* *ἐσάδου PL* *ἐς ᾅδου Vi* edd sed *„fort. εἰκῆ κείμενον aut ἄταφον (vel ἀτιμώρητον) κείμενον“* Re 7 *ἀνέλθω* scripsi *ἀπέλθω* libri edd | *γε* om *BaPa* 8 *ὤφελες Vi* | *τελευτήσαντος* scripsi e *Ba* sed *α* delet., *Pa* *τελευτήσαντα BPLVi* edd | *ἀπολήψομαι B* 9 *ἐπειδὴ* Re | *κἀμὲ τὸν βίον* scripsi e *BaPa* *τὸν βίον κἀμὲ BPLVi* edd 10 *δέῃ* scripsi *δέοι* libri edd 12 *ταῦτα ἡμῖν* scripsi e *BaPa* *ἡμῖν ταῦτα BPLVi* edd

15 *παρὰ BaPaB* 19 *πᾶν Ba* *πάντα Pa* 20 *ἀπολελωκὼς Pa*

πάντων ἔχθιστος φαιδρύνεται; πόθεν οὖν ὅπλων εὐπορήσομεν; οὔτε γὰρ Αἴαντα ἀφοπλίζειν καλὸν τά τε τῶν ἄλλων οὐχ ἁρμόδια. 8. ἀλλ' εὗρον δι' ὧν εὐπορήσομεν ὅπλων. ἐπὶ τὴν μητέρα πορεύσομαι. αὕτη πρὸς τὸν Ἥφαιστον ἀφίξεται. ἐκεῖθέν μοι τὴν πρέπουσαν πανοπλίαν κομιεῖ, ᾗ χρησάμενος τιμωρήσω τῷ | R IV 1026 πεπτωκότι φίλῳ καὶ δίκην λήψομαι παρὰ τοῦ ταύτης τῆς συμφορᾶς αἰτίου.

δ'.

Τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἡττωμένων τῶν Ἑλλήνων; R IV 1036

1. Ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν Ἀγαμέμνων γινώσκει τὴν ἡμετέραν ῥοπὴν καὶ παθὼν μεμάθηκε μὴ τοὺς ἀρίστους ἀτιμάζειν. φεύγει καὶ τρέμει καὶ πέφρικε καὶ περὶ ἀποπλοίας ποιεῖται λόγον ἐν τοῖς Ἀχαιοῖς ὁ νεανίας. καίτοι τούτων οὐδὲν ἂν ἦν, εἰ σωφρονεῖν ἤθελε καὶ μὴ τοῖς ἑαυτοῦ λυμαίνεσθαι πράγμασι. 2. καλῶς, ὦ θεοί, καλῶς ἐδικάσατε τοὺς μὲν ταπεινοὺς ἄραντες μεγάλους, τοὺς Τρῶας, τοὺς δὲ φοβεροὺς δι' ἐμοῦ πρότερον ταπεινώσαντες, τοὺς Ἕλληνας. μηδεὶς γὰρ ἀχάριστος εὖ πραττέτω. οὐκ ᾐσχύνθη τὰς τρεῖς

15 Il. ι 27 21 cf. p. 238, 21 sq. Il. ι 328 sq.

2 οὔτε scripsi e BaPaB ut coni Re οὔπω PLVi edd 5 τὸν om Pa 6 κομιεῖ scripsi κομίσει BaPa κομίζει BPL Vi edd sed „fort. κομίσει aut κομιεῖ" Re

10 εἴπῃ L | καταπονουμένων B 11 τῶν inserui e BaB Vi om PaPL edd 15 ἀποπλοίας scripsi e BaPaB ἀπολογίας PVi edd ἀπολογίαν L | τὸν ante λόγον PLVi edd delevi | λόγον ὁ νεανίας ἐν τοῖς ἀχαιοῖς B | ἐν om BaPa 16 καίτοι τοιοῦτον B 17 ἑμάντοῦ Pa sed ἐμ delet. 19 μεγάλως BaPaLVi μεγάλα B $\mu\varepsilon^{\gamma\lambda}$ P

καὶ εἴκοσι πόλεις τὰς ὑπ' ἐμοῦ πεσούσας Ἀγαμέμνων, οὐ τοὺς κατὰ θάλατταν πόνους, οὐ τὰς ἐν τῇ γῇ ταλαιπωρίας, οὐ τὸν πλοῦτον ἐκείνων ὃν εἰς αὐτὸν μετήνεγκα, οὐ λάφυρα, οὐ γυναῖκας, ὧν μεστὴν ἔχων τὴν σκηνὴν ἑτέρων ἐπεθύμει. 3. καὶ ταῦτ' ἐποίουν ἐγὼ μήτε τοῖς Τρωσὶν ἔχων ὑπὲρ τῆς ἐμαυτοῦ γῆς ἐγκαλεῖν μήθ' ὅρκων ἀνάγκῃ κατειλημμένος, ἀλλ' ἔπλεον δόξης τ' ἔρωτι καὶ τῷ τοῖς ὑβρισμένοις ἐθέλειν χαρίζεσθαι. 4. τίνα δὴ καὶ τὰ λυπήσαντα τὸν χρηστὸν βασιλέα; ταῦτα ἃ καὶ μόνα δικαίως ἄν μοι τιμὰς ἤνεγκεν, εἰ καὶ μηδὲν ἐτύγχανον ἐν τοῖς ὅπλοις τοὺς πολεμίους λελυπηκώς. ἐξεπολέμωσε τῷ στρατῷ τὸν Ἀπόλλω γυναικὸς ἕνεκα μιᾶς ἧς τὸν πατέρα γέροντα ἄνθρωπον μικροῦ συνέκοψεν, ᾧ τρόπον τινὰ συνεπρέσβευσεν ὁ θεός. εἶθ' οἱ μὲν ἀνηλίσκοντο λοιμῷ, ὁ δὲ τῆς Χρυσηίδος ἀπήλαυεν, ἔμελε δὲ οὐδενὶ τοῦ πράγματος. χρόνου δὲ προϊόντος ἐφρόντισα, ἤλγησα, ὁμολογῶ, τοὺς ἀπολλυμένους ἠλέησα. 5. τίνες οὖν οἱ τούτων μισθοί; κήρυκες εὐθὺς ἐπὶ τὸ γέρας τοὐμὸν καὶ ἀφείλοντο. καὶ πολὺ τούτων χαλεπώτερα ῥήματα, ἐν οἷς δύσεριν καὶ φιλόνεικον καὶ ἀφόρητον καὶ βαρὺν ὠνόμαζε καὶ

---

2 Il. α 162 6 Il. α 153 7 cf. ad p. 226, 18 20 Il. α 176 sq.

---

2 *οὐ τὰς ἐν τῇ γῇ ταλαιπωρίας, οὐ τοὺς κατὰ θάλατταν πόνους Pa* 3 *τὸν πλοῦτον τὸν B* | *ἐκεινῶν* (ον supra) *P* *ἐκεῖνον* (ων supra) *L* *ἐκεῖνον Vi* et coni Mor | *ὃν* om *BaPaB* | *εἰς αὐτὸν μετήνεγκα* inserui e *BaPaB* om *PLVi* edd 5 *τὴν* om Re | *ταῦτα B PLVi* edd 8 *τὲ PaBPLVi* | *τὸ Pa* | *ὑβρισμοῖς L* 9 *τὰ*] *τὸν L* | *βασιλέως Pa* *βασι*(λ supra)' *P* 10 *ταῦτα* om *Vi* | *τινὲς ἤνεγκον BaPa* 11 *τοὺς* om *B* 12 *ἀπόλλωνα B* 13 *εἵνεκα BaPa* 14 *συνέκοψε BaPL* edd | *συνεπρέσβευεν B* 15 *εἶτα* edd | *ἀνηλίσκοντο* scripsi e *BaPaB* *ἀναλίσκονται PLVi* edd 16 *ἔμελλε* libri corr Mor 21 *καὶ*(1) om *B*

ἀνάγεσθαι τὴν ταχίστην ἐκέλευεν ὡς ἐν ἄλλοις ἔχων τὰς τῆς νίκης ἐλπίδας. 6. πῶς οὖν ἐνίκησεν; ἔτι καὶ τεῖχος προὐβάλετο τῶν νεῶν. οὕτως ἀρκοῦσι R IV 1037 πρὸς σωτηρίαν τῶν ὅλων αἱ τῶν ἀρίστων ἐλπίδες. εὐδαίμων εἰμί τις τὴν ἡμέραν ταύτην ἰδών, οὐκ ἀρνοῦμαι, ἢ τὴν ἔμπροσθεν τῶν πραγμάτων ἀνέτρεψε τύχην. 7. ὁ τὰ μὲν πολλὰ κρυπτόμενος Ἕκτωρ, ἐπίδειξιν δὲ νομίζων ἀνδρείας τὸ μέχρι τῆς δρυὸς προελθεῖν μέμφεται τῇ νυκτὶ τὰς ναῦς ἐξελομένῃ τοῦ πυρός. καὶ καλῶς γε μέμφεται. κἂν ἡμέρα φανῇ, δυνήσεται τὸ πῦρ ἐμβαλεῖν ἐμοῦ μὲν ἡσυχάζοντος, τοῦ Διὸς δὲ τοῖς ὑβρικόσι πολεμοῦντος. 8. ἡγοῦμαι μὲν οὖν καὶ τὸ στράτευμα τῶν ἀδικημάτων κοινωνεῖν. εἰ γὰρ λαβόντες λίθους οὐκ ἐπέτρεπον τῷ τοιαῦτα βλάπτοντι τὰ πράγματα, πάντως ἄν, κἂν ἄκων, ἐσωφρόνει. νῦν δὲ ὁ μὲν ἠσέλγαινεν, οἱ δὲ ἐσιώπων. διὰ τοῦτο ἐλαύνονται, σφάττονται καὶ τὸν Ἕκτορα δεδοίκασιν ὥσπερ τι τῶν ἐξ οὐρανοῦ βελῶν. 9. οἶδα τοίνυν ὡς ὀδύρεται μὲν ἐπὶ τοῖς παροῦσιν Ἀγαμέμνων, κατηγορήσει δὲ τῆς αὑτοῦ μανίας, ἐκπέμψει δὲ τοὺς ἀπολογησομένους. αἱ δὲ τῆς Ἀθηνᾶς ὑποσχέσεις εἰς ἔργον ἥξουσι. δώρων μοι μεμνήσεται πολλῶν Ἀγαμέμνων, ἐγὼ δὲ οὐδὲν οὕτως οὔτ᾽

---

1 Il. α 174 3 Il. η 435 sq. 8 Il. ι 354 9 Il. ϑ 500 sq. 11 Il. ϑ 473 sq. 18 Il. ι 16 sq. 21 Il. α 206 sq.

---

8 τῆς ante ἀνδρίας *B* | προελθεῖν scripsi προσελθεῖν libri edd 9 τοῦ inserui e *Vi* om reliqui libri edd 10 γε om *BaPa* 13 εἰ scripsi e *BaPa* ut coni Mor οἱ *BPLVi* edd 14 τὰ ante τοιαῦτα *Ba* | τὰ om *Vi* 16 διατοῦτο *PaPL* 19 κατηγορήσει scripsi e *B* κατηγορ^{ή} *Ba* κατηγορή^{σ} *Pa* κατηγορεῖ *PLVi* edd | αὐτοῦ *BaPaBPL* 20 ἐκπέμπει *L* 21 εἰς om Re | μοι om *B*

ὄψομαι οὔτ' ἀκούσομαι μέγα, δι' ὃ τὴν ὀργὴν ἐκβαλὼν συμπαρατάξομαι.

ε'.

R IV 1039 *Τίνας ἂν εἴποι λόγους Αἴας μέλλων ἑαυτὸν ἀποσφάττειν;*

1. Ὦ δύο μεγίστων κακῶν, μανίας τε ἣν ἐμάνην καὶ σωφροσύνης ἣν νῦν σωφρονῶ. δρῶν μὲν οὐκ ᾔδειν ἃ ἔδρων, δράσας δὲ μανθάνω τὰ πεπραγμένα. ἀπέκτεινα μέν, ἀλλὰ βοσκήματα. ἀπέκτεινα μέν, ἀλλ' ὡς οὐκ ἤθελον. καὶ ηὐφραινόμην μὲν ὡς δίκην λαμβάνων, ἐσφάττετο δὲ βοσκήματα, ζῶσι δὲ οἱ πονηρότατοι βασιλεῖς καὶ ὁ κατάρατος Ὀδυσσεύς. 2. μικρὸν δὲ εἰς συμφορὰν ἤδη μοι φαίνεται τὸ μὴ τῶν ὅπλων τυχεῖν. ὑπερβέβληκε μανία τὴν ἐπ' ἐκείνοις λύπην καὶ τήν γε μανίαν αὐτὴν τὸ πάλιν ἀνελθεῖν. 3. τίς μοι τὴν ψυχὴν
R IV 1040 ἐτάραξε τῶν | θεῶν; τίς τῷ μὲν ἠδικημένῳ πεπολέμηκε, τοῖς δὲ ἠδικηκόσι κεχάρισται; τίς οὕτω κρίσιν ἄτοπον ἐπήνεσεν; Αἴας Ὀδυσσέως φαυλότερος τοῖς Ἕλλησιν ὁ παραταξάμενος πρὸς τὴν τύχην; οὐ μείζω

11 Soph. Ai. 301 sq. 15 Eur. Or. 818

1 *μέγα* scripsi e *Pa* ut coni Mor Sintenis *μέ* cum compendio deleto *Ba* *μέγας BPLVi* edd | *δι' ὃ* scripsi e *BaPaB* *διὸ PLVi* edd | *ἐκβαλὼν* scripsi e *Pa* cum Sinteni *ἐμβαλὼν* reliqui libri edd 2 *συμπίπτων τάξομαι Vi* 4 *εἴπη L* | *ὁ αἴας μετατὴν μανίαν B* 6 *τῶν* ante *μεγίστων BaPa* | *μανία B* | *ἣν* scripsi e *BaPa* *ἧς BCaPLVi* edd 7 *ἔδρων μὲν ἃ οὐκ ᾔδειν BaPa* | *οὐκ — 9 μέν* in marg *Ca* 8 *πράγματα BCa* 9 *ἀπέκτεινα — οὐκ*] *καὶ οὐχ ὡς BaPa* | *οὐκ ὡς B* 10 *καὶ* scripsi e *BaPa* *ἀλλ' BCaPLVi* edd 11 *βοσκήματι Ba* | *ζῶσι δὲ*] *καὶ ζῶσιν BaPa* 12 *δὲ* inserui e *B* om reliqui libri edd 13 *περιφαίνεται BCa* 14 *ὑπερβέβληκεν* (*ὑπερβέβηκεν Ca*) *ἡ μανία BCa* | *ἐκείνης Ca* | *δε Ca* 15 *μοι* scripsi e *BCaVi* *μου BaPaPL* edd 16 *τῷ μὲν*] *τῷ* (*τὸ Ca*) *μηδὲν BCa* | *ἠδικηκότι BCaVi* 17 *δ' Pa* 18 *ἤνεγκεν Ca* | *φαυλότερον Ba* Re 19 *ὦ παραταξαμένῳ* coni Mor

μὲν ἐγεγόνει τὰ τῶν ἐναντίων, Ἀχιλλεὺς δὲ ἀπῄει ὑβρισμένος; τοιαῦτα γὰρ τοῖς ἀρίστοις παρὰ τῶν Ἀτρειδῶν τὰ γέρα. μέγας δ' ἦν Ἕκτωρ καὶ βαρὺς θεῶν εὐνοίᾳ τεθαρρηκώς. οὗ φανέντος ἔλιπε μὲν τὴν τάξιν ὁ γενναῖος καὶ τιμῶν ἄξιος, ἔλιπον δὲ ἄλλοι πολλοὶ τῶν ἐν τέλει, φυγῆς δὲ ὁ βασιλεύων ἐμέμνητο πολλάκις, αἱ δὲ ἐλπίδες ἐπιλελοίπεσαν. 4. τίς οὖν ἀντέσχε πρὸς ἐκεῖνον τὸν χειμάρρουν; τίς μονομαχῶν μὲν κατέβαλε τὸν Πριάμου, τὸ πῦρ δὲ ἀπεκρούσατο τῶν νεῶν; διὰ τίνα καὶ σκηνὰς ἔχουσι καὶ πλεῖν δύνανται καὶ ζῶσι καὶ δικάζουσιν; ἐῶ τοὺς περὶ τῶν νεκρῶν ἀγῶνας. ἀλλὰ τὸ τῆς συγγενείας δίκαιον τίνος ἐποιεῖτο τὴν πανοπλίαν; νῦν δὲ ὁ μὲν Ἀχιλλέως ἀνεψιὸς ἄτιμος, ὁ δ' οὐδὲν ἐκείνῳ προσήκων κεκόσμηται. 5. ταῦτα οὐ ξίφους ⟨ἄξια⟩; ἀλλ' οὐ κατέκοπτον τοὺς δυσμενεῖς. ἀλλὰ χαρίζομαι δή τι καὶ τρίτον Ὀδυσσεῖ, καὶ τουτὶ τὸ ξίφος.

---

6 cf. p. 222, 11 sq. 11 cf. p. 387, 19 15 cf. p. 387, 5

| τύχην scripsi e *BaPa* coll p. 387, 17 μάχην *BCaPLVi* edd | μεῖζον *Ca*

1 μὲν om *Ca* | ἐναντίων scripsi e *BaPa* πολεμίων *BCaPL Vi* edd | δ' *Pa* 2 τὰ ante παρὰ *Vi* 3 τὰ inserui e *BaPa BCa* om *PLVi* edd | δῶρα *B* χῶρα *Ca* | δ' ἦν scripsi e *Ba Pa* δὲ ἦν *BCa* μὲν *PLVi* edd | θρασὺς *BCa* 4 δὲ ante εὐνοίᾳ *CaPLVi* edd | εὐμενείᾳ *BCa* 5 Ὀδυσσεὺς post γενναῖος *BaPaB* | καὶ ante ἄλλοι *Ca* | πολλοὶ om Re 6 βασιλεὺς *BCa* sed in hoc εὺς in εύων corr m² 7 ἐπιλελοίπεσαν scripsi e *BaPaBCa* ἔτι λελοίπεσαν (ἐλελοίπεσαν edd) *PLVi* edd 8 μὲν inserui e *BaPaBCa* sed in hoc post κατέβαλε om *PLVi* edd 9 δὲ πῦρ *B* | δ' *Pa* | ἀπεκρούσαντο *B* 11 παρὰ *Pa* | τὸν νεκρὸν *Ba* τῶν νεκρὸν *Pa* 12 τῆς om *Vi* 13 δ' *Pa* | ἀχιλλεὺς *BaPa* | ὃ δ' *PaCaPL* ὁ δὲ *Ba* edd 14 ξίφος *BaPa* 15 ἄξια inserui cum Iacobsio Lect coll p. 388, 4 om libri edd | κατέκοπτον — ἀλλὰ in lac fere 22 litt om *Ca* | ἀλλ' οὐ scripsi auctore Iacobsio ἀλλὰ libri edd | ἄλλο Iacobs 16 δή om *BaPa* | τι scripsi e *PaBCa* τί *Ba* τοι *PLVi* edd

ἐπεὶ μὴ τοὺς ἐχθρούς, ἐμὲ κτεινάτω. δόξῃ συμβεβίωκα καὶ τὴν νῦν αἰσχύνην οὐ φέρω. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἢ ζῆν εὐδοκιμοῦντας ἢ τεθνηκέναι. μὴ γὰρ ἴδοιμι τοὺς Ἕλληνας ἔτι, μηδ' εἰ μέλλοιέν μου φείδεσθαι, μηδὲ δοίην ἐμαυτὸν ὑπὲρ τούτων τοῖς ἐναντίοις. 6. αἰσχύνομαι τὰ κατωρθωμένα, οὐ δύναμαι δὲ ἀποπλεῖν οἴκαδε. τὸ δὲ ἐπὶ τούτοις ἀφόρητον. παῖς εἰμι Τελαμῶνος τοῦ ταύτην μὲν καθελόντος τὴν πόλιν, ἀριστεῖα δὲ κεκομικότος εἰς Σαλαμῖνα. πολλῶν οὖν μοι θανάτων δεινότερον εἰπεῖν πρὸς ἐκεῖνον καὶ διηγήσασθαι τὰ κατ' ἐμαυτόν. κειμένῳ δὲ ὁ βουλόμενος ἐπεμβαινέτω.

ς'.

R IV 1041 *Τίνας ἂν εἴποι λόγους Αἴας μετὰ τὴν μανίαν;*

1. Ὦ τῆς ἄρτι μανίας, ὦ τῆς νῦν σωφροσύνης, οἷα μὲν ἔδρασα παραφρονήσας, οἷα δὲ αἰσθάνομαι δράσας. ἐμάνην ψήφῳ θεῶν. τί οὖν ἐπὶ τῆς μανίας οὐκ ἔμεινα; ἀπέλαβον τοὺς λογισμοὺς εἰς τὸ μειζόνως δυστυχεῖν. τίς ἄρα μοι συνεξέπλευσεν Ἐριννὺς ἐκ Σαλαμῖνος πλέοντι; 2. ὦ πολλῶν κατορθωμάτων, εἰς οἷον ἥκω πέρας; ἐξέστην τῶν φρενῶν, ἐμαυτὸν ἠγνόησα.

---

8 cf. p. 388, 20

---

1 ἐπεὶ μὴ scripsi e *BCa* ἐπεί μοι καὶ *PLVi* καὶ εἰ μὴ *BaPa* ἐπεί μοι οὐ (vel μὴ) coni Iacobs | κἀμὲ *Vi* 3 τεθνάναι *B* τεθνῶναι *Ca* 4 μὴ δ' *CaP* | μὴ δὲ *CaPLVi* μὴ δὴ *B* 6 κατορθώματα *Ca* 7 δ' *Ca* 8 μὲν om *Vi* 10 εἰπεῖν reposui e libris ἀπεῖναι edd 11 ἐμαυτόν scripsi e *B Ca* ἐμαυτοῦ reliqui libri edd | δ' *BaPa* | ὁ om Re | ἐμβαινέτω *BaPa*

13 Τίνας — 14 μανίαν;] τὸ αὐτὸ *B* 16 παρα cum lac 6 litt *B* | δ' *Pa* 18 ἀπέλαυον *Pa* 19 συνεξέπλευσεν scripsi e *Ba* συνεξέπλευσας *Pa* συνέπλευσεν *BPLVi* edd 21 ἥκω scripsi e *BaPa* ἥκετε *BPLVi* edd

τιμωρίαν ᾤμην λαμβάνειν, ᾔδειν δὲ ὧν ἐποίουν οὐδέν. οὐκ Ὀδυσσεὺς ἦν ὁ δεχόμενος τὴν πληγήν, ὁ θεοῖς ἐχθρός, ὁ πανοῦργος, οὐδὲ Μενέλαος ὁ μαλακὸς οὐδ' Ἀγαμέμνων, ὃν κακῶς ποιῶν οὐκ ἀπέκτεινεν Ἀχιλλεύς. 3. *ἀλλ' ἡ μὲν ὁρμὴ κατ' ἐκείνων, αἱ δὲ σφαγαὶ κατὰ τῶν βοσκημάτων. καὶ τὴν ἔχθραν δείξας ἠτύχησα τῶν ἔργων. καίτοι δίκαια μὲν ἐβουλόμην, δικαίοις δ' ἐπεχείρουν. ἀνθρώπους ἀναισθήτους, ἀγνώμονας, κακῶς δικάσαντας μετῄειν, θαυμάσαντας δὲ τὴν Ὀδυσσέως κομψείαν, οὐδαμοῦ θέντας τὰς ἐμὰς ἀριστείας.* 4. *ὁ πλέων ἐγὼ πανταχοῦ καὶ τροφὴν ἀγείρων τῷ στρατῷ καὶ τὴν ἴσην εἰσφέρων Ἀχιλλεῖ ῥοπήν, ὁ πρᾶος εἰς τοὺς ἄρχοντας, ὁ πλείω πράττων ἢ λαλῶν, ὁ τὸν Ἕκτορα κομψὸν ἀποφήνας, ὁ καταβαλὼν ῥᾳδίως, ὁ παρ' αὐτοῦ θαυμαζόμενος ἐπ' ἀνδρείᾳ Ἕκτορος, ὁ μετὰ ταῦτα ἀπόντος Ἀχιλλέως ἀντ' ἐκείνου τοῖς πράγμασιν ἀρκέσας, ὁ τῇ τῆς τύχης ἐπηρείᾳ τὴν ἀρετὴν ἀντιτάξας, ὁ βοῶν, ὁ προτρέπων, ὁ μαχόμενος, ὁ ῥυόμενος τὸ ναυτικόν, ὁ τοὺς νεκροὺς τῶν ἀγαθῶν ἀνδρῶν ἐξαρπάσας ἐκ τῶν ἐναντίων, ὁ τὸ σῶμα Ἀχιλλέως κομίσας, ὁ τὰ ὅπλα, ὦ θεοί, οἵων ἔτυχον τῶν Ἀχαιῶν.* 5. *κρίσις ἦν καὶ Ὀδυσσεὺς ἀνίστατο φιλονεικήσων καὶ λό-*

---

2 sq. Soph. Ai. 56 sq. 301 sq. 4 Il. *α* 191 14 cf. p. 342, 1 15 Il. *η* 287 sq. 19 cf. p. 385, 11

---

1 *τιμωρίαν* scripsi e *B* *τιμωρίας* reliqui libri edd 2 *θεοῖς* om *BaPa* 4 *ὃν* delet. *Ba* *ὧν Pa* 5 *κατεκείνων Pa* | *καταβοσκημάτων Ba* *κατὰ βοσκημάτων Pa* 7 *ἐχθρῶν* Iacobs Ach T 996 | *δὲ PaPVi* 9 *δικάσαντας* scripsi e *Ba PaB* *ἀδικήσαντας PLVi* edd | *μετῄειν* in lac 14 litt om *B* | *δὲ* om *BaPa* 11 *πλέων* et *πανταχοῦ* reposui e libris *πλέον* (sed *γρ πλέων* in marg Mor) et *πανταχοῦ* edd 15 *ἐπ' ἀνδρείᾳ Ἕκτορος* om *B* | *μεταταῦτα PLVi* 19 *τὸν Ba* 20 *κοσμήσας B* 22 *ἀνίσταται BaPa* | *φιλονεικῶν Vi* | *λόγων Pa*

γον ἀπαιτῶν ἐντεχνάζειν. καὶ τῶν ἔργων ἡ μαρτυρία παρῶστο καὶ ἀπῆλθον ἐγὼ μὲν ἄτιμος, ὁ δὲ τοῖς ὅπλοις R IV 1042 | κοσμούμενος τοῖς ἐμοῖς μετ' Ἀχιλλέα. ταῦτα οὐκ ὀργῆς ἄξια; ταῦτα οὐ δίκης; ταῦτα οὐ ξίφους; 6. ἀπεπλάνησέ με τῆς ἐγχειρήσεως ὁ δαίμων καὶ ἀπήνεγκεν ἑτέρωσε καὶ προσέθηκε τῇ τῶν Ἑλλήνων ψήφῳ τὴν τῆς μανίας αἰσχύνην. ἀλλὰ γὰρ ἔχω τῶν συμφορῶν τὴν λύσιν. ἃ γὰρ ἐκείνους οὐκ ἠδυνήθην, ταῦτα ἐμαυτὸν δυνήσομαι δρᾶσαι. 7. ὦ σφαγεῦ, σύ μοι παρ' Ἕκτορος ἐγένου, πρὸς τὴν χρείαν ἄρκεσον. ἐχθροῦ δῶρον εἶ, σοὶ πρέπει τοὖργον. τίς γένωμαι ζῶν; ποίαν ὁδὸν ἔλθω πραγματείας; συμπαρατάξομαι τοῖς Ἕλλησι; ἀλλ' οὔτε φέρω τοιαῦτ' εἰργασμένος οὔτ' ἀσφαλές. ἀλλὰ μετατάξομαι πρὸς τοὺς Τρῶας; ἀλλ' οὔτ' εὐπρεπὲς οὔτ' ἄλλως ἀσφαλές. τῶν τε γὰρ νῦν ὄντων ὀνειδῶν οὐκ ἔλαττον εἰς αἰσχύνην βαρβάρους ὑπ' Αἴαντος εὖ παθεῖν οὕς τε εἴργασμαι τοσαῦτα δεινά, τούτοις οὐκ ἔνι πιστεῦσαι. 8. τί δὴ λοιπόν; ἐπαναπλεῖν οἴκαδε μετὰ λαμπροῦ γε τοῦ σχήματος; καὶ τί πρὸς τὸν πατέρα λέξω τῆς νεὼς ἐκβὰς τὸν συγκαθελόντα μὲν Ἡρα-

2 Soph. Ai. 446 9 sq. Il. η 303. Soph. Ai. 661 sq. 815 sq. 10 Soph. Ai. 824 18 Chor. Patr. p. 247, 6 sq. Boiss. 20 cf. p. 339, 9; 386, 8. Soph. Ai. 462 sq.

3 ἀχιλλέως *BaPa* | καὶ ante ταῦτ' *B* | ταῦτ' *BPLVi* edd 4 ταῦτα οὐ δίκης; om *Vi* | ταῦτα (1 et 2) om *BaPa*

7 τῆς συμφορᾶς *Vi* 11 σὺ *Pa* | πρέπει *Pa* 12 πραγμάτων *Pa B* 13 οὔτε scripsi οὐ libri edd 14 πρὸς om *BaPa* 15 ἄλλων *BaPa* 16 βαρβάρου *PL* βάρβαρον *Vi* | ὑπ' scripsi e *BaPa* ἀπ' *BPLVi* edd 17 τοιαῦτα *Pa* 18 πιστεῦσαι scripsi e *BaPaB* πιστεύειν *PLVi* edd | δεῖ libri corr Mor | λοιπὸν ἐπαναπλεῖν *BaPa* 20 λέγω *B* | ἐκβὰς scripsi e *BaPa B* ἀποβὰς *Vi* ἐπιβὰς *PL* edd | συγκαθελόντα scripsi e *BaPa B* (Mus. Rhen. XXXII 95) cum Iacobsio Lect App. Pors. 333 Sinteni συγκάθετον *Vi* edd συγκάθητον *PL*

κλεῖ τὴν Τροίαν, ἀπελθόντα δὲ σὺν ἀριστείοις; τί διηγήσομαι πυνθανομένῳ; τὰ ὅπλα; τὴν κρίσιν; τὴν ἧτταν; τὰ βεβουλευμένα μοι; τὰ ἡμαρτημένα; μήποτ' ἐκείνην ἴδοιμι τὴν ἡμέραν. ὥρα δὲ δὴ τὸν σίδηρον ὠθεῖν. τοῦ δὲ παιδὸς θεοῖς μελήσει καὶ Τεύκρῳ.

ζ'.

Τίνας ἂν εἴποι λόγους Αἴας στερηθεὶς τῶν ὅπλων; R IV 1038

1. *Πάλαι μὲν κατὰ βαρβάρων Ἕλληνες ὡπλιζόμεθα τὴν ἐκ βαρβάρων εἰς ἡμᾶς ἀδικίαν ἀμυνόμενοι, νῦν δὲ κατηγορεῖν τῶν πολεμίων ἀφέντες τὰ τῶν ὁμοφύλων κατοδυρόμεθα δράματα. τί ταῦτα, σύμμαχοι, φάσκω; τίς Ἕλλην ὑπάρχων τὰ τῶν βαρβάρων ἐμιμήσατο; ὁ Λαέρτου τὰ δυσμενῶν κατ' Αἴαντος ἐβουλεύσατο.* 2. *ἔσπευσα τῆς πανοπλίας κρατήσειν τοῖς πόνοις. ἐπορεύθην τοῖς κινδύνοις ἐμαυτὸν παραβαλλόμενος, οὐ δόλον ὑφορώμενος, οὐ συμφορὰν λογιζόμενος, οὐκ ὀκνήσας τὸν κίνδυνον, ἀλλ' ἔρωτι τῆς ἀρετῆς καὶ τῶν*

---

1 Soph. Ai. 434 sq. 464 sq. 5 Soph. Ai. 562
7 Od. λ 543 sq. 12 cf. p. 399, 12

---

1 *ἀριστεῖ'* (αν superscr.) *Ba* *ἀριστεῖ'* (α superscr.) *Pa* 2 *πυνθανομένῳ. τὰ P* *πυνθανομένῳ τὰ BaPaLVi* 3 *μήποτε PaB* 4 *τὸ BaPa* | *σιδήριον Ba* 5 *τε* ante *καὶ B* | *τεύκρων Ba*
7 *ποίους BaPa* | *λόγους εἴποι B* | *εἴπη BaPaPL* | *ὁ* ante *αἴας B* | *ὁ αὐτὸς BaPa* | *ἀφαιρεθεὶς τὰ ὅπλα B* *ἀφαιρεθέντων τῶν ἀχιλλείων ὅπλων Ca* 8 *τοῦ ἀχιλλέως* post *ὅπλων Vi* 9 *ὡπλιζόμεθα* scripsi e *BaPaPLVi* *ὁπλιζόμεθα B* edd 10 *εἰς ἡμᾶς ἀδικίαν* scripsi e *BaPaCa* *ἀδικίαν εἰς ἡμᾶς BPL Vi* edd | *ἀμυνούμενοι Vi* 12 *δράματα* scripsi e *BaPaB* *τραύματα PLVi* edd om *Ca* | *φάσκω* scripsi e *BaPa* *φαίην B CaPLVi* edd 15 num *κρατῆσαι*? at cf. t. III p. XXIX
16 *παραβαλλόμενος* scripsi e *BaPaBCa* coll t. IV 1024, 7 R *προβαλλόμενος PLVi* edd 17 *δόλον* scripsi *φόβον* libri edd

βλημάτων λαθόμενος. ἐκράτησα τοίνυν βουλήματος, ἤνυσα τὸν ἆθλον, οὐ διήμαρτον τοῦ πόνου. ἀλλὰ κρατήσας νενικημένος ἐλέγχομαι καὶ μόνον τὸν πόνον R IV 1039 | *κληρονομήσας πεφώραμαι τῶν μὲν κινδύνων πειραθείς, τοῦ δὲ ἔρωτος ἀφαιρούμενος.* 3. *τίς τοίνυν ὁ παραπείσας; τίς ὁ κατ' ἐμοῦ κωμάσας τῆς πανοπλίας σοφίσματι ⟨κρατήσας⟩; Ἰθακήσιος ἀνήρ, οἴμοι, Λαέρτου παῖς, ὁ συνασπίσας πρότερον, νῦν δὲ πολεμῶν, βουλεύματι στρατεύσας κατὰ τῶν Τρώων, Τρὼς δὲ τὴν γνώμην γενόμενος, ὁ τὰς Πριαμιδῶν ὑπερβαλόμενος τύχας καὶ Δαρδάνου παῖδας ταῖς ἀδικίαις νικήσας. μὴ γὰρ γύναιον ἥρπασε. κοῦφον ἦν τὸ τόλμημα, εἰ κόρην ἐσύλησε. τῆς γὰρ ἡδονῆς στερηθεὶς παραμυθίαν ⟨ἂν⟩ ἐλάμβανον. ἀλλὰ γυμνὸς τῆς ἀσπίδος, ἔρημος τῆς πανοπλίας, ἄοπλος ἀναπέφηνα. τῶν τῆς ἀριστείας ὀργάνων σεσυλημένος ἐλέγχομαι.* 4. *καλεῖ πόλεμος Αἴαντα. παρατάξεως ἡ χρεία. πρὸ τοῦ ἄστεος ἡ μάχη. ἐξιέναι, στρατεύεσθαι, παρατάττεσθαι προσήκει. πῶς οὖν στρατεύσομαι τῆς πανοπλίας στερούμενος; πῶς δὲ γυμνὸς τοῦ*

---

1 Her. III 35, 1 6 cf. t. III 176, 12 sq. 10 Arist. eth. Nic. I 10 p. 1100 a 9. Euseb. praep. ev. XV 4, 12

---

1 *βλημμάτων Ba* sed *ου* supra *β*, *PaCa* sed in hoc *πο* ante *βλ* m² | *βουλή'* (*μα* supra) *P* *βουλήματι LVi* 2 *οὐ διήμαρτον* reposui e libris *οὐδ' ἥμαρτον* edd 3 *ἐλέγχομαι Vi* sed *γρ πεφώραμαι* in marg | *μόνων τῶν πόνων Ca* 4 *κερδήσας BaPa* 5 *πειραθείς* scripsi e *PaBCa* *πειρασθείς BaPLVi* edd | *τὸν δὲ ἔρωτα BaPa* 6 *παραπείσας* scripsi *παραινέσας* libri edd *παρώσας* Iacobs Lect | *τί Ba* | *κομπάσας* Iacobs 7 *σοφίσματι* scripsi *σοφίσματα* libri edd | *κρατήσας* inserui om libri edd *καλλωπίσματα* Iacobs 10 *ὑπερβαλόμενος* scripsi *ὑπερβαλλόμενος* libri edd 13 *ἂν* inserui om libri edd 15 *ἀναπέφηνα* scripsi e *Ba* sed *ἀν* delet., *PaB* *ἐναπέφηνα CaPLVi* *ἐναπείφηνα* edd | *ἀρετῆς BaPa* 19 *στερούμενος* scripsi e *Ba PaCa* *στερόμενος BPLVi* edd | *δὲ* om *BCa*

θώρακος φοβήσω; τεῖχος ἀριστέως ἡ πανοπλία νενόμισται, φρούριον ἀρραγὲς ἡ πανοπλία πεπίστευται, κἀκ τῆς ἀσπίδος νικηφόρος ὀνομάζομαι. οὕτω με Τρῶες ἐθαύμαζον στρατευόμενον. οὕτως ἐφόβησα τὸν πολέμιον μαχόμενος μίξας προθυμίᾳ τῆς ἀσπίδος τὸ κατόρθωμα.

η'.

Τίνας ἂν εἴποι λόγους ἡ Νιόβη κειμένων τῶν παίδων; R IV 1015

1. Ὦ θεοὶ καὶ δαίμονες, πόθεν ταυτὶ τὰ πολλὰ βέλη καὶ δεινὰ καὶ πάντα κατὰ τῶν ἐμῶν παίδων; φεῦ τῶν κακῶν. ἀπολώλεκα τοὺς ἐμαυτῆς ἅπαντας τοὺς δώδεκα. καὶ οὐκ ἔστιν ὁ προσερῶν ἔτι με μητέρα τὴν ὑπὸ τοσούτων ἄρτι τοῦτο καλουμένην. 2. ὢ τῶν ἐμπεπηγότων τοῖς σώμασιν οἰστῶν. ὢ τοῦ ῥέοντος διὰ τῶν σωμάτων αἵματος. ὢ κάλλους θυγατέρων, ὢ κάλλους υἱέων. ὢ πλοκάμων ὥρα, ὢ προσώπων χάριτες. ὢ στέρνων φιλτάτων. οὐδὲν ἄρα τούτων ἠδέσθησαν οἱ τοξεύοντες. 3. τίνι πρῶτον περιχυθῶ; τίνα κλαύσω

---

3 cf. p. 272, 3. Il. η 220; λ 485; ρ 128. Soph. Ai. 19
8 Il. ω 602 sq. Apth. prog. ed. Walz. Rhet. gr. I 102, 12 sq. Nicol. ib. p. 304, 25 sq.

---

1 *ἀριστείας B* *ἀριστεία Ca* 2 *φρούριον — πεπίστευται* om *BCa* 5 *μαχόμενον Pa*
8 *ποίους Pa* | *ἂν* om *Vi* | *λόγους εἴποι Vi* | *εἴπη PL* | *ἡ* om *PaBVi* | *κειμένων τῶν παίδων* om *Pa* 9 *τέκνων αὐτῆς B*
12 *ἐμαῦ P* *ἐμαυτοῦ LVi* | *ἅπαντα Pa* 13 *οὐκ ἔστιν ὁ προσερῶν* scripsi e *BaPaBP* sed in hoc *σ* in *προσερῶν* delet., *L* edd sed in his omnibus *ὁ* om *οὐ προσερεῖ τις Vi* 14 *τούτων BaPaB* 15 *διὰ* om *Vi* 16 *τραυμάτων Vi* sed *τραυ* inser m² | *ὢ* om *PaB* | *κάλλους* om *Ba* *καὶ PaB* 17 *ὢ BaPaPLVi* edd | *ὢ BaPLVi* edd | *προσώπων* scripsi e *BaPaBVi* *προσώπου PL* edd | *χάριτος Vi* 19 *πρῶτα BaPaB* | *τίνι PLVi* Mor

δεύτερον; ἐπὶ τίνα ἔλθω τρίτον; τίνα ὑπερβῶ; τίνος ἅψωμαι; πόθεν ἂν μοι γένοιτο πλῆθος δακρύων ἀποχρῶν νεκροῖς δώδεκα; τίς ἔσται τῆς ἐκφορᾶς ὁ τρόπος; ἀθρόους δεήσει κομίζειν καὶ κλίνῃ κλίνην ἀκολουθεῖν ἢ τὸν μὲν θάπτειν, ἐφ' ἕτερον δὲ τρέχειν; εἷς ἔσται τάφος ἅπασιν ἢ καθ' ἕκαστον εἷς, καὶ δώδεκα στῆλαι
R IV 1016 καὶ τοσαῦτα ἐπιγράμματα; | 4. ὢ καινοῦ πάθους. ἐν ἀνδρῶσι τὰ τοῦ πολέμου, ἐν παρθενῶσι τὰ τῶν παρατάξεων. ἀφελκέτω τις τὰ βέλη, καλυπτέτω τοὺς νεκρούς. ἀπείρηκα βλέπουσα τὰ τραύματα. τίς ἡμῖν ἐπεστράτευσε δαίμων; αἰσθάνομαι ἡ κακοδαίμων, συνίημι μόλις· ἡ μήτηρ ὑμᾶς, ὦ παῖδες, ἀπολώλεκεν. ἐγὼ τὴν τύχην ὑμῖν μετέβαλον καὶ τοῖς γε ἄλλοις ἀνθρώποις τὰς περὶ ἐμοῦ φωνάς. ἦσαν γὰρ ἔμπροσθεν· ὡς εὐδαίμων ἡ Νιόβη, γεγονυῖα μὲν ἐκ τοιούτων, τεκοῦσα δὲ τοιούτους καὶ προσέτι τοσούτους. τῷ δὲ ἄρα γε καὶ μεῖζον ἕτερον προσῆν,

6 Il. ω 603

2 ἅψωμαι scripsi e *BVi* ἅψομαι *BaPaPL* edd 3 δέδοικα *BaPa* | ἐκφορᾶς scripsi auctore Re συμφορᾶς libri edd 4 κλίνην κλίνη *BaPaB* 6 ἅπασιν ἢ scripsi e *BaPaB* ἅπασι *PLVi* edd | καθέκαστον *BaPaPLVi* 8 ἀνδράσι *B* | πολέμου scripsi e *BaPaB* πολεμίου *PLVi* edd 9 τίς *PaPL* | καὶ ante καλυπτέτω *Vi* 10 ἡμῖν reposui e libris ut coni Re ὑμῖν edd | τίς post ἡμῖν repet *PL* edd delevi 12 ὑμᾶς scripsi e *BaBPLVi* ut coni Re ἡμᾶς *Pa* edd | διέφθειρεν *B* 13 ὑμῖν scripsi e *BaPaPLVi* ut coni Re ἡμῖν *B* edd 14 ἀνθρώποις om *Vi* | μοῦ *Pa* | ἦσαν scripsi auctore Re ἦν μὲν *BaPaB* ἦν *PLVi* edd | φωνάς, αἷς ἤγαλλον (vel ἔχαιρον) ἔμπροσθεν Iacobs Lect | γὰρ om *BaPa* | αἵδε αἱ ante ἔμπροσθεν inserendum coni Re 15 μὲν delet. *Ba* 16 τελοῦσα *BaPa* | τοιούτους scripsi e *BaPaB* τοιούσδε *PLVi* edd 17 τῷ scripsi e *BaPaB* τῇ *PLVi* edd | γε om *BaPaB* | μεῖζον ἕτερον scripsi e *BaPaB* μείζονα ἕτερα *PLVi* edd

συνουσία θεοῦ καὶ φιλία Λητοῦς, ἣν ὁρᾷ παροῦσαν, ἧς ἀκούει λαλούσης. 5. πρὸς ταύτην ἐγώ ποτε παίζουσα τὴν θεὸν ἡ δυστυχὴς ἠρίθμησα τοὺς ἐμαυτῆς, ἡ δὲ οὐκ ἤνεγκε γυναῖκα μωραίνουσαν. ἀλλὰ τὴν πολλὴν ἐκείνην καὶ μακρὰν φιλίαν ῥῆμα μικρὸν φθάσαν τὸν λογισμὸν διέσπασε καὶ διέλυσεν. ἴδε, πόσα δύναται γλώττης ἁμαρτία. 6. ὢ τῆς ὑπερβολῆς, ὢ τῆς ὠμότητος. οὐκ ἦν ἱκανὸν ἀποστερῆσαί με τῆς πρὸς αὐτὴν ὁμιλίας, οὐκ ἦν ἱκανὸν ἐκβαλεῖν με τῆς συνουσίας; ἀλλ' ἔδει τι καὶ σώματι παθεῖν. ἦσαν αὗται αἱ χεῖρες, ἦσαν ὀφθαλμοὶ καὶ πόδες. τούτων ἔδει τι πεπηρῶσθαι, μᾶλλον δὲ ἀντὶ τούτων τὴν οὐκ εἰδυῖαν σιωπᾶν γλῶτταν. 7. ἀλλ' ἔδει τινὰ πεσεῖν πάντως τοῖς Ἀπόλλωνος βέλεσι. τί οὖν; οὐκ ἦν ἐμοὶ σῶμα τῇ φθεγξαμένῃ, τῇ πεπονηρευμένῃ; οὐχ οὕτως ἂν καὶ τὸ δίκαιον ἐσώζετο τῆς τιμωρίας ἐπὶ τὴν ἀδικοῦσαν ἐλθούσης; νῦν δέ, ὦ θεοὶ καὶ νόμοι καὶ δίκη, κακὴ μὲν ἡ μήτηρ, ἀναμάρτητοι δὲ οἱ παῖδες. καὶ ζῇ μὲν ἡ μήτηρ, τεθνᾶσι δὲ οἱ παῖδες. τί πλημμελοῦντες, ὦ Λητοῖ καὶ Ἄρτεμι καὶ Ἄπολλον καὶ βέλη; 8. ἀλλ' ἔδει τοῦτο τηλικοῦτον | ὂν παροφθῆναι τὸ δίκαιον. εἷς παῖς ἀποθνησκέτω, μία κόρη πιπτέτω. εἰ δὲ ὀλίγον τοῦτο, νειμώ- R IV 1017

1 Apth. l. l. p. 103, 5. Nicol. l. l. p. 306, 1 sq. [Apollod.] bibl. II 1, 1. Diod. Sic. IV 14. Hyg. fab. 145 2 Il. ω 608

1 *θεοῦ* scripsi e *BaPaB* *θεῶν PLVi* edd 6 *φθάσειν Vi* | *διέλυσε Pa* 8 *ἀποστερήσαιμι Pa* 9 *οὐκ ἦν ἱκανὸν*] *καὶ BaPaB* 10 *τί PaPL* *τὸ B* | *σώματι* scripsi e *BaPaB* *σώματος PLVi* edd sed „*fort. καὶ τοῦ σώματος* (*sc. τοῦ ἐμοῦ μέρος*)“ Re | *αἱ* om *BaPaPLVi* Mor 11 *τί PaP* 12 *δ' PaB* 13 *ἀπόλλ*^{ω} *Pa* 14 *βέλεσιν Vi* | *ἦν* om Re *οὖν L* 16 *ἀδικοῦσαν* scripsi e *BaPaB* *ἀδικίαν PLVi* edd sed „*fort. ἀδικήσασαν*“ Re 19 *πλημελοῦντες PL* | *Ἄρτεμι καὶ Ἄπολλον* scripsi e *BaPa* sed in hoc *ἀπό*^{λ}, *B* *ἄπολλον καὶ ἄρτεμι PLVi* edd 20 *τηλικοῦτο L* edd

μεθα τοὺς ἐμούς. εἰ δὲ δεῖ καὶ πλείονας ἀπελθεῖν, ἀλλὰ κατάλιπέ μοι τὸ καλεῖσθαι μητέρα φεισαμένη σώματος ἑνὸς ἀφ' ἑκατέρου γένους. 9. ἀλλ' ἀνάγκη τοὺς ἐμοὺς παῖδας πάντας καὶ πάσας ἐξαλειφθῆναι. τί οὖν μὴ κἀμὲ προσέθηκας, ἀλλὰ κολάζεις τῷ ζῆν; 10. τουτὶ μὲν οὖν τὸ κακὸν ἐμαυτῇ λύσω. διὰ τί γὰρ βιώσομαι; ἵνα δακρύοιμι καὶ θρηνοίην καὶ ταῦτά μοι συνειδείη μόνα ἡμέρα καὶ νύξ; ἵνα ἐπὶ τοὺς τάφους τρέχοιμι καὶ μάτην καλοίην τοὺς ἐμαυτῆς καὶ καλοίμην ἀθλιωτάτη πασῶν; 11. τί με παραμυθήσεται τῶν πάντων; τίς ἕτερος τοιαῦτα παθών; καλή γε ἡ νίκη τῶν θεῶν. οἶκον εὐδαίμονα κεκενώκασιν. ἦ που φιλοτιμοῦνται νῦν ὡς ἀπεκτονότες δώδεκα. ἀλλ' οὐκ ἔσονται δώδεκα, οὔ. προστίθετε γὰρ καὶ τρισκαιδεκάτην δι' ὑμᾶς ἀπολουμένην ἐμέ.

θ'.

R IV 1017 *Τὸ αὐτό.*

1. Ὢ δεινοῦ πάθους καὶ παραδόξου συμφορᾶς καὶ δεινῆς ἀωρίας τῶν μεγάλων συμφορῶν. κεῖταί μοι πλή-

6 Apth. l. l. p. 103, 13 sq.

3 *γένους* scripsi e *BaPaB* *μέρους PLVi* edd | *ἀλλ'* om *Ba PaB* 4 *παῖδας πάντας* scripsi e *BaPaB* *πάντας παῖδας PL* edd *πάντας Vi* | *ἐξαλειφθῆναι* scripsi e *BaPaB* *ἐξηλεῖφθαι P* edd *ἐξειλείφθαι L* *ἐξειλῆφθαι Vi* 5 *κομίζεις Vi* 6 *οὖν* om *L* | *ἐμαυτῇ* reposui e libris *ἐμαυτῆς* edd | *διατί Pa P* 7 *δακρύσοιμι BaPa* | *καὶ θρηνοίην* om *B* 8 *μόνα ἡμέρα καὶ νύξ;* scripsi e *BaPaB* *μόνη ἡμέρα PLVi* edd „*fort. μή μοι συνειδείη μόνη ἡ ἡμέρα*" Re *μόνα* coni Sintenis | *τρέχοιμι* scripsi e *BaPaBP* sed in hoc *οιμ* delet., cum Iacobsio Lect in lac 5 litt om *L* *τρέχω Vi* edd 10 *τίς* coni Mor | *τῶν πάντων παραμυθήσεται Vi* | *παρόντων B* 12 *κεκενώκασι Vi* 13 *οὔ* inserui e *BaPaB* om *PLVi* edd 14 *προστίθετε γὰρ* scripsi e *BaPaB* *προςτίτῃ Vi* *προτίθεται PL* edd sed „*lego προστίθεται καὶ δεκάτη τρίτη vel dicendum fuerat: οὐκ ἔσονται δύω*" Mor Stat 153 „*num sic? δώδεκα, τοῖς γὰρ δέκα προστίθετε καὶ τρίτην δι' ὑμᾶς ἀπολουμένην ἐμέ aut sic προστίθετε καὶ τρίτην*"

ρωμα παίδων δυστυχὲς εἰς ἑκατέραν μεμερισμένον τὴν φύσιν, ἴσην ἑνὶ καιρῷ τὴν συμφορὰν δεξάμενον, κρεῖττον παραδείγματος οὔτε πραχθὲν πρότερον οὔτε πρὸς τὸ μέλλον ἐνδεχόμενον συμβῆναι. 2. ὢ πολλὰς ὠδῖνας ὠδίνασα ἐγώ, πολλὰ δὲ αὐχήσασα πρότερον ἐπὶ τοῖς παισί, | μέγαν δὲ ἐγείρασα ἐπὶ τοῖς κειμένοις R IV 1018 *τὸν θρῆνον, ἄπαις ἡ δυστυχής, ἐν ἐρημίᾳ μὲν τῶν παίδων, ἐν ἀφθονίᾳ δὲ πολλῶν δακρύων καὶ τῶν ἐπ' αὐτοῖς θρήνων. 3. μεῖζον ἐφρόνησα τῆς θνητῆς φύσεως, ἡμιλλήθην πρὸς τὴν τῶν κρειττόνων εὐπαιδίαν, ἐπὶ πολλῇ δὲ τῇ ζημίᾳ ἐπέγνων ὡς μή ποτ' ὤφελον μήτηρ εἶναι, ἢ ἐγενόμην εὐτυχής, ὡς ἐνόμιζον, καὶ παίδων γενέσει διέφερον τῶν πολλῶν ἑκατέρῳ τῷ γένει κομῶσα, πολλοῖς μὲν ἠθέοις, πολλαῖς δὲ παρθένοις ἀγαλλομένη, αἱ δὲ εὐτυχίαι πολλάκις τὴν γνώμην διαφθείρουσι. 4. καὶ τοῦτο οἶδα παθοῦσα, ὅτε τῆς Λητοῦς μεῖζον ἐφρόνησα. οὐ συνίην ἡ δυστυχὴς ὡς τὰ μὲν θεῖα ἀθάνατα καὶ διαρκῆ καὶ πάντων ἀπαθῆ κακῶν, τὰ δὲ ἀνθρώπινα ταῖς μεταβολαῖς ὑπόκειται· 5. ἀλλ' ἐπειδὴ ταῦτα ἐξήμαρτον, ἐμὲ τὴν τιμωρίαν ὑπομεῖναι ἐχρῆν καὶ τοῖς Ἀρτέμιδος καὶ τοῖς Ἀπόλλωνος*

---

7 Apth. prog. ed. Walz. Rhet. gr. I 102, 14

Re | *καὶ* om *Vi* | *τρισκαιδεκάτην* scripsi (Mus. Rhen. XXXII 95) *τρι'* *BaPaP* *τρίτην B* *τρίτα L* om *Vi* *τρίτη* edd

5 *ὠδίνασα* scripsi e *Vi* *ὠδίνουσα PL* edd sed „*fort. ὢ πολλὰς μάτην ὠδῖνας ὠδίνασα*“ Re 10 *ἠμελήθην Vi* | *εὐπαιδίαν. ἐπὶ πολλῇ δὴ* Sintenis 11 *πολὺ L* 12 *ἢ* scripsi cum Sinteni *ἣ* libri edd 14 *ἠιθέοις* libri edd cf. p. 396, 7 15 *διαφθείρουσιν L* 18 *θεῖα* scripsi *θέις P* sed *ι* parum integrum *θεῶν ὡς L* *θεοῖς Vi* *θεῶν* edd | *διαρκεῖ PL* 20 *ἐπειδὴ* reposui e libris cum Iacobsio Lect 175 *ἐπειδὰν* edd | *ὑπομεῖναι* scripsi cum Sinteni coll p. 397, 7 *ἐπιγνῶναι* libri edd sed „*sententia postulat ὑποσχεῖν*“ Re 21 *τῆς* (sscr. *οἱ*) *Vi* | *ἀπόλλωνος καὶ τῆς ἀρτέμιδος Vi*

βέλεσι τοξευθῆναι. ἀλλ' οὐχ οὕτως ἐδίκασαν ἡμῖν οἱ κρείττους, ἀλλὰ τοὺς παῖδας τοὺς πόρρω τῆς αἰτίας, τοὺς οὐδὲν εἰπόντας οὐδὲ αὐχήσαντας, οἷον ἡ δυστυχὴς ἐγώ, τούτους ἀπολωλέκασι. 6. *φεῦ τῶν ἐλπίδων τῶν προτέρων ἐκείνων καὶ τῆς παρούσης ταύτης μεταβολῆς. ἐγὼ μὲν λαμπάδα γαμήλιον ᾤμην προσάψειν τοῖς ἠθέοις καὶ ταῖς παρθένοις, ἔφθη δὲ ἡ συμφορὰ τὰς ἐπ' ἐκείνων ἐλπίδας.* 7. *τίνα ὀδυροῦμαι πρῶτον; τίνα στενάξω; τίνα ἀνακαλέσομαι τῶν κειμένων; τίς χρόνος ἀρκέσει μοι πρὸς τὸν χορόν; ποῖον δακρύων πλῆθος ἀποδώσει κατ' ἀξίαν τοῖς κειμένοις; τίς ὁ μετὰ ταῦτα ἔσται μοι βίος; οὔτε γὰρ λήθην δύναμαι λαβεῖν τῶν ἐμαυτῆς κακῶν, ἀλλ' ἐν ὄψει τὰ δυσχερῆ καὶ* R IV 1019 | *τὰ δεινὰ ἐν ὀφθαλμοῖς, καὶ οὐδεὶς χρόνος τηλικοῦτος ⟨ὃς⟩ ἀρκέσει πρὸς τὸν θρῆνον ἐμοί.* 8. *μία γένοιτ' ἂν ἀπαλλαγή, εἰ συναπέλθοιμι τοῖς δάκρυσιν εἰς ἀναίσθητον μεταβολὴν ἢ τῷ θανάτῳ σβέσαιμι τὸ δεινὸν ἀγχόνῃ χρησαμένη ἢ κατὰ θαλάττης καὶ πετρῶν ἐμαυτὴν ἀφεῖσα ἢ κατ' ἐμαυτῆς ἐνέγκασα τὴν καιρίαν.*

---

6 Chor. p. 54, 13 Boiss.   10 Apth. l. l. p. 103, 10

---

5 *πρότερον Vi*   7 *ἠιθέοις* libri edd cf. p. 395, 14   8 „*fort. ἀπ'*" Re | *ὀδυροῦμαι* scripsi *ὀδύρομαι* libri edd sed „*aut ὀδυροῦμαι, id quod malim, aut ὀδύρωμαι*" Re, cui oblocutus est Iacobsius Anth. Pal. III 105   9 *τῶν κειμένων ἀνακαλέσομαι Vi*   10 „*malim γόον*" Re | *ποῖον* scripsi *ποίων* libri edd   11 „*fort. τὸ κατ' ἀξίαν*" Re | *μεταταῦτα P*   12 *λη^θ' P* *λήθη L*   13 *ἐμαυτοῦ PL*   14 *καὶ ἐν ὄψει τὰ δυσχερῆ* post *ὀφθαλμοῖς Vi* | *τηλικοῦτος* om *Vi*   15 *ὃς* inserui auctore Re om libri edd   16 *γένοιτ' ἂν* scripsi *γένοιτο* libri edd   18 *θαλάσσης Vi*   19 *κατὰ P* sed *ὰ* in ' corr, edd

ι'.

Τίνας ἂν εἴποι λόγους ὁ Βελλεροφόντης μέλλων μάχεσθαι τῇ Χιμαίρᾳ; R IV 1042

1. *Ἡδίστης ξενίας πικρὸν ὁρῶ τὸ τέλος καὶ μεγίστην φιλοτιμίαν λαμπρὸς διαδέχεται πόλεμος. ταύτην δίδωμι σωφροσύνης δίκην, ταύτην τῆς ἐμῆς ἀρετῆς ὑπομένω τιμωρίαν.* 2. *ἦν μοι βίος εὐδαίμων ἐν Ἄργει, ἀλλ' ἀρχὴ τῶν φαινομένων κακῶν ἐκεῖθεν ἐγίνετο. ἐθαυμαζόμην ὁρώμενος, ἀφανεῖ δὲ τῷ κάλλει τὸ φαινόμενον κοσμήσας πειρῶμαι κινδύνων. ἤρα μου γυνὴ βασιλέως, ἐγὼ δὲ σωφροσύνης.* 3. *καὶ τότε μὲν ἐνίκησεν ἔρως ἐμός, ὁ δὲ τῆς γυναικὸς ἡττώμενος πικρῶς ἐπεξέρχεται καὶ τῆς ἥττης* | *ἀμύνεται ἀπάτην καὶ* R IV 1043 *ψεῦδος παρακαλέσασα συμμάχους.* 4. *ἀλλ' ὁ μὲν βασιλεὺς ἐκεῖνος ὀργιζόμενος ἐφείσατο, ὁ δὲ μηδὲν θυμωθεὶς γέγονεν ἀπάτης ὠμῆς διακονία καὶ ξένον ἐποίησε τὸν πόλεμον καὶ μάχην οἵαν οὐδεὶς ἀνθρώπων ἤκουσε.* 5. *σύνοδον εὗρε θηρίων καινὴν καὶ χαλεπὰς*

---

1 Il. ζ 178 sq. Tzetz. Lyc. 17 9 sq. Il. ζ 156 sq. 13 cf. ad t. III 347, 1 15 Il. ζ 166 18 sq. cf. t. IV 1095, 1 sq. R

---

2 *ποίους PL* edd | *εἴπῃ BaPa* | *ὁ* inserui e *BaPaB* coll t. IV 1095, 27 R om *PLVi* edd 6 *τῆς* om *Vi* | *πολλῆς B* 7 *ἦν* scripsi e *BaPa* cum Iacobsio Lect 179 App Pors 333 *ἣν BPLVi* edd | *ἐν Ἄργει* scripsi e *BaPaB* *ἐνήργει PLVi* edd *καὶ ἐνεργός* Iacobs ll. ll. 9 *τῷ* inserui e *BaPaB* om *PLVi* edd 11 *βασι^λ' P* *βασιλείας L* 12 *πικρὸς Pa* 13 *ἐπεξέρχεται* scripsi cum Sinteni *ἐξέρχεται B* *ὑπεξέρχεται* reliqui libri edd | *τῇ ἥττῃ* libri corr Mor 14 *βασι^λ P* 15 *ἐκεῖνα L* | *προοργιζόμενος ἐφείδετο Vi* 16 *ὠμῆς* scripsi auctore Iacobsio Lect *ἐμῆς* libri edd 17 *οὐδεὶς ἀνθρώπων ἤκουσε* scripsi e *BaPaB* *ἤκουσεν ἀνθρώπων οὐδείς PLVi* edd 18 *καινὴν* scripsi e *BaPaB* *κοινὴν PLVi* edd

ἔμιξε φύσεις πολλάς. προβέβληται μὲν ὁ λέων κομῶν, ὁ δὲ κατόπιν πολέμιος δράκων ἐστί. τὴν δὲ Χίμαιραν ἐκ νώτων ἔχει προκύπτουσαν ὡς ἐξ ὕλης πολλὴν τὴν τοῦ στόματος ἀποπέμπουσαν φλόγα. καὶ τριπλοῦς ὁ κίνδυνος, ὀδοῦσι λέοντος ἁλῶναι καὶ δράκοντος ἰῷ καὶ ῥύμῃ πυρός. 6. *καὶ προσιόντα δέδοικα τὸν θῆρα καὶ στρεφόμενον οὐκ ἔχω τὸν δράκοντα θαρρεῖν κἂν θέλω προσελθεῖν, οὐ τολμῶ κωλύοντος τοῦ πυρός.* 7. *ἀλλ' εἰς καιρόν μοι τὰ Πηγάσου πτερά. μεταβήσομαι πρὸς τὸν ἀέρα μετάρσιος, οὐδεὶς γὰρ ἐπὶ τῆς γῆς ἱστάμενος νικήσει τὸ τοσοῦτον κακόν, ἀλλὰ καὶ αὐτὸν προσλαβὼν τὸν ἀέρα βοηθὸν καὶ καινῷ χρησάμενος ὀχήματι καὶ χεῖρας παρακαλέσας καὶ ῥώμην καὶ ἀνδρίαν συμμαχῆσαι τῇ ἀδελφῇ σωφροσύνῃ μηδὲν χεῖρον ἢ τοῖς ἐναντίοις ἔρωσι συνεμάχησεν ἀπάτη καὶ συκοφαντία καὶ δόλος.*

---

1 sq. Il. ζ 181 sq. 6 cf. p. 406, 4 9 Pind. Ol. XIII 86. [Apollod.] bibl. II 3, 2 15 cf. p. 397, 12

---

2 *δὲ* inserui e *BaPaB* om *PLVi* edd 3 *προκύπτουσα Pa* *κύπτουσαν B* | *πολλὴν τὴν* scripsi e *Pa* *πολλὴν Ba* et coni Iacobs Ach T 463 *πολλοῦ BPLVi* edd 4 *σώματος Ba PaB* | *ἀποπέμπουσαν* scripsi e *B* *ἀποπέμπουσα BaPa* *ἐκπέμπουσαν PLVi* edd 6 *ῥύμῃ* scripsi cum Iacobsio Lect Ach T *ῥώμῃ* libri edd | *δέδοικε Pa* 7 *θεωρεῖν BaPaB* | *κἂν* scripsi e *BaPaB* *ἂν PLVi* edd 8 *θέλ' Pa* 9 *πάρα* ante *πτερά* inserendum coni Iacobs Lect 11 *τὸ* inserui e *BaPa* om *BPLVi* edd | *τοῦτον L* 12 *καὶ* inserui e *PaB* delet. *Ba* om *PLVi* edd | *χρησάμενος* reposui e libris sed *ησά* delet. *P* *χρησόμενος* edd 13 *καὶ*(3) delet. *Ba* om *Pa Vi* | *ἀνδρείαν BPVi* edd 14 *μηδὲν* scripsi e *BaPaBLVi* *μηδ P* (δ supra lineam) *μηδὲ* edd 15 *ἐναντία B* | *ἐρῶσι PaPLVi* | num *συνεμάχησαν*?

ιαʹ.

Τίνας ἂν εἴποι λόγους ζωγράφος γράφων R IV 1019
τὸν Ἀπόλλωνα εἰς δάφνινον ξύλον τοῦ ξύλου μὴ δεχομένου τὰ χρώματα;

1. Ἀρνεῖταί σου τὸν ἔρωτα καὶ μέχρι δένδρων, Ἄπολλον, ἡ ποθουμένη παρθένος. οὐ βούλεταί σοι σπένδεσθαι καὶ μεταβληθεῖσα τὴν φύσιν. σωφροσύνην ἀσπάζεται καὶ δένδρον γενομένη. φεύγει καὶ τὸν τύπον ἐν τοῖς χρώμασι δεικνύμενον καὶ καταισχύνει μου τὴν τέχνην μὴ δεχομένη τὴν γραφήν. ἡ μὲν χεὶρ χαράττει θεόν, τὰ δὲ χρώματα λύεται πολεμούμενα τῷ ξύλῳ. 2. τί ταῦτα, ζωγράφοι; οὐκέτι τοῖς βουλήμασιν ἡμῶν συντρέχει τὰ χρώματα, οἷς δὲ βούλεται ἡ δεξιὰ διαμάχεται τὰ ξύλα. ἦν ἄρα καὶ δένδρον ψυχῆς οὐκ ἀπηλλαγμένον. οἰκεῖ | τὸ δένδρον μετὰ τῆς προσ- R IV 1020
ηγορίας. Δάφνη μὲν ἡ κόρη, Δάφνη δὲ τὸ φυτόν. τὸ μῖσος ἐν ἀμφοτέροις. ἔφυγεν οὖσα παρθένος δρόμον ἔχουσα σύμμαχον, νῦν δὲ γενομένη φυτὸν φεύγει πά-

---

2 sq. cf. p. 368

---

2 εἴπη *BaPaPL* 3 δάφνινον ξύλον scripsi e *BaPaB* δάφνην ξυλίνην *PLVi* edd sed „*videtur* ξυλίνην *delendum aut leg.* εἰς πίνακα ἐκ δάφνης ξυλίνην" Re | καὶ ante τοῦ *BaPaB PL* edd delevi | μὴ δεχομένου τοῦ ξύλου *Vi* 5 ἀρνεῖται *P* sed ρν delet. | δένδρου *B* 7 καὶ inserui e *BaPa* om *BPL Vi* edd sed οὐδὲ inserendum coni Re 8 καὶ om *B* | καὶ ante γενομένη inser *Pa*[2] | γενομένη *Ba* sed ένη delet. γενόμενον *PL Vi* Mor | καὶ τὸν τύπον φεύγει δεικνύμενον ἐν τοῖς χρώμασι δεικνύμενον *Vi* 9 καὶ om *Pa* 10 τὴν om *B* 11 πολεμούμενα delet. *Ba* πολεμούνα *Pa* | τῷ ξύλῳ — 13 διαμάχεται om *B* 12 οὐκέτι *Ba* sed έ delet. οὐκ ἔτι *LVi* edd | βουλήμασιν scripsi coll p. 401, 1 βευλεύμασιν (βουλεύμασι *Vi*) libri edd | ἡμῶν om *Vi* 15 „*num* οἰκεῖ ἔτι καὶ νῦν τὸ δένδρον μετὰ τῆς προσηγορίας ἡ δάφνης ψυχή;" Re | τὸ ἐχθρὸν Iacobs Ach T 770 16 δάφνη μὲν ἡ κόρη σε πάλαι ἔφυγε. δάφνη δὲ καὶ τὸ φυτὸν φεύγει πάλιν τὴν σὴν κοινωνίαν coni Re | τὸ μῖσος — 18 φυτὸν inserui e *Ba* sed σα et ένη delet., *PaB* om *PLVi* edd

λιν τὴν κοινωνίαν. οὐ δέχεταί σε, Πύθιε, κἂν περιπτύσσῃ τοῖς χρώμασι, κἂν εἰκόνι συμπλέκῃ. πάλιν ἀρνεῖται τὸν πόθον. 3. *ταύτην οἶδεν ἡ τέχνη θυσίαν παρέχειν τοῖς θεοῖς τύποις καὶ γραφαῖς εἰκόνων τὸ θεῖον ἐναπομάττουσα. ὦ Ζεῦ, θεῶν πάτερ, καὶ σὲ μὲν ἐγεγράφειν καὶ ἐξ Ὀλύμπου τύπον εἰς ἀνθρώπους μετήνεγκα. Ἥραν συζυγίαν τῷ θεῷ χαράττων οὐ διήμαρτον. Ἀθηνᾶ πρόμαχε, μετὰ πατρός σε συνέγραψα, ἀλλὰ χαίρουσα πάλαι πολέμοις οὐκ ἐπολέμεις τῇ γραφῇ. ἤδη ποτὲ καὶ τῆς Ἠχοῦς κατεψευσάμην τὸν πόθον καὶ τὴν ἀσώματον θεὸν ἀποτυπώσας οὐκ ἤσχαλλον καὶ φωνὴν ἐβιαζόμην παρθένον δεῖξαι τοῖς τύποις, ὑπηρέτει δέ μοι ἡ τέχνη χρώμασιν ἀναγκασθεῖσα.* 4. *νῦν δὲ παρθένος μόνη με νικᾷ μνήμῃ καὶ προσρήματι. καὶ*

---

7 cf. t. VII 356, 13; t. IV 1058, 18 et 1086, 15 R. 10 Anthol. Plan. IV 153—156 11 cf. p. 436, 10; t. VII 394, 13

---

1 *τὴν* om *BaPaB* | *πυ*^θ *P* | comma post *Πύθιε* posui punctum libri edd | *κάν B* 2 *κἂν* scripsi *κάν B* *καὶ* reliqui libri edd | *συμπλε*^κ*'* *Pa* | punctum post *συμπλέκῃ* posui comma libri edd 3 *ταῦτα LVi* „*fort. ταύτην γὰρ μόνην*“ Re | *θυσίαν παρέχειν* scripsi e *BaPaB* *παρέχειν θυσίαν PLVi* edd 4 *τὸν θεὸν ἀπομάττουσα BaPaB* 6 *ἐγεγράφειν* scripsi e *BaPaB* ut coni Mor *ἐγγράφειν PLVi* edd sed „*fort. γράφειν vel ἐκγράφειν οἶδα*“ Re 7 *ἥρας L* | *συζυγίαν* scripsi e *BVi* coll ll. ll. *ζυγίαν BaPa* *συζυ*^γ*'* *P* *συζύγω L* *σύζυγα* edd 8 *συνέγραψα* scripsi e *BaPaB* *συνέγραφον PLVi* edd sed „*fort. συχνάκις ἔγραφον, σὺ δὲ*“ Re 9 *τἄλλα* Iacobs Lect 11 *ἀποτυπώσας* reposui e libris cum Bastio Aristaen. epist. ed. Boisson. 230 *ὑποτυπώσας* edd et tuetur Iacobsius Philostr. im. 697 | *ἤσχαλον BaPa* *ἤσχυνα B* 12 *παρθένον BaPaB* | „*δεῖξαι non prorsus improbo. malim tamen ῥῆξαι*“ Re cui oblocutus est Iacobsius Lect | *ὑπηρέτει* reposui e libris *ὑπηρετεῖ* edd 13 *ἡ* inserui e *BaPaB* om *PLVi* edd | *νῦν* reposui e libris *νυνὶ* edd

οὖσα δένδρον τοὔνομα, συνδεδένδρωται καὶ τὸ βούλημα. ἰσοφρονεῖ κόρῃ φυτόν, μᾶλλον δέ, κόρη γίνεται. τὸν γὰρ λογισμὸν οὐκ ἤμειψε. 5. καὶ νῦν ἔσται διήγημα τοῖς ποιηταῖς ἀπιστούμενον. διηγοῦνται μεταβολὴν καὶ μῦθον ἥδον τοῖς παισί. διηγήσονται καὶ φυτοῦ τὴν πρὸς τὸν Ἀπόλλωνα φυγὴν καί τινας ἕξουσι τοὺς δεξομένους τὸν λόγον. 6. ὦ θεὸς μηδὲ χρώμασι τῇ κόρῃ διαλλαττόμενος, ὦ θεὸς νενικημένος, κἂν περιπτύσσηται φυτόν. ποῦ σου τὸ τόξον, Ἄπολλον; ὃ μόνη Δάφνη νενίκηκε. | μετὰ σοῦ κεκρατημένου κεκράτηται καὶ τὰ χρώματα. R IV 1021

ιβ'.

Τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐρῶν μετὰ τὴν ἀναίρεσιν Πενθεσιλείας; R IV 1026

1. Ἄπιστον καὶ μετὰ τὸ πάθος τὸ διήγημα. μετὰ τρόπαιον δακρύω, μετὰ νίκην ὀδύρομαι. ἑάλων κατ-

---

16 cf. p. 403, 17

---

1 *συνδένδρωται BaPaPLVi* sed in hoc *ν* (2) om, Mor | *βούλευμα BVi* 2 *ἰσοφρονεῖ* scripsi e *BaPaB* *φρονεῖ PLVi* edd | *κόρῃ* scripsi *κόρη* libri edd 3 *ἐστι B* | *διηγούμενον BaPa* 6 *τὸν* om *BaPaB* | *ἀπόλλω Pa* | *καὶ τίνας BaPa* 7 *δεξομένους* scripsi e *B* *δεχομένους* reliqui libri edd | *τὸν* — 8 *νενικημένος* om *Vi* | *ὦ*] *ὁ* coni Re | *μὴ δὲ BPL* *μηδ' ἐν* coni Re at cf. p. 400, 2 | *χρώματι BaPa* 8 „*fort. ὁ θεὸς πόθῳ νενικημένος φεῦγον περιπτύσσεται φυτόν*" Re | *κἂν* reposui e libris sed *κ* delet. *P* ... edd sed *ἂν* coni Mor 9 *ὃ* scripsi e *BaPaB* *ἣ PLVi* edd 10 *μετὰ σοῦ κεκρατημένου* reposui e libris sed *οῦ κεκρ* delet. *P*, ut coni Mor[1] *μετὰ σ . . . . ατημένου* edd sed *καὶ μετὰ σοῦ κεκρατημένου* coni Re

13 *Τίνας* — 14 *Πενθεσιλείας*; ante ethopoeiam sequentem cui haec nullo spatio intermisso succedit *BaPa* | *τί B* | *εἴπῃ L* *εἶπε CaPal* | *λόγους* om *B* | *μετὰ* — 14 *Πενθεσιλείας*] *πενθεσιλείας κειμένης B* *πενθεσιλείας μετὰ θάνατον CaPal* 15 *καὶ Ba* sed *κ* delet. om *Pa* 16 *τρόπαιον* scripsi *τροπαίου* libri edd cf. p. 403, 17 | *δάκρυα Pal* | *νίκης* libri Mor corr | *ἑάλωκα CaPal*

ὀρθώσας τὸν πόλεμον. καὶ τῆς πολεμίας, οἴμοι τῆς ξυμφορᾶς, κρατῶν ἐγενόμην αἰχμάλωτος. αἰνίγματι γὰρ τὰ καθ' ἡμᾶς παραπλήσια. ὦ πόλεμε τῷ νικήσαντι χαλεπώτατε, μετέστησας ἡμῖν τὴν προσδοκίαν ἐπὶ θάτερον. 2. ἐγέλων ἐπὶ τῆς παρατάξεως παιδιὰν τὴν μάχην οἰόμενος καὶ γυναικῶν εἶναι τὸν πόλεμον ὑπολαμβάνων. ἀρκέσειν ἐνόμιζον τὴν θέαν πρὸς κατόρθωμα, ἀλλ', ὡς ἔοικε, δυσκαταγώνιστος ἦν ὁ πόλεμος. καὶ ἀσθενεῖν μὲν Ἀμαζόνες ἐδόκουν φαινόμεναι, δύσμαχοι δὲ τοῖς ἔργοις ἐφάνησαν ὑπερβαίνουσαι τῷ τολμήματι τὴν φύσιν, νικῶσαι καὶ πίπτουσαι καὶ χείρω δεικνύουσαι βεβλημέναι τὸν ἀριστεύσαντα. 3. κατ' ἐκείνης πέμπων τὴν βολὴν ἐξετόξευον, οὐκ ᾔδειν δὲ ὡς κατ' Ἄρεος ὁρμῶν Ἀφροδίτην εὑρήσω. ὦ πᾶσιν

---

13 Arist. Plut. 34 c. schol.

---

1 *καὶ τῆς πολεμίας* om *B* | *τοῖς πολεμίοις CaPal* | *οἴμοι τῆς ξυμφορᾶς* inserui e *B* om reliqui libri edd 2 *αἰνίγματι* scripsi e *BaPaBCaPal* ut coni Mor *αἰνίγματα PLVi* edd 3 *πόλεμε* scripsi e *BaPaBCaPal* *πόλεμος PLVi* edd 4 *χαλεπώτατε* scripsi e *B* *χαλεπώτα*(τ) *Ba* *χαλεπώ*(τ)' *PaPal* *χαλεπώ*(τος) *P Vi* *χαλεπώτατα Ca* *χαλεπώτερος L* *χαλεπός* edd | *προδοσίαν Vi* | *ἐπιθάτερον Pal* | *θα*(τερ)' *Pa* *θάτερα Vi* 6 *εἶναι* om *B* | *ὑπελάμβανον BaPaCaPal* 7 *ἀρκέσει L* | *τὴν* om *Vi* | *πρὸς θέαν τὸ κατόρθωμα Vi* 8 *ἔοικεν Pa* 9 *ἀσθενεῖν* scripsi e *BPLVi* *ἀσθενεῖς BaPaCaPal* edd 10 *τοῖς δὲ ἔργοις ἐφάνησαν δύσμαχοι Vi* 11 *πολεμήματι B* | *χείρω δεικνύουσαι* scripsi e *CaPal* cum Roethero Misc. crit. ed. Friedemann et Seebod. I 640 *χείρω* reliqui libri edd *χειρούμεναι* coni Re, *χειροῦσαι* Iacobs Lect 12 *βεβλημένον Pal* sed *ον* in ras m², ex *ος* ut videtur, corr 13 *πέμπω Ca* | *βολὸν Ba* | *ἐτοξευόμην ἐγὼ Ca* et Iacobs Miscell. crit. Friedem. et Seebod. II 371 *ἐπεξευόμην ἐγὼ Pal* | *δὲ* om *CaPal* 14 *ἄρεος Ca* sed *γ* post *ρ* eras, *Pal* sed *ο* in *ω* corr m² *ἄρεως Vi* | *χωρῶν BaPaCaPal* et Iacobs l. l. | *ὢ PL*

Ἔρως πολεμιώτατε, εἷλες Ἀχιλλέα δι' ἀψύχου σώματος. ἐκάλυπτεν ἡ σκευὴ τὴν εὐπρέπειαν καὶ τὸ κάλλος ἀγνοῶν διαφθεῖραι τὴν πολεμίαν ἐσπούδαζον. ἀλλ' εἰ γυμνὴ καθ' ἡμῶν παρετάξω, εἶχες ἂν πρὸ τῆς βολῆς ἡττώμενον τὸν πολέμιον. 4. *πῶς διαγράψω τὸ φαινόμενον; ἀδυνατεῖ γὰρ καὶ λόγος καὶ τέχνη τὴν εἰκόνα τῆς κόρης τεχνάσασθαι. ἀκόρεστος ἡ θέα γοητεύουσα τὸν ἐρῶντα | πρὸς πόθον. οἵας ἡμᾶς ἀπεστέρησεν ἡ δεξιά. ὡς πολεμίαν τὴν παροῦσαν ἀριστείαν νενίκηκα.* 5. *ἀλλὰ παραμυθήσομαι τοῖς δευτέροις τὴν συμφοράν. ἀπολογήσομαί σοι κειμένῃ πληρῶν τὰ τῆς ὁσίας περιφανέστατα. ἀνεῖλον ὡς πολεμίαν. ὡς οἰκείαν κοσμήσω τῷ τάφῳ. ἀναθήσω σοι τὸ ξίφος τὰ τῆς εὐγνωμοσύνης ἐν τούτῳ πιστούμενος.* R IV 1027

ιγ'.

Τὸ αὐτό. R IV 1027

1. *Ἄγε, τί ταῦτα; μετὰ νίκην δεδουλώμεθα, μετὰ τρόπαιον πεπτώκαμεν. οἷα τῶν κειμένων τὰ σκῦλα.*

---

1 *πολεμιώτατε* scripsi e *Ca* *πολεμιῶ*ᵗ *BaPaPal* *πολεμιώτατος* *BPLVi* edd | *εἷλες* reposui e libris (*εἶλες P*) cum Roethero Iacobsio Sinteni *εἶχες* edd 2 *σκευὴ* scripsi cum Iacobsio Lect Anth. Pal. III 108 Sinteni *σκηνὴ* libri edd et defendit Iacobs Misc. l. l. 3 *ἡ* post *εἰ* edd delevi ut delendum coni Re 4 *παρέταξα L* 6 *ἀδυνατῶ CaPal* | *λόγιος BaPa* *λόγω CaPal* 7 *ἀκόρευτος* Mor sed *ἴσ. ἀκόρητος* in marg 8 *ἔρωτα Ca* | *οἷον B* 9 *πολεμίαν* scripsi e *BaPaB* *πολεμία CaPal* Roether Iacobs Misc *πολεμίοις PLVi* Mor qui *πολεμίους* coni *πολέμιος* Re | *νενίκηκεν CaPal* Roether Iacobs Misc 12 *περιφανέστατα* scripsi *περιφανέστερον BaPaBCaPalVi* Roether *περιφανέστερα PL* *ἐπιφανέστερα* edd sed *ἐπιφανέστατα* coni Re | *ἂν εἰ μὴ ὡς B*

16 *Τὸ αὐτό*] *Τίνας — Πενθεσιλείας BaPa* cf. ad p. 401, 13 sq. *εἰς τὸ αὐτὸ* coni Re cf. p. 371 17 *Ἄγε, τί* scripsi e *Ba* sed *Ἄγ* parum certum, *Pa* *Εἶγε PLVi* edd *εὖ γε ταῦτα* coni Re | *τὴν* ante *νίκην PLVi* edd delevi cf. p. 401, 16 18 *τρόπαιον* scripsi ut coni Re *τροπαίου* libri edd cf. p. 401, 16 | *τῶν*] *τὰ Pa*

οὕτω λαφυραγωγοῦνται νεκροί. πόθος ἡμῖν μετὰ νίκην μάχεται καὶ καταπολεμεῖ θεὸς ἐν ἀψύχῳ σώματι. ἠγνόουν τοιούτους πολεμίους ἔχων. ἰσχυρότερα μετὰ τὴν τελευτὴν τὰ σώματα. ἃ γὰρ ζῶντα οὐκ ἔδρασαν, μετὰ θάνατον δεδύνηνται. 2. μέμφομαι τὴν νίκην. οὐ φέρω τὸ κατόρθωμα. ἐγκαλῶ τῷ πολέμῳ ὅτι μοι τοιαύτην νίκην ἐβράβευσεν ἐξ ἧς ὤφθην αἰχμάλωτος. μὴ γὰρ πόλεμον ἐπολέμησα; κατ' ἐμαυτοῦ συμφορὰν ἤγειρα. μὴ γὰρ νίκην ηὐτύχησα; δουλείας μελέτην ἠγωνιζόμην. εἴθε μήποτε τοιαύτην μάχην ἐτόλμησα. Ὦ πόλεμε μετὰ τὴν νίκην ἀπάνθρωπε, τοιούτους ἡμῖν νεκροὺς δεδώρησαι τοὺς μετὰ θάνατον βλάπτοντας. 3. ἐγὼ καὶ τῇ μελίᾳ μέμφομαι καὶ μισῶ ξίφος ἐν ᾧ νενίκηκα, ὅτι
R IV 1028 μοι κατὰ πάντων ἀφειδῶς ὥρμησαν. τί γὰρ ὁ | δείλαιος ἐμαινόμην ἀνήμερα; οὐκ ἦσαν καὶ νίκης ἕτεροι τρόποι; πόσα πολεμίων αἰχμάλωτα σώματα; εἴ μοι περιῆς, ὦ φιλτάτη, ἀπὸ τῆς μάχης ἂν εἰς τὸν θάλαμον ὥρμησα, ἀπὸ τῆς παρατάξεως εἰς ὑμέναιον. γάμος ὁμοῦ καὶ πόλεμος, εὐωχία καὶ λύθρος, ὑμέναιοι καὶ σφαγαί. εἶδεν ἄν τις ἐκ παρατάξεως νυμφίον στεφάνῳ κοσμού-

---

13 cf. ad p. 409, 14 17 cf. p. 371; 405, 4; t. VI 259, 8; VII 124, 4; 694, 16

---

2 *καταπολεμηθεὶς Vi* 8 *τὴν* ante *συμφορὰν PLVi* edd 9 *εὐτύχησα Ba* | *δουλείας* scripsi e *BaPaPL* cum Bastio Comm. pal. (Greg. Cor.) 835 *δούλης Vi* *δούλην* edd *„sed corrupta haec sanare non possum"* Re *ὀδύνην καὶ ἔλεον* vel *λύπην ἠρανιζόμην* Iacobs Lect 11 *τὴν* om *BaPa* 12 *καὶ* om *Vi* 13 *μισῶ ξίφος*] *τῷ ξίφει BaPa* 14 *μοι* scripsi e *BaPa* ut coni Re *μὴ PLVi* edd *μὴν* Iacobs Lect | *ὥρμησεν LVi* Iacobs 16 *πολέμ' BaPa* | *νοσήματα Vi* 17 *περὶ ἧς Pa* | *εἰς* scripsi *ἐπὶ* libri edd 18 *ὥρμησα* inserui e *BaPa* om *PL Vi* edd | *παρατάξεως* scripsi e *BaPa* *τάξεως PLVi* edd | *ὁμοῦ* per compendium scriptum *P* *ἧς L* *ἦν Vi* 19 *εὐωχίαι L* | *λύθρον BaPa* cf. t. VII 698, 3

μενον, οὐχ οἷον εἶδεν ὁ Ἐνυάλιος, ἀλλ' οἷον Ἀφροδίτη ἐν παστάσιν. 4. εὐδαίμων ἦν ὁ Πηλεὺς θαλαττίᾳ συνοικῶν δαίμονι καὶ θαυμαζόμενος ἐπὶ τῷ γάμῳ. τοῦτον ἄν, εἴ μοι περιῆς, ἀνεκαινίσαμεν.

ιδ'.

Τίνας ἂν εἴποι λόγους ὁ Χείρων ἀκούσας R IV 1013
ἐν τῷ παρθενῶνι τὸν Ἀχιλλέα εἶναι;

1. Ὦ Πήλιον, ἀλλότρια σῆς χορείας τὰ θρυλλούμενα, ὦ παιδεία καὶ ἀρετὴ καταισχυνθεῖσα τοῖς λόγοις. τίς τῶν τῆς ἀδοξίας ῥημάτων ἄγγελος; τίς αἰσχρᾷ φήμῃ ὑπηρετεῖν ἐτόλμησεν ἄπιστα μὲν λέγων κατηγορῶν τῆς ἀληθείας, τάχα δέ που καὶ πιστευόμενος; 2. τίνα καταιτιάσομαι τῆς ἀδοξίας ἐραστήν; τίνα τῶν προγόνων μιμησάμενος Ἀχιλλεὺς τὰ τῶν παρθένων ἠγάπησεν; Αἰακὸν ἢ τὸν Πηλέα; ἀλλ' ὁ μὲν ἐκ Διὸς χειροτονίαν ἐδέξατο, ὁ δὲ σωφροσύνης ἆθλον τὸν Θέτιδος

15 Plat. Gorg. p. 523 E sq.

1 *ἤδεν Vi* | *ὁ Ἐνυάλιος* scripsi e *BaPa* *ὁ πόλεμος P* sed *ο πο ος* delet., *Vi* in lac 7 litt om *L* edd sed *ἴσ. Ἑλένη* in marg Mor 3 *συνοικῶν P* sed *συν* delet. *προσοικῶν Vi* 4 *περιῆς μοι Vi* | *ἀνεκαινίσαμεν* scripsi *ἐνεκαλέσαμεν* libri edd sed „*fort. ἀνεκαλέσαμεν revocassemus*" Re 6 *εἶπε* Barb Cam *εἴπῃ L* 7 *τὸν ἀχιλλέα εἶναι* scripsi e *Vi* *τὸν ἀχιλλέα μένειν BaPaB* sed in hoc *ο* in *η* corr m² *εἶναι τὸν ἀχιλλέα PL* edd 8 *πόλιον PLVi* *Πήλειον* Re | *ἀλλότριον B* | *θρυλούμενα Ba* sed *υλ* delet., *Pa* 9 *ὢ* libri edd 10 *ἀξίας PLVi* et *γρ* in marg Mor Barb „*fort. τίς τῆς ἀδοξίας ἄγγελος; aut τίς μεστῶν ἀδοξίας ῥημάτων ἄγγελος*" Re | *αἰσχρὰ BaPaVi* Barb 11 *ἐτόλμησε Pa* | *λέγω BaB* 12 *καὶ* om *BaPa* 13 *ἀδοξίας ἐραστήν;* scripsi *ἀδοξίας ἐραστὴν* (*ἀρετὴν PLVi* Barb)· libri Barb *ἀδοξίας; ἀρετὴν τίνα* Cam Mor Re „*dele ἀρετήν*" Leopardi Mus. Rhen. III 6 14 *παρθένων* reposui e libris *παρθενώνων* edd sed *γρ παρθένων* in marg Mor 15 „*χειροτονίαν aut vitiosum est aut desunt quaedam*" Re at cf. Plat. l. l.

γάμον καὶ θεῶν κηδεστὴς θνητὸς ὢν ἀνηγόρευται καὶ οἷς πεπαίδευται παραπλήσια κατείργασται. 3. τοῦτον, νὴ Δία, τὸ Πήλιον ἀκοντίοις σεμνυνόμενον ἔτρεμε, τούτου καὶ δεξιὰν ἔφριττε θὴρ καταγωνιζόμενος. ποῦ σοι, παῖ Πηλέως, τῆς ἱππικῆς τὰ διδάγματα; ποῦ δρόμοι καὶ γυμνάσια, δι' ὧν ἐφάνης ἀήττητος; 4. εἰς τοιοῦτον ἄρα τέλος ἐξεπαίδευον, ἐξέπεμπον διαθλή- R IV 1014 σοντα, ἵνα Χείρωνος | δεξιὰν διαδέξωνται παρθένοι; ἵνα μετὰ Πήλιον Λυκομήδης οἰκειώσηται; ἵνα τὸν Πηλέως, σιωπῶ καὶ τοὔνομα, κόραι σύννομον ἐκδέξωνται; ὢ μόνος τῶν ἀνομοίων κοινωνίαν εἰργασμένος, Λυκομήδους καὶ Χείρωνος. καὶ μετὰ πάλην ὁ θάλαμος καὶ μετὰ τὴν ἱππικὴν ἱστουργία, παρθενὼν μετὰ κυνηγέσια. πῶς ταλασία τὰ διδάγματα τοῦ Χείρωνος;

4 cf. p. 398, 6 14 Himer. or. XIII § 10 p. 602, 4 ed. Wernsd.

1 ἀνηγόρευται scripsi e *B* ἀνηγορεύετο *Ba* sed ηγορεύετο delet., *Pa* Cam Mor Re ἀπηγόρευτο *PL Vi* ἀπηγορεύετο Barb | καὶ scripsi e *BaPaB* ἀλλ' *PL Vi* edd 3 τὸ — ἔτρεμε scripsi e *Ba* sed in hoc ἀκοντίοις ἔτρεμε delet., *PaB* cum Iacobsio Lect τὸν πήλειον (πλ ον cum Iac 2—3 litt *Vi* Barb Cam) ἀκοντίσας σεμνυνόμενον ἔτρεμον *PL Vi* edd sed τὸν Πήλειον ἄκοντι σεμνυνόμενον ἔτρεμον coni Re 4 τούτου delet. *Ba* τούτῳ *Pa* | ἔτρεμε *B* | ἀνταγωνιζόμενος coni Re 5 δρόμοι scripsi e *BaPaB* δρόμος *PL Vi* edd 6 γυμνασία *PL* 7 ἄρα *PL* et coni Re | ἐγώ σε ἐπαίδευον; ἐξέπεμπον νὴ Δί' ἀθλήσοντα. coni Re | διαθλήσοντα scripsi διαθλήσαντα (δὴ ἀθλήσαντα *B*) libri edd 8 Χείρωνος scripsi e *BaPaB* χεῖρα *PL Vi* edd

9 Πήλιον scripsi e *BaPaBL* πἠλ *P* πηλέως *Vi* edd | λυκομήδους *L* | οἰκειώσηται scripsi e *BaPaB* οἰκειώσεται *P L* et γρ in marg Mor οἰκειωθήσεται *Vi* edd | ἵνα — 10 ἐκδέξωνται om *B* 12 πάλην scripsi e *BaPaB* πηλέως *PL Vi* edd Πήλιον coni Wernsdorf Himer. 602 Re Boissonade Babr. 29 not. 8 13 τὴν inserui e *BaPaB* om *PL Vi* edd | παρθενὼν μετὰ κυνηγέσια scripsi cum Wernsdorfio παρθένων *BaPa B* παρθένων. μετὰ κυνηγέσια *PL Vi* παρθένων. καὶ μετὰ κυνηγέσια edd καὶ παρθενὼν μετὰ κυνηγέσια coni Re 14 πῶς — Χείρωνος om *BaPaB* | ταλασίαι coni Re | τοῦ Χείρωνος scripsi

πῶς ἐδίδαξε δεξιὰν τόξον φέρειν διδαχθεῖσαν τὰ τῶν παρθένων ἐργάζεσθαι; 5. *οἴμοι τῆς ἀκοῆς. ἆρα καὶ χλαῖνα γυναικεία κατεκόσμησεν; ἆρα καὶ κρήδεμνον καταισχύνει τὸν βόστρυχον; ⟨βαυκίδας⟩ ὑπέμειναν πόδες κατὰ θηρίων ἐπ' ὄρεσι βαίνοντες, δρόμῳ φθάσαντες τοὺς τάχει πάντων κρατήσαντας; σὰς χεῖρας οὐ διέφυγεν οὔθ' ἵππος κροαίνων οὔτε λέων ὁρμῇ φερόμενος. σὴν ψυχὴν νενίκηκεν οὐ φόβος, οὐ τρόμος, οὐκ ἀπειλὴ δυσμενῶν.* 6. *ἀλλ' ὧν ἠπιστάμην τἀναντία νῦν ἀγγέλλουσι, κἂν ἀπώσωμεν τοὺς λόγους, ἡ φήμη πολλοῖς πεπίστευται· τοῦ Ἀχιλλέως πρόγονοι θεοί, οἷς τὴν ἀδοξίαν αὐτὸς προσανέθηκεν. ἔστι γὰρ αἷμα θεῶν, παρθένος δὲ τὴν προαίρεσιν.* 7. *τίς ἄρα Θέτιδι τούτων ἄγγελος γενήσεται; θεὸς γὰρ οὖσα καὶ γυνὴ τοῖς παροῦσιν αἰσχυνθήσεται, διὸ μήτηρ ἀνδρὸς κληθεῖσα*

7 Il. ζ 507; ο 264

cum Wernsdorfio *τὸν χείρωνα PLVi* edd *μετὰ τὸν Χείρωνα* coni Re
1 *πῶς*] *τίς* coni Re | *δεξιὰ BaPaB* | *διδαχθεῖσα BaPa* 2 *ἐργάσασθαι BaPa* | *ἄρα Pa* edd 3 *χλαῖναν γυναικείαν Pa* 4 *βαυκίδας* inserui om libri edd sed „*hic desunt nonnulla*“ Re *πόδες ποδήρη χιτῶνα οἱ* Wernsdorf *πόδες ὑπόδημα οἱ ἐν τοῖς* Iacobs Phil. 411 5 *κατὰ* et *ἐπ'* reposui e libris *ὑπὸ* et *τοῖς* edd | *οἱ* ante *δρόμῳ PLVi* edd sed *γρ κατὰ θηρίων ἐπ' ὄρεσι* in marg Mor delevi | *φθάσαντες* scripsi auctore Iacobsio l. l. *φοβήσαντες* libri edd 6 *τάχει πάντων* scripsi e *BaPa BPL πάντων τάχει Vi* edd 7 *οὔθ'* et *οὔτε* scripsi *οὐδ'* et *οὐδὲ* libri edd 8 *νενίκηκε PaPL* 10 *ἀπώσωμεν* scripsi e *Ba ἀπώσομεν Pa ἀποσώμεν B ἀπώσαιμεν PLVi* edd 11 *θεοί* — 12 *αὐτὸς* scripsi e *BaPa* sed in hoc *οἷς* om, *B θεοῖς τὴν ἀδοξίαν* (*δόξαν* edd) *ὁ πηλέως PLVi* edd sed *θεοί. ὧν τὴν δόξαν ὁ Πηλέως* coni Re *ποῦ Ἀχιλλέως πρόγονοι; ἐν παρθένοις τὴν δόξαν ὁ Πηλέως ἀνέθηκεν* Iacobs Lect 12 *προ ανέθηκεν Ba προανέθηκεν PaPLVi παρθένοις ἀνέθηκεν* (*προσανέθηκεν* Re) coni Cam Re 13 *δὲ* om *BaPa* 15 *κληθεῖσα* scripsi e *BaPaB κληθήτω PLVi* Barb et *γρ* in marg Mor *ἐκέκλητο* Cam Mor Re

καὶ κόρης εἰσαῦθις κληθήσεται ἐπιμελείας ⟨χωρὶς⟩ R IV 1015 | τῆς φύσεως διττὸν λαβοῦσα τὸ πρόσρημα καὶ δι᾽ ἑνὸς τοῦ φιλτάτου τοῖς ἐναντίοις κληθεῖσα. 8. λυέσθω μοι τοίνυν τὰ τῆς ἀρετῆς παιδευτήρια, ἀφείσθω μοι νέων κατάλογος προσφιλής. τὸ γὰρ τῆς παιδείας φοβεῖ με τέλος ὡς ἀκλεές.

ιε΄.

R IV 1034 *Τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἀφαιρούμενος τὴν Βρισηίδα;*

1. Ἕστηκας, ὦ Μενέλαε, ⟨ἐν⟩ τῇ γῇ τὴν ὄψιν πηξάμενος. ἀπεστράφης, Διόμηδες, μὴ θέλων ἀπιοῦσαν τὴν κόρην θεάσασθαι. σιωπᾷς, ὦ γέρον, ἔτι μὴ πιστεύων τῷ δράματι. ἐσφάλημεν Πάριν ἔχοντες ἕτερον ὁπλιζόμενον κατὰ τῆς πατρίδος. τί τὸν Ἀλέξανδρον Ἀγαμέμνων ἀμύνεται μάτην; ἄμφω τὰς ἀλλοτρίας ἁρπάζουσιν. εὐτρέπιζε μετὰ μικρόν, Ὀδυσσεῦ, τῷ βασιλεῖ

5 cf. ad p. 217, 16

1 *εἰσαῦθις* scripsi auctore Iacobsio Ach T 853 *αὖθις* libri edd | *ἐπιμελείας χωρὶς* scripsi *ἐπιμελείᾳ* libri edd sed „*sententia subicit ἐπὶ ταυτότητι τῆς φύσεως*“ Re *ἐπὶ ἀμελείᾳ* coni Cam et *γρ* in marg Mor *ἐπὶ τῷ διμερεῖ* Schwabe 3 *τοῖς φιλτάτοις* *Pa* | *ἐναντιωτάτοις* coni Re 4 *τὰ* om *BaPa* | *παιδευτήρια* scripsi e *BaPaBL* cum Bastio Comm. pal. (Greg. Cor.) 260 *παιδεύτρια P* et *γρ* in marg Mor *παιδεύματα Vi* edd 5 ⟨*τέως*⟩ *προσφιλής* coni Re 6 *ὡς* inserui e *BaPaB* om *PLVi* edd 8 *τί ἂν εἴποι ἀχιλλεὺς B* | *εἴπῃ PaL* 10 *ἐν* inserui om libri edd | *πηξάμενος* scripsi e *BaPa* *χρησάμενος BPLVi* edd *στησάμενος* coni Re *ἐρεισάμενος* Boissonade Choric. 168 12 *γέρων BPL* edd | *μὴ* scripsi e *BaPaB* ut coni Re *μὴν PLVi* edd 13 *ἔχοντες* scripsi e *BaPaB* *εἰσάγοντες P* sed *άγ* delet., edd *λέγοντες L* *ὁρῶντες Vi* 14 *τῆς* inserui e *B* om reliqui libri edd 15 *ἁρπάζουσι BaPaBPL* edd 16 *τῶ βασιλεῖ μετὰ μικρὸν ὀδυσσεῦ BaPa* | *μεταμικρὸν Vi* | *Ὀδυσσεῦ* reposui e libris cum Sinteni *Ὀδυσσεὺς* edd

τὴν Πηνελόπην ἐπιθυμήσαντι. τραγῴδησον, πρύτανι, τὰς ὡραίας τῶν γυναικῶν τῷ κρατοῦντι προσφέρεσθαι. 2. τί οὖν ὄφελος ἐμοὶ τῆς ἐμῆς ἐστερημένῳ διὰ τὴν Ἑλένην ὁπλίζεσθαι; δυσσεβῶ εἰ βάρβαρον ἠδικηκότα μηδὲν ἀμύνομαι ὑπὲρ τοῦ λυπήσαντός με δεινῶς. ἀλλ' b *οὐκέτι καθάψεται χεὶρ Ἀχιλλέως Τρωικῆς παρατάξεως μετὰ τὴν Βρισηΐδος ἀφαίρεσιν. ἐσφάλην καὶ τὴν ἀρχὴν κατὰ τῆς ἐμῆς ἐρωμένης ὁπλιζόμενος. οὔτε γὰρ αἰχμάλωτον εὗρον οὔτε | ταύτην ἀφῄρημαι. 3. ἐκέρ-* R IV 1035 *δανας, ὦ Τροία, διὰ τὴν Βρισηΐδα τὴν ἅλωσιν. ξέσει Πρίαμος ἐν λίθῳ τὴν κόρην ἀνάθημα τῆς Ἰλίου σωτήριον, παρὰ τὸ τῆς Τύχης τέμενος ἀνορθώσει ταύτης τὸ ξόανον. γράψει Φρὺξ αὐτὴν παρὰ τὴν ἑστίαν φυγών μου τὸ δόρυ τὸ μείλινον. 4. Διόμηδες φίλτατε, μακρὰν ἀπ' ἐμοῦ καταβόα τῇ σάλπιγγι. ὅταν με τοῦ ξίφους ὁ κτύπος προτρέψηται, μέλος με κατασχήσει τῆς*

---

6 Il. α 340 sq. 14 cf. p. 404, 13 et ad t. V 308, 6; 554, 10

---

4 *εἰ* inserui e *BaPa* om *BPLVi* edd | *ἠδικοῦντα Pa* 5 *ἀμύνομαι ὑπὲρ τοῦ λυπήσαντός με δεινῶς* scripsi e *BaPa* *ἀμυνόμενος· ὑπερασπίζω τοῦ βλάψαντος BPLVi* edd (*ὑπερασπίζων* Iacobs Lect) 6 *οὐκέτι* scripsi e *BaPaB* *οὐκ ἔστι PLVi* edd | *καθάψεται* inserui e *BaPa* om *BPLVi* edd | *ἀνθέξεται* post *παρατάξεως B* 7 *μὰ BaPa* 8 *οὔτε* scripsi *οὐ B* *οὐδὲ* reliqui libri edd | *αἰχμαλώτου ἂν ἥρων οὔτε ταύτην ἀφῃρούμην* Iacobs Lect 9 *ἐκέρδανας* reposui e libris *ἐκέρδανες* edd 10 *διὰ* scripsi e *BaPa* *μετὰ BPLVi* edd | *στήσει* Sintenis 11 *Πρίαμος* scripsi e *BaPa* cum Iacobsio Sinteni *πριάμου BPLVi* edd 12 *περὶ BaPaVi* | punctum post *τέμενος* libri edd delevi | *ταύτης* scripsi *ταύτην* libri edd *ταύτῃ τι* Iacobs Lect 13 *γράψει* scripsi *γράφει* libri edd | *παρὰ* scripsi e *PaB* *περὶ BaPLVi* edd 14 *μίλινον Ba* *μήλινον Pa* 15 *με* scripsi e *B* *μετὰ BaPaPLVi* edd *με τὰ* Iacobs Lect 16 *με κατασχήσει* scripsi e *B* cum Iacobsio Sinteni *με κατάσχῃ BaPaPL* edd *μετάσχῃ Vi*

φόρμιγγος. ἀσπὶς ὅταν ἐρεθίσῃ κτυπουμένη τῷ δόρατι, πλῆκτρόν με καταθέλξει καὶ χορδὴ κρουομένη τοῖς ᾄσμασι. 5. τίνα δοκεῖς, ὦ Πάτροκλε, τὸν ἀήτην περιπνέοντα; ἐπισκόπει τὴν αὔραν τὴν ἐπὶ Φθίαν ἄγουσαν. ἀποπλεύσωμεν ἀπὸ τῆς Τροίας χάριν ἔχοντες τοῖς βαρβάροις, ὑπὸ δὲ τῶν Ἀργείων πολεμούμενοι. 6. μάτην ἐκοπίασα, μάτην ἐπῆλθον οὐχ ἑκὼν πόλεις ἃς τεθέαμαι, ὁδὸν δ' ἔδωκα τούτων τὰ τείχη τοῖς βαδίζειν ἐθέλουσιν. οἰκεῖ τις τὴν ἐρημίαν ἄπολις ὢν διὰ τὸν Θέτιδος. ἔτι τις θρηνῶν υἱὸν πατὴρ τὴν Περσεφόνην ἠσπάσατο, ἔτι τις λέγων· ποῦ ποτ' ἐστὶν ὁ Θετταλός; τῷ πλησίον ἠσπάσατο, ὁ δὲ καὶ δεικνὺς τῷ ἀγνοοῦντι συντέθνηκεν. ἅπαντα δὲ ἦν ὡς εἰπεῖν τὰ τῆς πορείας Ἀχιλλέως ἐγκώμια. 7. τὰ δὲ πάντα συνδήσας τῷ κρατοῦντι προσέφερον. μίαν δὲ ἐμαυτῷ παραμυθίαν ἐτήρουν αἰχμάλωτον. ὁ δέ με τὰς εὐεργεσίας ἀμειβόμενος καὶ τῆς μιᾶς αἰχμαλώτου Βρισηΐδος ἀπεστέρησεν. 8. ἀλλ' εἶεν. ἵνα μὴ καιρὸν εὕρω τῆς σάλ-

1 Il. ι 186 7 cf. p. 238, 18 sq.

1 κτυπουμένη scripsi κτιπουμένη *B* om reliqui libri edd πλησσομένη Iacobs Lect 2 πλῆκτρόν scripsi auctore Iacobsio πλέον libri edd | χορδὴ καταθέλξει *B* | καθέλξῃ *Vi* | καὶ om *BaPaB* 3 ᾄσμασιν *Pa* | τὸν om *BaPa* 4 περιπνέοντα scripsi e *BaPa* πνέοντα *BPLVi* edd | τὴν ἐπὶ scripsi e *B* ἐπὶ τὴν reliqui libri edd 6 δὲ om *BVi* 7 μάτην (2) om *Ba* καὶ *Pa* | ἐπῆλθον scripsi παρῆλθον libri edd | παρῆλθον ἐξελὼν τὰς πόλεις ἃς ἐτεθεάμην (vel ἐθεασάμην), ὁδὸν δὲ δέδωκα Iacobs Lect | τὰς ante πόλεις edd delevi 8 δ' ἔδωκα scripsi δέδωκα libri edd 9 ἐθέλουσι *Vi* | τίς *PaPLVi* | τὴν om *B* 10 et 11 τίς libri edd | πατὴρ scripsi πρῶτος libri edd 11 ἔτι — 12 ἠσπάσατο om *BaPa* | ποῦ ποτ' scripsi οὗτος libri edd 12 ἂν ante ἠσπάσατο libri edd delevi | ἠσπάσατο delendum? 13 συντέθνηκε *PaVi* | τὰ ante ὡς *L* 14 τὰ inserui e *BaPaPVi* om *BL* edd | ἐγκώμιον *BaPa* 15 ἐμαυτῷ scripsi e *BaPaB* ἐπ' αὐτῷ *PLVi* edd 16 τὰς εὐεργεσίας scripsi ταῖς εὐεργεσίαις *BaPa* τῆς εὐεργεσίας *BPLVi* edd 17 ἀμειβόμενος scripsi cum Iacobsio Lect ἀμυνόμενος libri edd | ἐστέρησεν *Vi*

πιγγος διηγούμενος, ἓν ἔτι βούλομαι φθέγξασθαι προπετὲς ὡς ἀδικούμενος. ἐράτω τις, ὦ θεοί, καὶ Κλυταιμνήστρας ἐν Ἄργει. τῶν ἴσων Ἀγαμέμνων τύχοι, καὶ πείθομαι.

ις'.

Τίνας ἂν εἴποι λόγους Πολυξένη κελευ- R IV 1037 ομένη παρὰ τῶν Ἑλλήνων κομίζεσθαι λεγόντων αὐτῇ ὅτι νύμφη ἔσῃ τοῦ Ἀχιλλέως;

1. Ὅτε δι' Ἕκτορος ἀδελφὸν ἐστράτευες, Ἀγάμεμνον, οὐχ οὕτως ἦλθες ὁπλιζόμενος. οὐ τῷ Τηλεμάχῳ νύμφην ⟨ἄξῃ⟩ μετὰ τῆς ἀσπίδος, Ἰθακήσιε. ὦ παῖ τοῦ γαμοῦντος, ὅστις εἶ, δίχα με τῶν ξιφῶν τῷ θαλάμῳ προπέμψατε. ποίαν ἔχω τὴν διαφορὰν πολεμουμένη καὶ νυμφευομένη διὰ τοῦ δόρατος; 2. μίαν καὶ παρ' ὑμῶν ὡς κόρη χάριν αἰτῶ. ἐπειδὴ τὸ πρὶν τρέμουσα τὸν Πηλέως οὐ τεθέαμαι, | δειξάτω μοι τις αὐτόν, R IV 1038 ἵνα τὸν νυμφίον ἀσπάσωμαι. ἤκουον αὐτὸν παντὸς τοῦ γένους ἀντίπαλον. ἰδεῖν ἐπείγομαι, παρθένου Φρυ-

18 Chor. Priam. Herm. XVII 224, 20

1 διηγουμένης *B* | φθέγξασθαι βούλομαι *B* 2 τίς *P* 3 τύχοι scripsi cum Markowskio τύχῃ libri edd 6 τί *B* | εἴποι delet. *Ba* εἴπῃ *PaPL* | λόγους om *B* | κελευομένη — 8 Ἀχιλλέως] ἀπαγομένη πρὸς σφαγήν *BCa* | κελευομένη om *Vi* 7 κομιζομένη *Vi* 8 ὅτι om *Vi* | τοῦ ἀχιλλέως ἔσῃ *Vi* 9 ἕκτορα *BaPaBCaPVi* 10 οὐ τῷ scripsi οὕτω *Ba* sed τω delet., *BCaPLVi* edd τῷ *Pa* οὐχ οὕτω Sintenis | νύμφη *BCa* 11 ἄξῃ inserui coll t. VII 347, 16. Od. δ 10 om libri edd | μετὰ scripsi e *BaPaBCa* cum Sinteni κατὰ *PLVi* edd | ὦ om *BaPa* 12 ὅστις — 13 διαφορὰν om *Ca* | ὅστις *Ba* sed ὁ delet. τίς *B* 13 προσπέμψατε *B* | καὶ νυμφευομένη om *BaPa* 14 ποίαν *Ca* | ὑμῶν scripsi e *BaCaVi* ut coni Mor ἡμῶν *PaPL* ἡμῖν *B* edd 15 τοπρὶν *B* | τὸ om *Ca* | πρώην *Ca* 16 δειξάτω scripsi e *BaPa* δεῖξον *BCa* δείξει *PLVi* edd | τίς *PaBCaPL* 17 ἄκουσον *Ca* sed in ἤκουον corr m² | τὸν *Ca* 18 παρθένου scripsi e *BaPa* cum Iacobsio Lect Sinteni παρθένον *BCaPLVi* edd | φρυγίαν *B*

γίας εἰ πόθῳ δεδούλωται. 3. *οὐκ ἐβόας πρὸ μικροῦ, Διόμηδες, πεπτωκότα τὸν Θέτιδος; καὶ τίνι με προσάγεις; ἀπόκριναι. ἀπολέσας τὴν Ἑλένην, στερηθεὶς Ἀχιλλέως ἐθρήνεις, Μενέλαε. καὶ τίς, εἰπέ μοι, πρὸς θεῶν, ὁ νυμφευόμενος; ἐρωτῶ. μαρτυρεῖ μοι τὰ φθάσαντα; αἰκίζει τις τὸν Θετταλὸν ὄνειρός τε καὶ φάντασμα; εἰ δὲ τὸ σπουδαζόμενον ἐφ' ὑμῖν ἐστιν ἀνελεῖν με, μή με νύμφην Ἀχιλλέως ὀνομάζοντες σφαγιάσητε.* 4. *πάτερ, ὦ γέρον Πρίαμε, τί κόπτεις κατὰ μικρὸν τὸν πολιόν σου πλόκαμον; ηὔξω νύμφην τὴν Πολυξένην θεάσασθαι. ἰδού, σοί τις δαίμων καινοτέρως ἐπεβούλευσε, καὶ τὰ καλά σου τῆς ἀριστείας, ὦ Πάρι, τρόπαια τοῦ γένους ὑπάρχει πολέμια. ἓν βέλος κατ' Ἀχιλλέως ἠκόνησας, ἵνα μηδὲν τῶν σῶν ἐάσῃς [κἂν] λείψανον. κρεῖττον δέ μοι γενήσεται κατοικεῖν κάτω μετὰ τοῦ Ἕκτορος. τί γὰρ ὄψομαι τερπνὸν μετὰ τῶν ζώντων αἰχμάλωτος;*

---

1 *δεδούλωμαι BCa* 2 *με* om *Ca* | *προσάγεις* scripsi e *BaPaBCaVi* cum Iacobsio Lect *προσ ἄγῃς PL* edd 3 *ἀπολέσας* scripsi auctore Sinteni *ἀπώλεσας Ba* edd *ἀπώλεσα* reliqui libri *ἀπώλεσας τὴν Ἑλένην; ἢ στερηθεὶς Ἀχιλλέως ἐθρήνεις, Μενέλαε;* Iacobs Lect 4 *ἐβόας BCa* | *καὶ τίς* inserui e *BCa* om reliqui libri edd | *πρὸς τῶν θεῶν Vi* 5 *ἐρωτῶν μαρτυρεῖ BaPa* | *τὸν BaPa* 6 *αἰκίζει — φάντασμα* inserui e *BaPaBCa* om *PLVi* edd | *τίς BaPaBCa* | *τε* om *BaPa* 7 *καὶ* ante *τὸ BaPa* | *ὑφ' ὑμῶν?* | *με* om *BCa* 8 *σφαγιάσητε ὀνομάσαντες Vi* | *σφαγιάσατε Pa* 9 *ὦ* delet. *Ba* om *Pa* | *γέρον* delet. *Ba* *γέρων BPL* edd | *καταμικρὸν PaVi* 11 punctum posui signum interrogationis *PLVi* edd om reliqui libri | *καινοτέρως* scripsi e *BaPaBCa* *καινότερον PLVi* edd 14 *μη*[δ] *P* *μὴ δὲ BCaVi* | *κἂν* cancellavi 15 *κρείττους Ba* sed *ους* parum certum *κρείττω Pa* | *κατοικεῖν* om *Vi* *οἰκεῖν Pa* | *μένειν* post *κάτω Vi* 16 *τὸ* post *τί Ca* | *καινὸν BaPa*

ιζ'.

Τίνας ἂν εἴποι λόγους Μήδεια γαμοῦντος ἑτέραν Ἰάσονος; R IV 1033

1. *Νῦν ἤθελον παρεῖναι μετὰ τῶν ταύρων καὶ τὸν δράκοντα, ἵνα παρ' αὐτοῖς τῷ Θετταλῷ συστῶ καὶ δικάσωμαι. νυμφίος Ἰάσων ἑτέρας μεθ' ἡμᾶς καὶ τὸ δέρας καὶ τὸν Ἄψυρτον. χορεύει τις παρὰ τὸν γάμον παίζων μου τὴν ὑπόθεσιν. σκιρτᾷ τις ὑφ' ἡδονῆς γελῶν με· τί μετ' Ἀργείων ἡ βάρβαρος; ἄλλος ὑπὸ Διονύσου βαλλόμενος περιπλέκεταί με δακρύουσαν καὶ παρενοχλεῖ μου τὰς ἀκοὰς ψιθυρίζων ἀντὶ Ἰάσονος ἔχειν με.* 2. *καὶ σιωπῶ γένος θεῶν ὃ πολλάκις ὀμνύων ἠσέβησεν. ἐν γῇ Σκυθῶν τὴν Ἄρτεμιν ὤμνυε, τὸν Ποσειδῶνα παρὰ τὴν θάλατταν, παρὰ τὴν Ἑλλάδα τὴν Ἀθηνᾶν καὶ Δία τὸν Ὀλύμπιον. πάντας λέγει τοὺς ἀρίστους, πῶς οὐκ οἶδα, θεούς. πολλοὺς γάρ μοι κατεβόα ψευδόμενος. ἰδού, κἀκείνοις κἀμοὶ καὶ τοῖς παι-*

---

4 cf. p. 373, 12 sq. 5 cf. t. II 30, 13 7 cf. p. 375, 15 8 cf. t. IV 492, 5 sq. 13 Nicol. prog. l. l. 301, 27 sq.; 312, 15

---

2 *τί B* | *εἴποι λόγους* scripsi e *Ba* *εἴπη λόγους PaL* *λόγους εἴπη PVi* *εἴποι B* *λόγους εἴποι* edd | *ἡ μήδεια BaPa* 3 *ἑτέραν γυναῖκα μνηστευομένου B* | *ἰάσωνος BaPaVi* 4 *τὸν ταῦρον Pa* | *τῶν δρακόντων B* 5 *αὐτοῖς* scripsi e *B* *αὐτῷ* reliqui libri edd sed *πάλιν* coni Re | *τῷ* inserui e *BaPa B* ut coni Re om *PLVi* edd | *συστῶσι* coni Re | *καὶ δικάσωμαι* inserui e *BaPaBP* sed in hoc *καὶ δικάσ*^{ωμ} delet. *καὶ συναγωνίσωμαι Vi* in lac 3 litt om *L* edd 6 *ἑτέροις Pa* | *ἡμῶν B* 7 *κέρδος Vi* | *λαβὼν* post *δέρας B* | *τὸ PLVi* | *τίς BaPa BL* 8 *τίς PaPL* 11 *τῶν ὤτων* ante *τὰς ἀκοὰς BaPa*, *τοῖς οὔασι BPLVi* edd sed *τοῖς οὔασι, πρὸς τὰς ἀκοὰς* coni Re delevi | *ἰάσωνος BaPaVi* 13 *τῇ B* | *σκυθίων BaPa* 14 *τὴν* om *Vi* | *θάλασσαν PaB* 15 *διὰ PLVi* | *λέγοι Ba* 16 *πῶς* inserui e *BaPa* om *BPLVi* edd | *οἶδε B* 17 *κἀκείνοις κἀμοὶ καὶ τοῖς παισὶν* scripsi e *BaPa* *κακείνους κἀμὲ καὶ τοὺς παῖδας BPLVi* edd

σὶν ἀγνωμονεῖ. 3. τὸν ἕσπερον περιμένεις, ὦ Θετταλέ, τὸν ἐράσμιον. κἀγὼ τοῦτον φυλάττω πρὸς φόνους R IV 1034 ἐπιτήδειον. ὀνειροπολεῖς τὴν παστάδα | καὶ τὸ πῦρ τὸ γαμήλιον. κἀγὼ τὸ ξίφος καὶ τὸν στέφανον τὸν Ἡφαίστειον. σπεύδεις ἀνάψαι τὴν δᾷδα τῇ Κύπριδι. κἀγὼ τῷ σῷ Ἔρωτι τὴν σὴν νύμφην. χαριστήριον πλεῖον ὧν δέδωκα δίδωμί σοι τὰ δάκρυα. 4. ἕτοιμος ἵσταται τῶν δρακόντων ὁ δίφρος. μετὰ τὴν τόλμαν φευξοῦμαι μετέωρος. εὐγενίσω δὲ τὰς τῶν γυναικῶν μονογάμους καὶ νόμον ἐν τῇ Ἑλλάδι θήσω τὸν σώφρονα. δείξω γὰρ φόβῳ τῆς ἐμῆς ἱστορίας ἑτέρων ἐρᾶν τοὺς συνοίκους μὴ βούλεσθαι, ἀλλὰ ταύτας ἔχειν κυρίας γυναῖκας ἄχρι τῆς τελευτῆς ὧν καὶ τὸ ἄνθος τῆς παρθενίας ἐμίαναν.

ιη'.

R IV 1044 Τίνας ἂν εἴποι λόγους πόρνη σωφρονήσασα;

1. Ἐρρέτω μοι γένος προαγωγῶν. οὐκέτι δύο καὶ τριῶν ὀβολῶν τῷ προσιόντι πιπράσκομαι. καθελεῖ μοί

1 Od. α 421 8 sq. cf. p. 376, 5 sq. 10 cf. p. 415, 10

1 ἕσπερον scripsi auctore Iacobsio Lect Anth. Pal. III 258 App. Pors. 333 νεώτερον libri edd 2 ταῦτα *Vi* | φόνον *B* 3 ὀνειρο(ω *Pa*)πολεῖ *BaPaVi* 4 τὸ om *L* 5 ἡφαίστιον *Vi* ἡφαίστου *P* | τῇ] τῷ *PVi* 7 πλεῖον ὧν (ὧν *Ba*) δέδωκα δίδωμί scripsi e *BaPa* πλειόνων δώδεκα καὶ δίδωμί *BP LVi* edd sed ἴσ. δέδωκα in marg Mor 8 δακρυόντων *B* | ἐπὶ *B* 9 φευξοῦμαι *Ba* sed μαι delet. | εὐγενίσω scripsi e *BaPa* εὐεργετήσω *BPLVi* edd | τὰ *BaPa* 10 μονογάμους om *BaPa* 16 Τίνας — σωφρονήσασα; om *Bar* | τίνας delet. *Ba* ποίους *Pa* | ἂν delet. *Ba* | λόγους εἴπῃ *BaPa* | εἴπῃ *L* εἶπε *Pal* 18 προσαγωγῶν Cumont | οὐκ ἔτι *CaPalVi* | ἢ *Bar* 19 καθαιρείσθωσαν *BaPa* καθέλοι Iacobs Lect | μοί scripsi μου libri sed om *BaPa*, edd

τις τὰ περὶ τὴν Κύπριν τῶν ἐραστῶν ἀναθήματα, ὧν καὶ τῇ μνήμῃ μόνῃ μέμφομαι τὰ μιάσματα. 2. ἥρπαζον τὸ ῥόδον, ἤσκουν τὴν ἀναισχυντίαν, ὠνειροπόλουν τὰ χείρονα, ἔσπευδον τὴν νύκτα τῆς ἡμέρας αἰσχροτέραν ἐργάσασθαι. ἔτι περιπλεκομένη τὸν δεῖνα τὸν πλησίον ἐθήρευον, ἐπέσκωπτον τῷ γείτονι ψιθυρίζουσα. ἐμὸς ἦν ὁ λῃστής, ἐφίλουν τὸν ἀποκήρυκτον, μεστὴν εἶχον τὴν οἰκίαν ἀνδρῶν ἀπρεπῶν. 3. ἀλλὰ καθαίρω τὴν γνώμην, φεύγω τὴν Ἀφροδίτην, φιλῶ τῆς Ἀθηνᾶς τὴν ἐπιείκειαν. νόμον ἐν τῷ Λιβάνῳ θήσω τοῦτον, ἵνα τοῦ γράμματος ἔχῃ τὴν δύναμιν· ἐξόν σοι, γύναι, καὶ σωφρονεῖν καὶ φεύγειν τὴν Ἀφρογένειαν

---

10 Luc. adv. indoct. 3. Euseb. vit. Const. III 5 | cf. p. 414, 10

---

1 τις om *BaPa* τίς *BPLBar* Cumont | παρὰ *BaCaPalBar* Cumont | ὧν et 2 μόνῃ inserui e *BaPa* om *BPLViCaPalBar* edd 2 τὰ μιάσματα scripsi e *BaPa* διὰ τῶν προτέρων *B* διὰ τὰ πρότερον *PLVi* edd διὰ τὰ προ´ (superscr. τρ) *Pal* διὰ τὰ πρότερα *Ca* sed τὰ πρότερα in τῶν προτέρων corr m rec, *Bar* Cumont 3 δοῦρον *Bar* Cumont 4 χείριστα Cumont | αἰσχροτέραν τῆς ἡμέρας *B* et e τῆς ἡμέρας αἰσχροτέραν corr *Ca* m rec | αἰσχροτέρως *Ba* sed οτέ delet. 5 ἐργάζεσθαι *BaPa* ἀσπάσασθαι *CaPalBar* Cumont | ἢ τὸν δεῖνα post δεῖνα *CaPalBar* Cumont 6 ἐζήτουν *Ca* sed γρ ἐθήρευον suprascr m rec, *Pal Bar* | ἐπέσκωπτον scripsi e *BBar* cum Cumontio ἀπέσκωπτον *BaPaP* edd ἀπέσκοπτον *LVi* | τὴν ante τῷ *BaPa* τὸν γείτονα τῷ γείτονι coni Iacobs Wolf. Litter. Anal. I 382 Lect. Misc. crit. ed. Friedemann et Seebode II 371 | ψιθυρίζουσαν *BaPa* 8 καθαιρῶ *Pa* 10 νόμον scripsi e *BaPaBViBar* cum Morello Not Iacobsio Lect Anth. Pal. III 864 Cumontio νόμῳ *PLCa* edd νόμος *Pal* sed ος in ω corr m² | Λιβάνῳ scripsi cum Roethero Misc. crit. ed. Fried. I 638 Iacobsio Cumontio λιβάνῳ libri edd λαῷ vel ναῷ coni Mor Not 11 ἵν' ἐκ *BaPa* | τοῦ delendum? | προγράμματος Iacobs l. l. | ἔχω *Vi* | τὴν inser *Ca* rubr 12 σέβειν *CaPalBar* Roether Cumont | τὴν ἀφροδίτην *Vi* τὰ ἀφροδίσια *BaPa*

μή σου τῆς ἀσελγείας ἀφορμὴν τὴν Ἀφροδίτην προβάλλου μοι. οὐ πέφρακται ταῖς σώφροσιν ἱκετεύειν τέμενος. φεύγει καὶ Κύπρις τὸν γάμον, εὖ οἶδα, τὸν ἐφύβριστον, ὅπου πολλάκις R IV 1045 ἀγνοεῖ | τὸ σπέρμα πατὴρ ὃ πεφύτευκεν, ⟨καὶ⟩ ὁ δεύτερος τοῦ πρώτου σφετερίζεται καὶ μίσγεται τὰ γένη καὶ πάντα τίκτει δυσσέβειαν. ταῦτα γράφω καὶ γράψω καὶ τούτοις χρήσομαι. τάχα τῶν ἑταιρῶν ἀνελῶ τὸ πικρὸν ἐργαστήριον.

---

1 *μή Ca* sed *η* ex *υ* corr m rec | *ἀσελγείας* scripsi cum Iacobsio *ἀσεβείας* libri edd | *ἀφορμὴν* inserui e libris cum Cumontio om edd sed „*adde e Reg. Cod. quod hic excidit ἀφορμὴν*" Mor Not | *τὴν Ἀφροδίτην προβάλλου* scripsi e *Ba PaCa* sed in hoc *ου* in *ει* corr m rec, *PalBar* cum Roethero Cumontio *προβάλλου* (*προβάλῃ PL* edd *προβάλλῃ Vi*) *τὴν ἀφροδίτην* (*ἀφρογένειαν Vi*) *BPLVi* edd | *προβάλῃς* Iacobs 2 *ταῖς* scripsi e *PaCaPalBar* cum Cumontio *τοῖς BaBP LVi* edd 3 *πρὸς τὸ ἱκετεύειν* vel *ἱκετεύειν βουλομένοις* coni Mor Not *ἱκετεύειν* ⟨*τὸ*⟩ *τέμενος* Cumont | *ταύτην Pal* sed *ύτην* in ras m² | *φεύγειν L* | *τὸν* om *Ca* | *εὖ οἶδα* post *γάμον* inserui e *BaPaB*, post *κύπρις CaPalBar* Cumont om *P LVi* edd 5 *ὁ* ante *πατὴρ CaBar* Cumont | *πεφύτεῦ Ba πεφύτευκε Pa ἐφύτευσε Vi πέφυκεν B* 6 *καὶ* inserui cum Cumontio om libri edd | *τοῦ προτέρου* ⟨*τὴν γυναῖκα*⟩ Cumont | *σφετερίζεται Pal* sed *αι* in ras ex *ο* ut videtur corr 7 *μίγνυται Ca* sed *γνυ* in ras m rec *μίγεται B* | *γένη πάντα· καὶ τίκτει B* | *δυσσέβειαν* scripsi e *BaPaBCaPalBar* cum Cumontio *δυσσέβεια PLVi* edd sed *δυσσεβῆ* coni Mor Not 8 *τάχ' ἂν* Iacobs Lect Anth. Pal. III 864 9 *ἑταιρῶν* scripsi e *BaPaCa* sed in hoc *αιρῶν* ex *αἱρων* corr m², *Bar* cum Iacobsio Misc. Sinteni Cumontio *ἑταίρων Pal* sed *αι* in ras m² *ἑτέρων BPLVi* edd | *ἀνελῶ* scripsi e *PalBar* cum Iacobsio Misc. Sinteni Cumontio *ἀνέλω* reliqui libri edd

ιθʹ.

Τίνας ἂν εἴποι λόγους δειλὸς θεασάμενος πόλεμον ἐν τῇ ἰδίᾳ οἰκίᾳ γεγραμμένον; R IV 1021

1. *Τίς, ὦ θεοί, στρατόπεδον ἀπέδειξε τὴν ἐμὴν οἰκίαν; ποῖος ὥπλισεν Ἄρης; ποῖος στρατηγὸς ταύτας ἤγαγε τὰς τάξεις οὐδὲ συμβαλεῖν μελλούσας; ἀλλ' ὁ πόλεμος ἀκμάζει καὶ τὰ πολλὰ τῆς μάχης γεγένηται.* 2. *πρότερον ⟨τῶν⟩ ἔξω θορύβων καταφυγὴν εἶχον τὴν οἰκίαν καὶ μακρὰς ἐρεσχελίας οὐ φέρων τῶν πολιτῶν διασώζειν ἐμαυτὸν ἐβουλευόμην ἐν τῇδε. νῦν δὲ τῆς φυγῆς ἀξίαν ὁρῶ καὶ προσιδεῖν οὐ δύναμαί πως.* 3. *ὑπὲρ εἰρήνης ἦν ἐκκλησία. τῶν συνιόντων ἐγενόμην. εἶτα πόλεμον ἠπείλησαν οἱ ῥήτορες. ὡς βέλη πολεμίων φεύ-*

2 Lucill. Anth. Pal. XI 211. Luc. hist. conscr. 29

2 *τί B* | *ἂν* om *Ba* | *εἴπῃ PL* | *λόγους* om *B* | *ἰδὼν BCa* 3 *ἐζωγραφημένον* ante *ἐν BCa* | *τῇ ἰδίᾳ οἰκίᾳ* scripsi e *BaPa* *τῇ οἰκίᾳ αὐτοῦ B* *τοῖς τοίχοις τῆς ἑαυτοῦ οἰκίας Ca* *τῷ οἰκείῳ* (*αὐτοῦ Vi*) *οἴκῳ PLVi* edd | *γεγραμμένον* om *BCa* 4 *ὦ θεοὶ τίς BaPa* | *ἀπέδειξε στρατόπεδον Ba* | *τὴν ἐμὴν οἰκίαν ὑπέδειξε Ca* | *ὑπέδειξε B* 6 *τὶς Vi* | „*fort. τάξεις τὰς οὐδέποτε συμβ.*" Re | *ἤδη* Iacobs Lect 8 *καὶ* ante *πρότερον Pa* | *τῶν* inserui auctore Sinteni om libri edd | *καταφυγὴν* scripsi e *BaPaBCa* *καταγωγὴν PLVi* edd 9 *μακρὰς ἐρεσχελίας* scripsi e *BCa PLVi* *μακρὰν ἐρεσχελίαν BaPa* edd sed *μικρὰν* coni Sintenis | *οὐ φέρων*] *ἐμίσουν BaPa* 10 *σώζειν BaPa* | *ἐβουλευόμην* scripsi *ἐβουλόμην* libri edd | *ἐν τῇδε* inserui e *Ba* *ἐν τῷδε Pa* om *BCaPLVi* edd 11 *ἄξιον BaPa* | *προσιδεῖν οὐ δύναμαί πως* scripsi *προιδεῖν* (sed *ο* delet. *Ba*) *οὐ δύναμαι πῶς* (*τίς BCaPLVi* edd) libri edd sed „*fort. προσιδεῖν οὐ δύναμαι ἔτι*" Re *προιδεῖν οὐ δύναμαι. τί δ'* H. de Rohden de mundi miraculis 42 | *ὑπὲρ εἰρήνης ἦν ἐκκλησία. τῶν συνιόντων* scripsi auctore Re *ἐν ἐκκλησίᾳ τῶν προσιόντων* (*πολεμίων BaPa*) *Ba PaBCa* sed in hoc *ὑπὲρ εἰρήνης* post *προσιόντων* *ὑπὲρ εἰρήνης ἐν* (*ἡ* edd) *ἐκκλησίᾳ τῶν συνιόντων PLVi* edd sed *ἦν ἡ* coni Mor *εἴ τις ὑπὲρ εἰρήνης ἦν ἐκκλ.* Iacobs Lect *ἦν ἐκκλησία;* Rohden l. l. | *εἶτα* scripsi auctore Re cum Rohdeno *εἰ* libri edd 13 *ὧν ὡς* Rohden | *πολεμίων* scripsi ut coni Re *πολέμων*

γων τοὺς λόγους ἔθεον οἴκαδε, τὴν ὁμόνοιαν ἔνδον τῆς καλῆς οἰκίας εὕρισκον, ἣν ὁ ζωγράφος ὁ δεινὸς τὴν τέχνην ὥπλισε καθ' ἡμῶν καὶ πόλεμον ἔστησε πολὺν ἐν ὀλίγῳ χρόνῳ, πόλεμον οἷον αἱ πόλεις κατασκευάζουσιν ἀπὸ πολλῶν χρημάτων. 4. πάσας μὲν ἔστησε τὰς τάξεις, ὁπλίτας, ἱππέας, τοξότας, σφενδονήτας, καὶ μένει ἐν ἡσυχίᾳ οὐδέν, ἀλλ' ὁ πόλεμος τῶν ἱππέων
R IV 1022 πολὺς | καὶ χεῖρες ἐνεργοῦσι γενναῖαι καὶ βέλη προσομιλεῖ τε τοῖς σώμασι καὶ μέλλει προσομιλεῖν ἐξ ἀέρος καὶ πᾶν ὄργανον ἐνεργεῖ καὶ τὸν σίδηρον ἠκονημένον ὁρῶ καὶ πολλὴν ἔχει τὴν λαμπηδόνα. ἁπλοΐδες ὅσαι φοίνισσαι, τραυματίαι δὲ πολλοὶ καὶ θνήσκοντες τὸ εἶδος. αἴρουσι πολλοὺς ἑταῖροι καὶ φεύγων ἕτερος λαμβάνεται καὶ γενόμενος ἱκέτης μετὰ τῆς ἱκετείας

11 cf. t. VII 97, 10

libri sed om *BCa*, edd | *φεύγων P* sed ʹ et *ω* delet. *φεύγει σου L*

1 *ὁμόνοιαν* scripsi *μένουσαν* libri edd sed „*fort. τὴν μὲν οὖν εἰρηνεύουσαν ἔνδον, τὴν καλὴν*“ Re 2 *τῆς καλῆς οἰκίας* scripsi *τὴν καλὴν οἰκίαν* libri edd | *ἣν ὁ ζωγράφος ὁ* scripsi e *Ba* sed *ἣν ὁ* delet., *Pa* *ὡς BCaPLVi* edd 4 *ἐν* om *B* | *χώρῳ*? *καὶ BCa* | *κατασκευάζουσιν ἀπὸ πολλῶν χρημάτων* scripsi *κατασκευάζουσιν ὑπὲρ πολλῶν χρημάτων BaPa* *πολλῶν κατασκευάζουσι χρημάτων BCaVi* *πολλῶν κατασκευάζουσι χρήματα PL* Mor qui *πολλοῖς κ. χρήμασι* coni, Re qui *ἀπὸ πολλῶν κατασκευάζουσι χρημάτων* coni 5 *πόσας* Iacobs Lect 6 *σφενδονίτας PL* edd 7 *ἐν ἡσυχίᾳ* scripsi e *BaPa* *ἥσυχον BCaPLVi* edd

8 *ἐνεργοῦ* Re | *γενναῖαι* reposui e libris ut coni Re *γενναῖα* edd 9 *προσομιλεῖ τε* scripsi ut coni Re *προσομιλοῦσι* libri edd | *τοῖς* inserui e *BaPaBCa* om *PLVi* edd | *καὶ μέλλει προσομιλεῖν* om *BaPa* 10 *ἐνεργεῖ* scripsi e *BaPa* *ἐνεργὸν BCaPLVi* edd 11 *ἁπλοΐδες ὅσαι φοίνισσαι* scripsi auctore Re *ἁπλοῖς* (*ἁπλῶς Pa*) *ὅσον* (*ὅσην BaPa*) *φοίνισσαι BaPaPLVi* edd om *BCa* 13 *τὸ εἶδος* om *BCa* | *αἴρουσι πολλοὺς ἑταῖροι* scripsi auctore Re *αἱροῦσι* (*ἄρχουσι BaPa*) *πολλοὺς* (*πολλῶν BaPa* *πολλοῖς PLVi*) *ἕτεροι* libri edd | *οἱ ἑταῖροι* coni Re
14 *καὶ* ante *μετὰ Vi* | *τῆς ἱκετείαν Pa* *τὴν ἱκετείαν Bodl* et coni Re | *οἰκετείας PLVi* Mor

δέχεται τὴν πληγήν. 5. *τούτοις ἀναγκάζομαι συζῆν καὶ μετὰ τούτων ἡμέρας πολλὰς καὶ διαίτας διάγειν. οὐ γὰρ ἔχουσι κόρον οὐδὲ τέλος τοῦ ἔργου. ἀπηνέστεροι τῶν μαχομένων ἀληθῶς εἰσι, χαλεπώτεροι τῶν ἐν πεδίοις. ἐκείνοις μὲν καὶ νὺξ ἐπῆλθε καὶ διήλλαξε καὶ δείπνου καιρὸς καὶ πεσόντων ἀναίρεσις, τούτους δὲ θεῶν ἢ ἀνθρώπων οὐδεὶς ἀποστήσει τῶν πολέμων.* 6. *Ἡράκλεις, οἱ μὲν ἀναμένουσιν ὡς ἐτάχθησαν οὐκ εἰδότες οὐδὲ μικρὸν εἴκειν ἀνάγκῃ. φεύγειν ἐντεῦθεν καλόν. ἐξίσταμαι τοῦ κτήματος. ἐχέτω τὴν οἰκίαν πλήρη μάχης ὁ στρατιώτης. μόνος ὑμᾶς ὁ ζωγράφος θεωρείτω.*

κ′.

Τίνας ἂν εἴποι λόγους δειλὸς φιλάργυρος εὑρὼν χρύσεον ξίφος; R IV 1043

1. *Ὦ Τύχης καινὰ δῶρα, ὦ γνώμης ἀμφίβολα τολμήματα. τί γὰρ καὶ δράσομεν; εἴξομεν τῷ φόβῳ; ἀλλὰ μένειν κελεύει τὸ κέρδος ἐλεύθερον. εἴθε μήποτε τέ-*

---

5 Il. θ 488
13 Aesop. fab. 67 ed. Halm.

---

1 *καὶ* inserui e *BaPa* om *BCaPLVi* edd 2 *διέτους BCa νύκτας* coni Re | *διάγειν* scripsi e *BaPaBCa* ut coni Re *ἄγειν PLVi* edd 3 *κύρον BaPa κόρην L* 5 *ἐκείνους μὲν γὰρ καὶ νὺξ ἐπελθοῦσα διήλλαξε* coni Re 6 *πεσόντων ἀναίρεσις*] *φροντὶς ἀναπαύσεως BaPa* 8 *Ἡράκλεις, τῆς ἀνδρείας* (*μανίας* Iacobs). *μένουσιν* coni Re Iacobs Lect App. Pors. Adv. 294 | *οἱ* scripsi e *BaPa* cum Bastio Comm. pal. (Greg. Cor.) 877 *τοῖς BCaPLVi* edd 9 *εἰδότες* scripsi e *BaPa* ut coni Re Bast *εἰδόσιν BaCaPLVi* edd *οἴδασιν* Iacobs | *ἀνάγκῃ* scripsi ut coni Re Iacobs *ἀνάγκη BCaPLVi* edd *ἀνάγκαις BaPa* 10 *πλήρη* scripsi e *BaPa καλείσθω BCaPLVi* edd *κρατείσθω* Iacobs 11 *ὁ* (2) inserui cum Iacobsio om libri edd 13 *ἂν* om *BaPaVi* | *λόγους εἴποι BaPa* | *εἴπῃ PL* 16 *δράσωμεν; εἴξωμεν B* 17 *ὀλέθριον* Iacobs Lect 179

χνας ἐξήσκησαν ἄνθρωποι. τί γὰρ καὶ βούλονται; οὐκέτι τὸν ἵππον ἀγαπῶσι τῇ μάχῃ. πλουτοῦσι τῷ πολέμῳ ἢ χρυσῷ κατ' ἀλλήλων ὁπλίζονται. καὶ μὴν οὐ μᾶλλον σίδηρος ἢ χρυσὸς βάλλειν ἐπίσταται; 2. ἀλλὰ τί ταῦτα μάτην λογίζομαι; οὕτω καθ' ἡμῶν βραβεύει τὸ δαιμόνιον. τοιαύτας ἀναιρεῖ τὰς δωρεὰς ἡ Τύχη. εἴθε πονηρὸς ἐγενόμην ἐγώ. ἐκέρδησά γε ἂν τὸν ἐπὶ τούτῳ τῷ πλούτῳ φόβον. τί γάρ με δειλὸν ἡ φύσις ἔτεκε; τί δὲ
R IV 1044 φιλοκερδὴς | ἐγενόμην ἄνωθεν; εἴθε μου τὰς ὠδῖνας ἔφθη ἡ πρὸ ταύτης σιγὴ τῆς θέας, ἣν οὐ φέρω ἰδεῖν τάχα καὶ μόνῃ τῇ θέᾳ. εἴθε ἦν παρὸν καὶ τὸ κέρδος τῷ τραύματι. πολλάκις ὀνομάζειν φοβοῦμαι τὸ ξίφος. ἀναγκάζει τὸ κέρδος. 3. ἀλλὰ τί ταῦτα διέξειμι; εἴπω γειτόνων τοῖς πλησιάζουσιν. ἐξεῦρον γάρ τι πρὸς τὸ παρόν, ὦ Τύχη. κοινωνήσω τοῖς διοδεύουσι τοῦ κτήματος, ὅτε τὴν θέαν πεφόβημαι, καὶ τὴν χεῖρα περιθεὶς καὶ ταῖς γνώμαις τούτων κινηθεὶς κουφίσω

---

5 cf. t. VI 312, 8 7 cf. t. VII 130, 18 12 Aesop. l. l. p. 34, 2 sq.

---

1 καὶ inserui e BaB om PaPLVi edd 2 μάχῃ scripsi e BaPaB τέχνῃ PLVi edd | τῷ πολέμῳ om B 3 κατ' ἀλλήλων ἢ χρυσῷ κατ' ἀλλήλων B | ἢ scripsi e BaPaB οἳ PL Vi edd | οὐ om Pa 6 εἴθε scripsi εἶγε libri edd 7 τὸν delet. Ba τοῦ L 9 μοι L 10 πρὸ ταύτης scripsi e BaPa πρὸς ταῦτα BPLVi edd | ἣν οὐ φέρω ἰδεῖν τάχα καὶ μόνῃ scripsi e BaPaB ἃ χαίρων (χαίρω edd) ἰδεῖν καὶ μόνῃ τάχα PLVi edd sed γρ χαίρων in marg Mor 11 εἴθε — 12 τραύματι om BaPaB | ἦν scripsi οὖν PLVi edd 13 ἀναγκάζει τὸ κέρδος inserui e BaPaB om PLVi edd | διέξειμι; εἴπω γειτόνων τοῖς πλησιάζουσιν scripsi e BaPaB ποῦ τῶν ὁδοιπόρων οἱ πλησιάζοντες; PLVi edd 15 τι delet. Ba | κοινωνῶ Vi 16 πεφόβημαι, καὶ τὴν χεῖρα περιθεὶς καὶ ταῖς γνώμαις τούτων scripsi e BaPaB ἀφῄρημαι, τότε τῇ χειρὶ παραθεὶς ἢ ταῖς γνώμαις PLVi edd

τὸν δειμὸν ἐννοῶν τὸ κέρδος. 4. εἴθε μοι ἦν τάλαντον ἢ χρυσοῦ κόσμος ἕτερος. καλὸς ἂν ἦν ὁ θησαυρός. νυνὶ δὲ μείζων ὁ φόβος τοῦ κτήματος. εἰσὶ γάρ, εἰσὶ πολλαὶ κέρδους προφάσεις. προσεδρεύσω τῷ τόπῳ. ἐνταυθοῖ μενῶ τοὺς θεοὺς ἱκετεύων συμμαχῆσαί μοι. τῷ χρόνῳ μελετήσας τὸ τόλμημα τάφον ἢ κέρδος ἕξω τὸ προκείμενον.

κα΄.

Τίνας ἂν εἴποι λόγους ὁ Μενέλαος μαθὼν R IV 1023 *περὶ τῆς Ἀγαμέμνονος τελευτῆς;*

1. *Φεῦ τῆς μαντείας τῆς δυστυχοῦς. οἷα ἔσπευδον ἀκοῦσαι καὶ μαθεῖν ἃ κέρδος ἦν ἔμοιγε μέχρι παντὸς ἀγνοεῖν. οἴχεται Ἀγαμέμνων καὶ τέθνηκεν ὁ πάντων ἐμοὶ φίλτατος οὐκ ἐν καλῷ τὴν πληγὴν δεξάμενος, ἀλλ' ἀφ' ὧν ἥκιστ' ἐχρῆν.* 2. *καὶ μείζω τὰ τῆς αἰσχύνης ἐπὶ τῷ πάθει τῆς ἀπηντηκυίας συμφορᾶς. ὁ τῆς Ἑλλάδος ἁπάσης ἡγούμενος, ὁ τοῦ μεγάλου πολέμου στρατηγός, ὁ τοῖς Ἡρακλέους κατορθώμασιν ἁμιλληθεὶς καὶ τὸ μέγα κατὰ τῆς Ἀσίας ἐγείρας τρόπαιον οἴκοι γενόμενος ἔχει τὴν καιρίαν καὶ τέθνηκε καὶ τῆς τοῦ πολέ-*

---

9 Od. δ 512 sq. 18 cf. p. 339, 9

---

1 *τὸν δειμὸν* scripsi *τὸν δεῖμον Ba τὸν δῆμον PaB μόνον PLVi* edd | *εἴθε* delet. *Ba* | *μοι* scripsi e *BaPaB γὰρ PLVi* edd 3 *μείζων* — 5 *ἱκετεύων* om *B* | *μείζων* delet. *Ba*
4 *ἐνταῦθα BaPa* 5 punctum post *μοι* inserui om libri edd 6 *ἕξω* scripsi e *PaBVi* delet. *Ba ἕξω PL* edd
9 *ἂν* om *B* | *εἴπη BaPaP* | *ὁ* om *BaPaB* 10 *περὶ* om *BVi* | *τὴν ἀγαμέμνονος τελευτὴν Vi τὴν τελευτὴν ἀγαμέμνονος B* | *τοῦ* ante *ἀγαμέμνονος PL* 14 *ἐνκαλῷ Pa* 15 *ἥκιστα L* edd 16 *ὅ τε Vi* 17 *στρατιώτης L στρατοπέδω Vi*
18 *ὁ* om *Vi* | *ἡρακλέος BaPL* | *κατορθώμασιν ἁμιλληθεὶς* scripsi e *BaPaB* qui habet *ἀμιλληθεὶς ἀμιλληθεὶς* (*ἀμιλληθεὶς P*) *κατορθώμασι PLVi* edd 19 *τροπαίον Pa*

μου τύχης κρείττων ἀναφανεὶς καὶ οὐδὲν ἀνήκεστον παθὼν ἐν τοῖς ὅπλοις ἐν εἰρήνῃ καὶ ἐπὶ τῆς αὑτοῦ ἑστίας καὶ οἴκοι γενόμενος διέφθαρται. 3. *ὢ δυστυχὴς ἐγὼ τῶν παρόντων. εἰς οἵαν ἀφῖκταί μοι τὰ πράγματα μεταβολήν. πρότερον μὲν λαμπρὸς ἦν καὶ παρὰ πᾶσιν ἐπίσημος τῇ δόξῃ κοινὰ πρὸς Ἀγαμέμνονα σκῆπτρα ἔχων καὶ τῆς Ἑλλάδος ἁπάσης ἡγούμενος, καὶ τὸ Πελόπειον γένος ἐμὸν ἦν καὶ δι' ἡμῶν ἔσχε τῆς δόξης τὴν ἐπίδοσιν. νῦν δὲ ὁ μὲν οἴχεται οὔτ' ἐπὶ παρατάξεως πεσὼν οὔτ' ἐν καλῷ δεξάμενος τὴν πληγήν, ἀλλὰ γυναικείας ἐπιβουλῆς γενόμενος πάρεργον.* 4. *ἐμὲ δὲ δαίμων τις ἀπάγει τῆς Ἑλλάδος καὶ πόρρω κατέχει τῆς οἰκείας καὶ τῶν ἐπικουρησόντων Ἀγαμέμνων ἔρημος. οὐ γὰρ ἤρκει ὁ πρότερος ἐκείνῳ πόλεμος ⟨ὁ⟩ μακρὸς καὶ συνεχὴς πρὸς τοὺς ἀπὸ τῆς Ἀσίας πάντας καὶ τὰ τῶν κινδύνων συνεχῆ πολλαῖς περιόδοις ἐνιαυτῶν μετρούμενα, ἀλλ' ὅτε μετὰ*
R IV 1024 *τὴν νίκην τὰ τῆς | εἰρήνης ἀπέκειτο καὶ ἐν ῥᾳστώνῃ τὸν βίον διεξάγειν ἐξῆν, εἰς τὴν ἐναντίαν*

---

6 Aesch. Ag. 42 sq. 11 cf. p. 434, 3. Paus. X 27, 2. Wyttenbach Iul. in Const. or. p. 176 sq. 12 Od. *γ* 299 sq.

---

1 *ἀναφανεὶς* scripsi e *BaB* *ἂν φανεὶς Pa* *φανεὶς PLVi* edd 2 *αὑτοῦ* scripsi *αὐτοῦ BaPa* *τοιαύτης BPLVi* edd 5 *παρὰ* inserui e *BaPa* om *BPLVi* edd 6 *κοινὰ πρὸς Ἀγαμέμνονα* scripsi coll Aesch. l. l. et t. VI 134, 15; 168, 1 *οἷα πρὸς ἀγαμέμνονος* libri edd sed „*sententia postulat οἷα δεύτερα μετ' Ἀγαμέμνονα aut κοινὰ μετ' Ἀγαμέμνονος*" Re | *ἔχων σκῆπτρα καὶ τῆς ἀπάσης ἑλλάδος B* 7 *πελόπιον Ba* sed *πιον* delet., *Pa* 9 et 10 *οὔτ'* scripsi *οὐδ'* libri (sed 9 *μὴ δ' B*) edd | *παρατάξεως P* sed *α*(2) delet. 11 *δὲ* om *Pa* | *τὶς PaPL* 12 *οἰκείας* scripsi e *BaPa* ut coni Re *οἰκίας BPLVi* edd 13 *ἐπικουρησάντων Vi* Mor | *ἤρκει ὁ* scripsi auctore Re *ἠρκεῖτο* libri edd | *πρότερον BVi* 14 *ὁ* inserui auctore Re om libri edd

16 *ὅτε* scripsi auctore Re *ὅτι*[ε] *Vi* *ὅτι* reliqui libri edd | *με Vi* 17 *ἐν* om *Vi* 18 *διεξάγειν* scripsi e *BaPa* *διάγειν BPLVi* edd

ἀφίγμεθα μεταβολήν. 5. ὁ μὲν κεῖται πεσών, ἐγὼ δὲ πολλῇ θαλάττῃ κατεχόμενος καὶ μακρὰν ἀνύων πλάνην οὔπω δεδύνημαι τῆς οἰκείας ἐπιβῆναι οὐδ' ἀποδοῦναι τὸν ἴσον Ἀγαμέμνονι ἔρανον. ἀλλ' ἐκεῖνος μὲν ὑπὲρ ἐμοῦ τὰ δεινότατα ὑπέστη τοσούτοις ⟨ἑαυτὸν⟩ πολέμοις παραβαλλόμενος καὶ προκινδυνεύων τοῦ παντὸς Ἑλληνικοῦ, ἐγὼ δὲ οὐχ οἷός τε ἐγενόμην ἐπαμῦναι κειμένῳ, ἀλλ' ἡ φήμη καταλαβοῦσα διὰ τῆς μαντείας μοι τὴν συμφορὰν ἀπήγγειλεν, ὡς μηδὲν ἔχειν πλέον ἢ στένειν ἐπὶ τοῖς ἀπηντηκόσιν. 6. ἦ που νῦν Αἴγισθος μέγα φρονεῖ καὶ τὰ σκῆπτρα Ἀγαμέμνονος ὑποδεξάμενος ἔχει πολλοὺς τοὺς ὑπακούοντας. ἐγὼ δὲ οὐ δύναμαι δίκην παρ' ἐκείνου λαβεῖν. τί γάρ με δεῖ περιεῖναι καὶ μέγα φρονεῖν; τίς ἡδονὴ τοῦ μετὰ ταῦτα βίου, εἰ μὴ δίκην ὑπὲρ ἐκείνου λήψομαι;

κβ'.

Τίνας ἂν εἴποι λόγους Μενοικεὺς ὑπὲρ νίκης τῆς πατρίδος ἑαυτὸν ἀποσφάξαι βουλόμενος; R IV 1045

1. Ὁ μάντις ἔφηνε τῆς γνώμης τὴν ἀφορμὴν καὶ ᾗ δέον ἐστὶ σώζεσθαι τὴν πόλιν ἢ τοὐναντίον οἴχε-

3 [Dem.] Neaer. p. 1348, 3   8 sq. Od. δ 384 sq. et 538 sq.   17 Eur. Phoen. 985 sq. Stat. Theb. X 756 sq. Nicol. prog. ethop. 2 ed. Walz. Rhet. gr. I 382. [Apollod.] bibl. III 6, 7. Paus. IX 25, 1   20 Eur. Phoen. 931 sq.

3 οἰκείας scripsi e *BaPaPL* cum Iacobsio Ach T 800 οἰκίας *BVi* edd   4 μὲν om *BaPa*   5 τὰ om Re | ἑαυτὸν inserui coll p. 389, 16 om libri edd | πολέμοις scripsi e *BaPaB* κινδύνοις *PLVi* edd   7 τ' *B* | οὐδ' ante ἐπαμῦναι *Vi*   10 ἀπηντηκόσι *PL*   14 μεταταῦτα *LVi*

17 εἴπῃ *PL* εἶπε *Ca* | ὁ μενοικεὺς *BCa* | ὑπὲρ — 18 βουλόμενος om *BCa*   18 βουλόμενος σφάξαι *Vi*   20 ἔφην *Ba* ἔφη *Pa*   21 ᾗ scripsi cum Iacobsio Lect Not. crit. in Lib. apol. Socr. 12 εἰ libri edd | τῇ πόλει *Pa*

σθαι προηγόρευσεν. ὁ πατὴρ δὲ ὅλος τῆς φύσεώς ἐστι καὶ τὸν παῖδα βούλεται σώζεσθαι καὶ φυγῆς μοι δίδωσι σύνθημα ἀναίρεσιν καὶ ἀνδραποδισμὸν τῆς πατρίδος καταψηφιζόμενος. 2. ἐγὼ δὲ οὐκ ἂν προδότης γενοίμην τῆς ἐμαυτοῦ οὐδὲ φιλόψυχος οὕτω καὶ πρὸς τὸν θάνατον ἀγεννὴς ὡς μὴ δοῦναι τῇ πατρίδι τὴν νίκην καὶ τὸ μεῖναι πρὸς τὸ μέλλον ἀεὶ ἐπὶ τοῦ ἴσου σχήματος. 3. κοινὸς μὲν ἁπάντων ὁ θάνατος καὶ ἀναγκαῖον πάντας γενομένους ἀποθανεῖν, τὸ δὲ ἐν καλῷ τῷ σχήματι δέξασθαι τὴν τελευτὴν τῶν εὖ φρονούντων ἴδιον. εἰ μὲν οὖν πεισθείην τῷ πατρὶ καὶ φυγῇ χρησαίμην, ἁλώσεται μὲν ἡ πόλις, πεσεῖται δὲ τὰ τείχη ταύτης, πολὺς δὲ ὁ φόνος τῶν ἐν ἡλικίᾳ, ἀνδραποδισθήσονται δὲ παῖδες καὶ γυναῖκες, καὶ τὸ μέγα ὄνομα τῶν Θηβῶν οὐκ ἐπὶ τῆς Ἑλλάδος ἕξει τὴν δόξαν. 4. ἐμοὶ δὲ ἐπονείδιστος ὁ βίος, εἰ μὴ τῆς Ἑλλάδος προαπελθεῖν ἑλοίμην. εἰ δὲ ὑποσταίην τὴν σφαγὴν καὶ κατ' ἐμαυτοῦ τὴν πληγὴν ἐνέγκαιμι, πεσεῖται μὲν τὸ τῶν ἐχθρῶν στρατόπεδον, δίκην δὲ ὑφέξουσιν οἱ στρα-

2 Eur. Phoen. 972 4 Eur. Phoen. 996 12 Il. ι 592 sq.

2 τὸν om *Vi* 5 οὕτως *PaCa* 6 τὸν om *B* 7 καὶ — 8 σχήματος om *Pa* | ἴσον *Vi* | ἀεὶ scripsi cum Iacobsio ll. ll. ἂν libri edd 8 ἀναγκαίως *Pa* 9 τῶ *Pa* 11 οὖν om *BaPa* 13 ταῦτα *Pa* sed in ταύτης corr, *BCa* | δ' *BaPa* | φόνος scripsi e *BaPaBCa* φθόνος *PLVi* edd sed γρ φόνος in marg et Not Mor 14 καὶ τὸ μάντευμα τὸ ἐκ Δελφῶν Mor Not 15 οὐκέτι *Ca* 16 δ' *Vi* | ὁ delet. *Ba* om *PaB* | μὴ τῆς Ἑλλάδος προαπελθεῖν ἑλοίμην scripsi e *BaPa* τῆς ἑλλάδος προαπελθεῖν μὴ (οὐ *Vi*) τοῦτο (om *BCa*) ἑλοίμην *BCaPLVi* edd προαπελθεῖν δυνάμενος coni Iacobs Lect 17 δ' *Pa* 18 ἐμαυτὸν *BaPa* | ἐνέγκαιμι reposui e libris sed νέγ delet. *P* ἐπενέγκαιμι edd | τὸ τῶν ἐχθρῶν scripsi e *BaPa* ἀργολικὸν *PLVi* edd ἀργικὸν ὅλον *BCa*

τεύσαντες ἐφ' ἡμῖν, ἡ πόλις δ' ἔσται περιβόητος ἐπὶ τοῖς τροπαίοις μεγάλην τὴν ἐλευθερίαν ἔχουσα, ἀγαλλομένη τῇ νίκῃ. ταῦτα δὲ ἡμῖν ἐπιγράψουσιν ἅπαντες καὶ | πολὺς ὁ Μενοικεὺς ἐν ἐπαίνοις καὶ ἐγκω- R IV 1046 μίοις ἰσοθέους τιμὰς ἔχων.

5. Οὐ δεῖ δὴ μαλακίζεσθαι. ὢ πόσοι πεπτώκασιν ἐπὶ τῆς παρατάξεως. πόσοι πολεμοῦντες ἐδέξαντο τὴν πληγήν. τούτων ἕνα με καὶ αὐτὸν γενέσθαι δεῖ καὶ μείζονα ἐκείνων τὴν δόξαν λαβεῖν. τοῖς μὲν γὰρ οὐδὲν ἐγκώμιον τῆς πατρίδος προαπελθοῦσιν, ἐμοὶ δὲ τὸ πᾶν ἀπόκειται τῆς δόξης καὶ τὰς τιμὰς ἰσοθέους ἕξω καὶ τὴν μνήμην παρὰ πᾶσι τῆς ἐμαυτοῦ πατρίδος προαπελθών.

κγ΄.

Τίνας ἂν εἴποι λόγους Ὀδυσσεὺς ἐν τῷ R IV 1028
τοῦ Κύκλωπος σπηλαίῳ καταληφθείς;

1. Φεῦ τῆς ἀτόπου θέας καὶ τῆς ἄγαν κινδύνων ὑπερβολῆς. ἐπιλέλοιπέ με τὰ τῶν λογισμῶν καὶ ᾧ χρήσομαι πρὸς τὸν πονηρὸν οὐκ ἔχω. πῶς ἂν δυνηθείην

---

5 Polyb. X 10, 11   15 Od. ι 299 sq.   18 sq. cf. p. 429, 2

---

1 ἡμῖν scripsi e *BaPaBCaVi* ἡμᾶς edd ἡμ *P* sed 2 litt post μ delet., *L* | ἡ πόλις δ' ἔσται inserui e *Ba* sed δ delet., *Pa BCaP* sed in hoc πολις δ' delet. ἡ δὲ καδμεία, ἔσται *Vi* lac 9 litt *L* edd sed ἡ δὲ πόλις ἔσται coni Mor | ἐν *Vi* 3 ἐπιγράψουσιν scripsi ἐπιγράφουσι libri edd 4 ἐπαίνοις] πολέμοις *B Ca* 6 δὴ] οὖν *BaPa* 7 τῆς inserui e *BaPaB* om *PLVi* edd | τάξεως *BaPa* 9 λαβέσθαι *Vi* 10 μὴ ante τῆς *BCa* | προαπελθοῦσι *PaVi* προαπελθεῖν *B* ἀποθανοῦσιν *Ca* 15 ἂν om *BaVi* | εἴπῃ *PL* 16 τοῦ inserui e *BaPaBVi* om *PL* edd | καταλειφθείς *Vi* 18 με scripsi e *BaPa* μου *B PL* edd μοι *Vi* | ᾧ scripsi e *BaPaB* ὅτι *PLVi* Mor ὅ τι Re 19 τὸν πονηρὸν scripsi e *BaPaB* τὸ παρὸν *PLVi* edd

τὸν κίνδυνον ἐκφυγεῖν; ἄμαχος τὴν γνώμην καὶ θηριώδης τὸ ἦθος καὶ τῆς τῶν γιγάντων φύσεως ἀτοπώτερος καὶ τοσοῦτος τὴν ῥώμην καὶ τηλικοῦτος τὸ μέγεθος ὡς μόνοις ἂν τοῖς Διὸς σκηπτοῖς κατενεχθῆναι. 2. ἀποτετείχισταί μοι τὰ τῆς ἐξόδου καὶ τὰ τῆς αὐλῆς ἀποκέκλεισται. μηχανὴν δὲ εὑρεῖν ἢ λύσιν τῶν δεινῶν ἀμήχανον. προκείμεθα γὰρ τῷ θηρίῳ πρὸς βοράν. μικρὸν αὐτῷ κατὰ δυάδας λαβεῖν καὶ διαχειρίσασθαι. οἱ μὲν ἤδη τεθνήκασιν, ὧν τὰ λείψανα οὐκ εὐτυχῆ πρόκειται, οἱ δὲ ἔχουσι τὸν φόβον, ἅπαντες δὲ κατεπτήχασι, πρὸς δὲ ἡμᾶς ὁρῶσι καὶ τὴν ἡμετέραν τέχνην καὶ σύνεσιν. 3. πολλοῖς ὡμίλησα κακοῖς, πολλοῖς προσεγυμνάσθην πολέμοις. ἀλλ' ἐκεῖνα μὲν καὶ
R IV 1029 ἀνθρώπινα καὶ εἰωθότα, καὶ τὰ μὲν ὅπλοις ἦν | βιάσασθαι, τὰ δὲ τοῖς λογισμοῖς ἐκφυγεῖν. μέγα ὁ τῶν Ἰλιέων πόλεμος, ἀλλὰ πολλοὺς εἶχον τοὺς συνισταμένους, καὶ τὰς νίκας μὲν ἦν ἐπεξιέναι, τὴν ἧτταν δὲ παραμυθεῖσθαι τῇ φυγῇ. 4. πολλοὺς μὲν ἐκ τοῦ φανε-

---

1 Od. ι 187 sq. 214 sq. 5 Od. ι 240 et 184 8 Od. ι 289 12 cf. p. 432, 4 13 Plat. leg. I p. 647 C. Plut. Marc. 27, 2

---

1 *ῥώμην B* 2 *ἀτοπώτατος Vi* 3 *τῇ ῥώμῃ BaPa* | *γνώμην Vi* 4 *σκηπτοῖς κατενεχθῆναι*] *σκηπτοῖς ἔοικε Ba σκη* cum lac 7 litt *Pa* 5 *ἀποτετείχισταί Ba* sed *σται* delet. *ἀποτετείχισθαί Pa* 6 *δ' Pa* 8 *αὐτῷ* scripsi e *BaPaB* ut coni Mor Re *αὐτοῦ PLVi* edd | *διάδας B* sed ι in υ corr m² et *δυάδας* in marg m³ | *διαχειρίσασθαι* scripsi e *BaPaB* coll p. 427, 3; 428, 1; 432, 13 *διαχρήσασθαι PLVi* edd 10 *πρόκεινται PLVi* 11 *δὲ*] *δι' Ba δ' Pa* 12 *πολλοῖς* inserui e *BaPa* om *BPLVi* edd 15 *μέγα* scripsi e *BaPaBPL* *μέγας Vi* edd 16 *εἶχον* scripsi e *BaPaBPL* cum Iacobsio Lect Sinteni *εἶχε Vi* *εἶχεν* edd „*num εἴχομεν?*“ Re 17 *τὰς νίκας* scripsi coll Thuc. III 82, 8 *ἐπεξήεσαν τὰς τιμωρίας* *ταῖς νίκαις BaPaB* *τῆς νίκης PLVi* edd sed *τῇ νίκῃ* coni Re 18 *παραμυθεῖται P* sed *σθ* in marg m rec, *LVi*

ρου πόνους ἐπεδειξάμην τοῖς πολεμίοις, ἤδη δὲ καὶ νυκτὸς ἐπέστην τῷ Τρωικῷ, τὸν Δόλωνα ἀνεῖλον, τὸν Ῥῆσον διεχειρισάμην, τοῖς πολλοῖς Θρᾳξὶν ἐπέστησα τὴν συμφοράν, εἰς μέσους ἐγενόμην τοὺς πολεμίους σχῆμα ὑποκρινάμενος ἕτερον καὶ τὸ φυλακτήριον τῆς Τροίας ἐξειλόμην καὶ τοῖς Ἕλλησι παρέδωκα τῆς νίκης τὸ ἐνέχυρον ἔχειν. τὴν Σώκου πληγὴν ἤνεγκα γενναίως, τοῦ τελευταίου λόγου καὶ αὐτὸς ἡγεμὼν ἐγενόμην. 5. τὴν Τροίαν κατήνεγκα, ἀλλὰ νῦν ἄπορά μοι τὰ τῶν λογισμῶν εἰς σωτηρίαν. Κίκονας ἀνεῖλον, ἦν γὰρ πρὸς ἴσους ὁ πόλεμος. κρείττων ἐγενόμην τῆς Λωτοφάγων ἡδονῆς, ἐπ' ἐμοὶ γὰρ ἦν τὸ φυλάξασθαι. τὴν Λαιστρυγόνων ὠμότητα διέφυγον, καιρὸν γὰρ εἶχον τῆς φυγῆς. 6. ἀλλὰ νῦν ὥσπερ ἐν δεσμωτηρίῳ καθεῖργμαι, ὃ μήτε διαρρῆξαι ῥᾴδιον μήτε παρακινῆσαι τὴν ἐν θύραις ἐμβολὴν τοῦ λίθου. ἐστρατήγηται μὲν γάρ τὰ πρῶτά μοι καλῶς, οἴνῳ κατεπόντισα τὸ θηρίον, καὶ

---

2 Il. κ 251. 468 3 Il. κ 470 sq. 5 Od. δ 244 sq. | cf. p. 432, 16; ad p. 224, 18; t. V 72, 11 7 cf. p. 432, 12 sq. Il. λ 435 sq. Nicol. prog. ed. Walz. Rhet. gr. I 357, 12 sq. 8 cf. p. 433, 2 13 cf. p. 433, 5 17 Od. ι 361. 373. 454 sq.

---

1 *πόνους* scripsi cum Iacobsio Lect *πολέμους* libri edd sed „*num ἀγῶνας?*" Re 2 *τῷ Τρωικῷ στρατῷ* vel *στρατοπέδῳ* coni Re | *τὸν* om Re 3 *διεχειρησάμην L* „*fort. διεχρησάμην*" Re | *θραξὶν* libri edd 5 *ὑποκρινάμενος* scripsi e *BaPaB* *ὑποκρινόμενος PLVi* edd 6 *τῆς L* 8 *τὴν τελευτὴν BaPa* *τήν τε τελευταίαν B* | *λόχου* scripsi ut coni Mor Not et Re coll p. 433, 2 *λόγου PLVi* edd *λόγχην BaPa B* 11 *τῆς τῶν λωτοφάγων Vi* 12 *ἐπ' ἐμοὶ γὰρ ἦν* scripsi e *BaPaB* *ἦν γὰρ παρ' ἐμοὶ PLVi* edd 13 *τὴν* scripsi e *Pa* coll p. 433, 5 delet. *Ba* *τῶν BPLVi* edd | *ὠμότητα* scripsi e *BaPa* ut coni Re *ὠμό*^τ^*'* *B* *ὠμότητας* (*ὁμότητας Vi*) *PLVi* edd 14 *καθείργομαι BaPa* 15 *μήτε* reposui e libris *μηδὲ* edd 16 *ἐκβολὴν BaPaB* 17 *κατεπόντησα BaPa* num *κατεκοίμισα* coll p. 232, 5?

πρόκειται, εἴ γε βουλοίμην διαχειρίσασθαι. ἀλλ' εἰ τελευτήσειεν, ἡμῖν ἀπόκειται λιμῷ διαφθαρῆναι οὐκ οὔσης ἐξόδου οὐδὲ δυνάμεως τοσαύτης ἥτις ἀρκέσει πρὸς ἔκβασιν ἐλευθερῶσαι τῆς ἐπικειμένης πέτρας. μόνης γὰρ τῆς Κύκλωπος χειρὸς καὶ τῆς ἐκείνου δυνάμεως καὶ ἐπιθεῖναι τὸν λίθον καὶ ἀφελέσθαι. 7. *οὐκοῦν περιεῖναι δεῖ, εἴ γε μέλλοιμεν τὰς ἐξόδους ἔχειν. περι-*
R IV 1030 *όντος δὲ οὐκ ἔστι σώζεσθαι. μέσον | δεῖ τούτων ἀμφοτέρων. τῶν πυλῶν οὐκ ἔστιν εὑρεῖν ἡμῖν εἰ μὴ δι' ἐκεῖνον ἀφαίρεσιν, ἔξω δὲ καταστᾶσι μηδὲ δυνηθῆναι ἐκείνου λαβεῖν. συνῆκα τὸ πρακτέον, ὀψὲ μέν, ἀλλ' ὅμως συνῆκα. πήρωσιν δεῖ καταψηφίζεσθαι καὶ τὸν ἕνα ὀφθαλμὸν ἐκτυφλοῦν. οὕτω γὰρ γενήσεται ὡς*

---

5 Od. ι 313 sq. 13 Od. ι 387. 394. 512. 516. 524

---

1 *διαχειρίσασθαι* scripsi e *BaPaB* *διαχρήσασθαι PLVi* edd 4 *ἐλευθερῶσαι τὴν ἔξοδον τῆς* coni Iacobs Lect 5 *τούτου BaPa* 6 *καί*(1) om *BaPaB* | *ἐπιθεῖναι P* sed *ναι* delet. *ἐπιθεῖ* edd | *τὸν λίθον* inserui e *BaPaBP* sed in hoc *τον λιθ* delet., *L* cum Iacobsio Lect *τὴν πέτραν Vi* om edd sed *αὐτὴν καὶ* inserendum coni Mor Not | *καὶ* inserui e *BaPaBVi* cum Iacobsio Sinteni om *PL* edd | *ἀφελέσθαι P* sed *ἀ* delet. in lac fere 10 litt om *L* | *οὐκ οὖν Vi* *οὔκουν Pa* 7 „*fort. περιεῖναι ἐᾶν δεῖ*" Re | *μέλλοιμεν* scripsi e *Ba* sed *εν* parum certum, *PaB* cum Sinteni *μέλλοιμι PLVi* edd 8 *δεῖ* scripsi cum Iacobsio Lect Anth. Pal. III 67 Sinteni *δὲ* libri edd 9 *ἀμφοτέρων* reposui e libris (*ἀμφο*[ερ] *P*) cum Iacobsio Sinteni *ἀμφότερον* edd | *τῶν πυλῶν οὐκ ἔστιν εὑρεῖν ἡμῖν εἰ μὴ δι' ἐκεῖνον ἀφαίρεσιν* scripsi *τῶν πυλῶν οὐκ ἦν εὑρεῖν ἡμῖν ἀφαίρεσιν BaPaB* *εὑρεῖν τε ὃν καταλείψομεν ἢ μὴ δι' ἐκείνων τῶν πυλῶν ἀφαίρεσιν PLVi* edd *εὑρεῖν τι. οἷον κλέψαι ἡμῖν τὴν ἐκείνων τῶν πυλῶν ἀφαίρεσιν, ἔξω δὲ καταστῆσαι ἡμᾶς τοῦ μὴ δυνηθῆναι ὑπ' ἐκείνου λαβέσθαι* Iacobs Lect *εὑρεῖν τι. οὐ καταλήψομεν εἰ μὴ δι' ἐκείνου τῶν πυλῶν ἀφαίρεσιν* Sintenis 10 *καταστᾶσιν LVi* | *μὴ δὲ P* *μηδὲν BaPaB* *οὐδὲν Vi* 12 *συνῆκα*] *ὡς δεῖ BaPa B* | *δεῖ* om *BaPaB* *δὴ Vi* | *καταψηφίζεσθαι* scripsi e *BaPaB* *καταψηφίσασθαι PLVi* edd 13 *ὀφθαλμὸν* scripsi coll ll. ll.

δυνηθῆναι τὸν λίθον ἐξελεῖν καὶ ἀδεὴς ἡμῖν ἔσται οὐκ ἔχων ὅ τι χρήσεται ἑαυτῷ. 8. ταῦτα δεδόχθω, ταῦτα τολμῶμεν. στέλεχος ἐλαίας τουτὶ πρόκειται. πυρῶσαι δεῖ καὶ ἐκτριβέντι εἰς ὀξὺ ὥσπερ αἰχμῇ κατὰ τοῦ ὀφθαλμοῦ χρήσασθαι. καὶ τὸ μὲν ξύλον οὗτοι μετεωρίσουσιν, ἐγὼ δὲ εἰς τὸν ὀφθαλμὸν ἐρείσας πηρὸν ἀποδεῖξαι πειράσομαι. εὖ γε τῆς ἐπινοίας, εὖ γε τοῦ τολμήματος. γένοιτο δὲ εἰς καλὸν ἐκβῆναι τῇ τύχῃ.

κδ'.

Τίνας ἂν εἴποι λόγους Ὀδυσσεὺς πρὸς R IV 1030
τὸν Κύκλωπα ὁρῶν τοὺς ἑταίρους ἐσθίοντα;

1. Πολλῶν μὲν δὴ καὶ ἄλλων πεπείραμαι κακῶν καὶ πάλαι μέν, ὅτε βαρβάρους πρῶτον κατεπολέμησα, καὶ νῦν ὅτε κακῶς τὴν θάλατταν ἔπλευσα, ἅτε στρατιώτης οὐκ εὐτυχὴς καὶ ναύτης δυστυχής· ἔδει δέ με

---

3 Od. ι 319 4 Od. ι 326 5 Od. ι 382 sq. 6 Od. ι 383

τὸν ὀφθαλμὸν *PLVi* edd τῶν ὀφθαλμῶν *BaPaB* | γενήσεται scripsi e *BaPaB* cum Bastio Greg. Cor. 419 Iacobsio Lect δυνήσεται *PLVi* edd | ὡς δυνηθῆναι delenda censuit Re
1 καὶ scripsi e *BaPaB* ut coni Re ἢ *PLVi* edd | ἀδεῶς *BaPa* 2 ὅ τι scripsi ὅτι *PLVi* edd ᾧ *BaPaB* | χρήσεται scripsi e *BaPaB* χρήσαιτο *PLVi* edd | ἐφ' ἑαυτόν *BaPaB* 4 δὲ ante δεῖ *BaPaB* | ἐκτριβέντι scripsi e *B* ἐκτριβέντα *Ba Pa* ἀποκαθή(ά *Vi*)ραντας *PVi* et coni Re ἀποκαθάραντος *L* edd | αἰχμὴ *PaL* 5 μετεωρίζουσιν *BaPaB* 6 ἐρείσας scripsi ἁρμόσας libri edd ἐναρμόσας coni Re 7 πεπείραμαι *Ba Pa* | εὖ γε(2)] καὶ *BaPaB* 8 τοῦτο *L* | ὡς *Vi* | τῆς τύχης *BaPaB*
10 ἂν om *BaPa* | εἴπῃ *PL* | πρὸς om *Vi* 11 ὁρῶν τὸν κύκλωπα *Vi* 12 δὴ om *BaPaB* 13 μέν om *B* | πρῶτον *Ba* sed πρ delet. πρώτους *Pa* 14 κακῶς scripsi e *BaPaB* ut coni Mor καλῶς *PLVi* edd | θάλασσαν *PaVi* | ἅτε scripsi ὅτε libri edd sed „*fort.* οὔτε στρατιώτης ὢν εὐτυχὴς Re 15 δέ scripsi e *B* γὰρ *BaPaPLVi* edd

καὶ πρὸς Κυκλώπων ἄντρα ἐλθεῖν καὶ τὴν ἀσεβῆ σου ταύτην, Πολύφημε, τράπεζαν ἰδεῖν, ἣν παρέθηκας σαυτῷ πρῶτος καὶ μόνος πληρώσας αὐτὴν πανδαισίας κακῶν. 2. ἐνέτυχον μὲν οὖν πρὸ σοῦ ἀνδράσι ληστρικοῖς καὶ βαρβάροις ἀνημέροις, οὐκ οἶδα δὲ ἄνομον τράπεζαν τεθεαμένος R IV 1031 | *πλὴν ταύτης ἧς γέγονας ἡγεμὼν πληρώσας αὐτὴν τοσούτων νεκρῶν ὁλοκλήρων. 3. εἴθε μὲν οὖν σου πρῶτον ἔργον ἐγενόμην ἢ τελευταῖος τεθνήξεσθαι, οἶδα γὰρ ὡς παραθήσεις με τελευταῖον τροφῆς ἀπανθρώπου λείψανον, καὶ εἴθε Κικόνων ἐγενόμην ἔργον καὶ μὴ τὸν πόλεμον τὸν πρὸς ἐκείνους νενικήκειν, ἄμεινον ἡττημένος ἢ νίκην νενικηκὼς λοιδορουμένην. ἐγὼ δ' ἡδέως Λαιστρυγόνων ⟨ἂν⟩ ἠνεσχόμην, ἵν' ἔχωσι τάφους οἱ νεκροί. οὐ γὰρ μικρὸν παραμύθιον ἀνθρώπῳ ἀποθνήσκοντι στήλη καὶ τάφος. ὁλόκληρον*

---

9 Od. ι 369   13 Od. κ 116. 124

---

1 *εὐσεβῆ B*   2 *ταύτην* inserui e *BaPaB* om *PLVi* edd | *ἢ Vi* | *παρέθηκα Pa*   3 *αὐτὴν πληρώσας Vi*   4 *οὖν* inserui e *BaPaB* om *PLVi* edd | *πρό σου* edd   5 *ἀνημέροις* scripsi auctore Sinteni *ἀνδρείοις* libri edd sed *γρ ἀνδρείως* in marg Mor | „*fort. οὐκ εἶδον*" Re   6 *τεθεαμένος* scripsi e *Ba PaB* *τεθειμένην PLVi* edd | *ταύτης* scripsi e *BaPaPLVi* ut coni Re *ταύτην B* edd   8 *οὖν* om *Vi* | *πρῶτόν σου BaPaB* | *σου* om Re   9 *τεθνήξεσθαι* scripsi e *BaPaB* *γενήσεσθαι PLVi* edd sed „*fort. ἐγενόμην ὁ μέλλων τελευταῖον γενήσεσθαι*" Re   10 *τελευταῖον τροφῆς ἀπανθρώπου* scripsi cum Iacobsio Lect Sinteni *τελευταίας τροφῆς ἀπάνθρωπον* libri edd sed *τελευταῖον* coni Re | *καὶ εἴθε Κικόνων ἐγενόμην ἔργον* scripsi e *BaPaB* *εἴθε μὲν οὖν Κικόνων ἔργον ἐγενόμην PLVi* edd   11 *τὸν πόλεμον τὸν πρὸς ἐκείνους* scripsi e *BaPaB* *τὸν πρὸς ἐκείνους πόλεμον PLVi* edd   12 *ἐνενικήκειν* edd | comma posui colon libri edd | *ἀμείνων B* | post *νενικηκὼς* lac 8 fere litt *B* | *λοιδορουμένην* om *B*   13 *ἠνεσχόμην λαιστρυγόνων B* | ⟨*ἂν*⟩ inserui om libri edd   14 *ἔχουσι* edd

κατέχει τὸν ἄνθρωπον ἡ στήλη. 4. νῦν δὲ εὕρηταί τις ἐν ἀνθρώποις τάφος τοσούτων σωμάτων γαστὴρ αὕτη τὴν ἄσπαρτον μιμουμένη καὶ θυμὸς ἀπαραίτητος δαπάνην ὅλης εἰρεσίας ναυτικῆς. ὁ γάρ σοι, Πολύφημε, λογισμὸς ὄκνον οὐκ ἔχει οὐδ' ἐβουλεύσω ποτὲ ἀνθρώπινον, ἀλλ' ἔλεον μὲν ἐξῴκισας σεαυτοῦ, δίκῃ δὲ λοιδορῇ πάντοτε, χαίρεις δὲ τροφαῖς ἀθέσμοις. παρὰ μικρὸν ὅλον ὁρῶ βίον δαπανώμενον. 5. τίς ἡ τοσαύτη φθορὰ τῶν σωμάτων; τίς πολλὴ νόσος κατέσχε ψυχὰς ἀνθρωπίνας; νενίκηκας τὴν ἐξ Αἰθιοπίας καταβαίνουσαν λοιμώδη νόσον. ὦ πόλεμοι παλαιοὶ καὶ τάξεις ἀρχαῖαι καὶ μάχαι συνεχεῖς.

κε'.

Τίνας ἂν εἴποι λόγους Ὀδυσσεὺς τοὺς μνηστῆρας ἀνελών; R IV 1031

1. *Ἓν ἀγώνισμά μοι κατελείπετο καὶ τοῦτο ἔχει τέλος εὐτυχὲς καὶ κεῖται τὸ τῶν μνηστήρων πλήρωμα.*

---

3 Od. ι 123 6 Thuc. II 40, 3. Chor. Lyd. p. 12, 16
10 Thuc. II 48, 1

---

1 *δὲ εὕρηταί* scripsi e *BaPaB* *ἐξεύρηταί PLVi* edd 2 *τάφος* inserui e *BaPaB* om *PLVi* edd „*num γαστὴρ ταφή? nisi fuit νῦν ἐξεύρηται τάφος ἐν*" Iacobs Ach T 659 3 *σπάρτην Vi* | *δαπάνη BaPa* 4 *ἡ Ba* *εἰ Pa* | *τοι B* | *Πολύφημε* scripsi e *PaB* *πολύφημ̃ Ba* *πολύφημος PLVi* edd 5 *οὐδὲ B* 6 *ἀπῴκισας Vi* 7 *χαίρεις* scripsi e *BaPaB* *χαίροις PLVi* edd | *ἀθέσμοις* scripsi e *BaPa* *ἀθεσμοῖς B* *ἀκόσμοις PLVi* edd | *παρὰ* scripsi *κατὰ* libri *μετὰ* edd 8 *βορὰ B* 10 *νενίκηκε Vi* 11 *ὢ PaBPL* edd 12 *συνήθεις* Sintenis

14 *ἂν* om *BaPa* | *εἶπε Pa* *εἴπῃ PL* | *κατατροπωσάμενος τοὺς μνηστῆρας B* 16 *μοι* inserui e libris om edd | *κατελείπετο καὶ* scripsi e *BaPaB* ut coni Iacobs Lect *καταλείπεται PLVi* edd sed *κατελείπετο* coni Re | *ἔχει* reposui e libris cum Iacobsio *ἔχοι* edd 17 *εὐτυχές. κατάκειται* Iacobs

13 γὰρ post ἀλλὰ *Par* | λογάδην. ταύτην scripsi e *Ba* λογάδην *R* λογάδην τὴν αἱμασιὰν *ParBVaMo* edd sed „*fort.* συγκειμένη λογάδων." Re

στοῖχος φυτῶν διεδέχετο, φυτῶν δὲ οὐχ ἃ γεωργῶν οἶδε προέρχεσθαι, ἀλλ' ὅσα φέρειν ἐπίσταται φύσις. πτελέαι γοῦν αἰγείροις συμπεφύκεσαν, ἄμπελοι δ' ἐπανεῖχον αὐταῖς τὸν οἰκεῖον καρπὸν ἐκείνων εἶναι δο-
R IV 1078 κεῖν | παρεχόμεναι. 4. διεδέχοντο δὲ τὰς ἀμπέλους συκέαι, ἃς γλυκερὰς ἄν τις ποιητὴς παρωνόμασε. μηλέαι δὲ μετὰ τὰς συκᾶς ἐπεφύκεσαν βεβαιοῦσαι τὸν μῦθον τῷ χρώματι, χρυσὸς γὰρ ἐδόκει τοῦ καρποῦ καταφαίνεσθαι. τὸ δὲ λοιπὸν ἅπαν διῄρητο πρὸς πρασιάς. 5. καὶ πηγὴ κατὰ μέσον ἀνέβλυζε ῥεῦμα φέρουσα τοῦ κύματος ὀξύτερον. ὄρνιθες δὲ ἐφεῖντο παντοδαποὶ κατακηλοῦντες μὲν ταῖς ᾠδαῖς τοὺς ἀκούοντας, εὐωχοῦντες δὲ τοὺς θηρῶντας ταῖς ἄγραις.

6. Ταῦτα ἰδεῖν ὑπῆρχεν ἐν ἡδονῇ, διεξελθεῖν δὲ τοῖς ἀκούουσιν ἥδιον.

---

6 Od. η 116 8 Athen. III p. 82 e 11 Il. φ 261 14 cf. p. 495, 10 sq.

---

1 *στοῖχος* scripsi e *BaParR* *στίχος BVaMo* edd | *φυτῶν* — 2 *ἀλλ'* om *R* | *δὲ* om *Par* | *γρ γεωργὸς* in marg Mor 2 *προσέρχεσθαι Ba* 3 *γοῦν* om *R* | *αἴγειροι R* | *συμπεφύκασιν BaR* *συμπεφύκεισαν* edd | *δὲ BaBVaParMo* edd 4 *αὐταῖς* om *R* | *τὸν*] „*imo vero τὸ*“ Re | *ἐκεῖνον R* | *σχολ. ὥστε δοκεῖν* in marg Mor 5 *παρεχόμεναι* scripsi e *BaParR* ut coni Re *προσεχόμεναι BVaMo* edd 5 *διεδέχετο R* | *δὲ* om *R* 6 *συκαίων τε R* | *ἃς* om *R* | *γλυκερὰς* — 9 *καταφαίνεσθαι*] *γλυκεραὶ καὶ τὰ ἑξῆς R* | *ἂν* om *Ba* | *προσωνόμασε Ba* 7 *πτελέαι BaPar* | *συκέας Va* edd | *ἐμπεφύκεσαν Par* | *τῷ μύθῳ Par* 9 *καταφαίνεσθαι* scripsi e *BaPar* *καταφέρεσθαι BVaMo* edd | *διῄρητο* scripsi e *R* *διῃρεῖτο BaParBVaMo* 10 *καταμέσον Par* *κατὰ μέσον Par* | *ῥεῦμα* — 15 *ἥδιον*] *καὶ τὰ ἑξῆς R* 11 *κύματος* scripsi *κινοῦντος* libri edd et *σχόλ. πνεύματος* in marg Mor | *ἐφοίτων Par* num *ἐπέτοντο*? 12 *εὐωχοῦντες* scripsi *εὐωχοῦντας Ba* *εὐωχι(ει Par)άζοντες ParBVaMo* edd 14 *καὶ* ante *ταῦτα Va* Mor Re, *μὲν καὶ* Mor[1] | *μὲν* ante *ἰδεῖν* Mor Re delevi | *ὑπῆλθεν Va* Mor *ἐπῆλθεν B* | *ἐν* om Re | num *ἡδονή*? at cf. p. 495, 10

ι′.

ϑήρας. R IV 1064

1. Θήρας δὲ τὸ μὲν ἔσχεν ἀήρ, τὸ δὲ ἔλαχε θάλασσα καὶ μετ' ἀμφότερα τελευτᾶν ἔγνωκεν ἤπειρος. ἣ κρεῖττον ἀμφοῖν προῆλθε καθάπαξ. ἀέριος μὲν γὰρ καὶ ὅση πρὸς θάλατταν τέχνης μᾶλλον ἢ ῥώμης προσδεῖται, θήρα δὲ ἡ πρὸς ἤπειρον τέχνης μὲν οὐχ ἧττον, ὅτι μὴ μᾶλλον, ῥώμης δὲ μᾶλλον ἢ τέχνης δεῖται. διὸ θαυμάσας ἣν ἐργάζεται γῆ, ταύτην κατιδὼν ἀφηγήσομαι.

2. Ἑσπέρα μὲν ἦν καὶ φῶς σελήνης οἷον μήτε ἅπαν ἰδεῖν μήτε λαθεῖν παντελῶς ἐῶν τὸ φαινόμενον, ἄνδρες δὲ ἄρτι πόλεως ᾔεσαν οἷς ὁ βίος πρὸς θήραν, ἐπαγόμενοι θήρατρα καὶ στάλικας, οἷς ἔστι θηρᾶν καὶ διώκειν μὲν ἵππους, ἰχνεύειν δὲ κύνας καὶ κατέχειν πρὸς τούτοις τὰ φεύγοντα. 3. ὡς δὲ ἐς ὄρος

3 Iulian. Aeg. Anth. Pal. VI 12 7 sq. cf. p. 489, 13

2 εἰς θήρας *Par* 3 δὲ τὸ μὲν scripsi e *BaBVa* sed in hoc δὲ inser, *Mo* μὲν δὴ τὸ *Par* Mor Iacobs Lect Anth. Pal. III 125 μὲν δὴ Re 4 τελευτῶν *BVaMo* | ἤπειρος reposui e libris sed πειρος induct. *Par* ἤπειρον edd 5 ἣ scripsi ὃ libri edd | punctum post προῆλθε edd delevi | punctum post καθάπαξ posui e *B* colon *Va* om reliqui libri edd | ἀέριος scripsi ἀέρος libri edd | μὲν om *B* | γὰρ inserui e *BaBMo* om *ParVa* edd καὶ τὰ παρ' ἀέρος μὲν καὶ ὅσα Iacobs Lect App. Pors. 333, καὶ ὅσα γ' ἐξ ἀέρος μὲν καὶ ὅσα Anth. Pal. l. l. 6 τέχνη et ῥώμη *Par* 7 θήρα — 8 δεῖται excerpsit *Vo* | δεῖται *Va* 8 ὅτι μὴ μᾶλλον om *Ba* | ἢ τέχνης δεῖται] προσδεῖται *Ba* 9 γῆ scripsi e *BaBMo* γῆν *ParVa* edd 11 ἑσπέρα — 12 φαινόμενον excerpsit *Vo* | οἷος Re 13 ᾔεσαν *Va* sed η ex ι corr m² ἐξῄεσαν Iacobs Lect Anth. Pal. III 680 Philostr. im. 382 at cf. p. 438 not. 2 | ὁ inserui e *B* om reliqui libri edd 14 θήρατρα scripsi θήρας ἅμα *ParBMo* θῆρας ἅμα *BaVa* edd κύνας ἅμα καὶ ἵππους ἐς τὸ θηρᾶν Iacobs Anth., θῆρας ἅμα καὶ στάλικας οἷον ἐς συοθήραν, καὶ Philostr. | στάληκας *Ba* 16 εἰς edd

R IV 1065 *προσήεσαν, θηρᾶν | ἐπετήδευον ἃ θηρᾶν ἐβεβούλευντο. καὶ πρῶτον μὲν κύνας εἰς τὴν θήραν ἀνῆκαν εὐρίνῳ βάσει τὸ λανθάνον ἰχνεύοντας ποιητὴς ⟨ἂν⟩ ἔφη τις. καὶ σιγῇ μὲν θηρᾶν ἐπετήδευον, τὸ δὲ θήραμα πρὸς ὕπνον τραπὲν ἐπετήδευον, ὡς δὲ ἠπόρουν σιωπῇ κατασχεῖν, βοὴ συμμιγὴς ἐξ ἁπάντων ἐφέρετο, ὑλακὴ μὲν κυνῶν, βοὴ δὲ ἀνδρῶν, τῶν δὲ ἵππων χρεμετισμός, καὶ τῆς εὐνῆς τὸ θηρίον ἐξαναστὰν πρὸς τὴν ἔκπληξιν ὁμόσε τοῖς θηρῶσιν ἐφέρετο καὶ καταστὰν εἰς ἀλκὴν φόβον προϊὸν ἢ πόθον τῆς τέχνης παρείχετο.* 4. *συστραφέντες δὲ ὅμως παρ᾿ αὐτὰς ἔνδον εἰσώθουν τὰς στάλικας, ἤδη δὲ ἔνδον ἦν καὶ μικροῦ μὲν ἑαλώκει, προσπεσόντες δὲ ἐξ ἡδονῆς καὶ ἀτακτότερον ἀνεσόβουν τὴν θήραν.* 5. *ἤδη δὲ δόρατος ἔργον ἦν καὶ ἐπέδει τοῦ βάλλοντος, καὶ τῶν μὲν κυνῶν ὑστερούντων εἰς δίωξιν, τῶν δ᾿ αὖ ἵππων οὐκ ἐφικνουμένων εἰς αἵρεσιν ἔργον ἡ θήρα κατέστη τῶν τόξων, καὶ πεσὸν οἷς ἐβάλλετο κτείνουσι μέν, οὐ μὴν ἀτίμους τοὺς θεοὺς*

3 Soph. Ai. 8

1 *προσήεσαν BVa* Mor Iacobs Philostr. | *ἐβεβούλευντο* scripsi *ἐβεβούληντο* libri sed *η* in ras m², edd 2 *ἀνῆκεν εὔρινον Ba* 3 *ἰχνεύοντας* scripsi *ἰχνεύοντες* libri edd | *ἂν* inserui om libri edd 4 *τίς BaBVaMo* edd | *τὸ — 5 ἐπετήδευον* inserui e *Ba* om reliqui libri edd 7 *δὲ* (2) om *BaBVaMo* 8 *ἐξαναστᾶν Ba* sed *α*(2) in *ι* corr m² 9 *ἐπεφέρετο Ba* 10 *προϊὸν* scripsi e *BVa* sed in hoc *ο*(2) ex *ω* corr m², *Mo* ut coni Mor *προιόντα Ba* *προιὼν Par* edd | *καὶ* coni Mor | *ἴσως θηρευταὶ δὲ* in marg Mor 12 *στάληκας Ba* | *ἔνδιον Mo* | *μὲν* inserui e libris om edd 13 *καὶ* om *Ba* 14 *τὸν θῆρα* Iacobs Lect | *δόρατος* scripsi *παντὸς* libri edd | *ἔργον ἦν* delet. *Ba* *ἔργου* Re | *καὶ — 15 βάλλοντος* om *BVaMo* Mor¹ | *ἐπέδει* elicui e *Ba* *προθέσει Par* edd 16 *οὐκ ἐφικνουμένων εἰς* delet. *Ba* 17 *πεσὼν BaVa* sed in hoc *ω* in *ο* corr m² | *οἷς Va* sed *ο῾* eras et *δι᾿ ὧν* suprascr m² 18 *κτείνουσι Ba* sed *κτεί-νου* delet. *κτείνωσι Par* edd | *ἀτίμως Par* edd

κατελίμπανον, ἀλλ' ἀπάρχονται μὲν τῆς θήρας θεοῖς οἳ θήραν ἀνθρώποις ἐξεῦρον, κατευωχοῦνται δὲ πρὸς τὴν νίκην αὐτοὶ καὶ τὸ λοιπὸν τοῦ θηράματος ὑπόμνημα νίκης ἐς τὴν πόλιν ἐκόμισαν.

6. *Ταῦτα τοῖς θηρῶσιν ἡδονὴ μὲν ἐς κίνδυνον, ἀδίκημα δὲ τοῖς ὁρῶσι σιγώμενον.*

ια'.

ναυμαχίας. R IV 1080

1. *Τύχη δὲ ἄρα τῶν ἀνθρωπείων κατάρχουσα πρὸ παντὸς ἄλλου τῶν πολέμων ἐπιστατεῖ καὶ φέρει τὴν τῶν πραττομένων ῥοπὴν ἐφ' ἑκάτερα. γῆ γὰρ καὶ θάλαττα διαιροῦνται τὰς μάχας. καὶ πόλεμος μὲν ἠπειρωτικὸς εἰς ἀλκὴν μάλιστα πράττεται, ναυτικὸς δὲ πρὸς ἀλκὴν ἅμα καὶ τέχνην.*

2. *Δύο τοίνυν πόλεε νησιώτιδε πρὸς ἔριν ἀλλήλαις ἐλθοῦσαι πρὸς ἀγῶνα παρεσκευάζοντο ἐγκλήματα μὲν πρὸς ἀλλήλας πραττόμεναι, τύχην δὲ φέρουσαι τοῦ*

---

1 cf. ad t. VI 312, 9; VII 394, 6 2 Her. I 216 5 cf. p. 490, 15
11 Dem. Ol. II p. 24, 13 sq.; ep. Phil. p. 156, 10 sq. | Dem. Androt. p. 598, 7; Erot. p. 1412, 24 13 cf. p. 487, 7 sq.

---

1 *ἀπήρχοντο* Sintenis | *τοῖς BVa* sed in hoc *οι* in *η* corr m[3], *Mo* 2 *οἳ — ἀνθρώποις* delet. *Ba* | *κατευωχοῦνται* scripsi e *Ba* *κατευωχοῦντο ParBVaMo* edd sed *γρ κατευαχοῦντο* in marg Mor 3 *τὸν Mo* sed *ν* eras | *ὑπόμνημα* delet. *Ba* 4 *νίκης Ba* sed *νί* delet. om *Mo* | *εἰς ParVa* edd *πρὸς Mo* 5 *ἡδονὴ* scripsi e *BaParBMo* *ἡδονὴν Va* edd | *εἰς BaPar* edd
6 *ἀδίκημα Ba* sed *κημα* delet. | *δὲ τοῖς* delet. *Ba*
8 *πολέμου Ba* 9 *κατάρχουσιν Ba* 11 *ἑκατέρᾳ Va* | *γῆ γὰρ* et 13 *πράττεται* delet. *Ba* 15 $\overset{\lambda\varepsilon}{\pi\acute{o}}$ *Ba* sed in *πόλεις* corr m[2] *πόλεε Va* sed *ε*(2) in *σι* corr m[2] | *νησιώτιδε Va* sed *ε* ex *αι* corr m[2] *νησιῶται Ba* sed in *νησιώτιδες* corr m[2] | *ἀλλήλοιν Ba* 16 *ἐλθοῦσαι Ba* sed ˜ et *αι* delet.

κινδύνου τὴν πρόφασιν. ὡς δὲ ὁ κῆρυξ οὐδὲν εἰρηναῖον ἀπήγγειλε, παρεσκευάζοντο πρὸς τὸ μέλλον ἑκάτεροι, δεξιὸν μὲν κέρας οἱ ἄριστα πλέοντες ἔχοντες, εὐώνυμον δὲ οἱ κρατεῖν οὐ δυνάμενοι. 3. *καὶ προσβαλόντες ἀλλήλοις διέκπλοις καὶ ταῖς ἀναστροφαῖς κυκλωσάμενοι ἅτεροι τῷ δεξιῷ κατὰ μέσον τοὺς λοιποὺς ἀπελάμβανον. καὶ ναῦς μὲν ἐμβαλούσης νεὼς διεφθείρετο, ἄνδρες δὲ ζωγρηθέντες ἀπήγοντο.* 4. *καὶ νὺξ μὲν ἐπῆν τῷ παθήματι, ἑκάτεροι δὲ ἐχώρουν πρὸς τὸ οἰκεῖον στρατόπεδον, οἱ μὲν νικηθέντες ἀγαπῶντες εἰ σώζοιντο, οἱ δ' αὖ νενικηκότες τὰς μὲν τῶν νεῶν κενὰς ἀναδούμενοι, τὰς δ' αὐτοῖς ἀνδράσι καθέλκοντες, καὶ τρόπαιον στησάμενοι μίαν ὧν εἷλον νεῶν ἀνέθεσαν τῷ Ποσειδῶνι πρεσβεύοντες.*

5. *Ταῦτα τόλμης μὲν ὑπῆρχεν ἰδεῖν, ἀδίκημα δὲ μὴ διελθεῖν οἷα γεγένηται.*

---

1 Thuc. I 29, 4 3 Thuc. II 90, 2 5 Thuc. I 49, 2 | cf. ad t. IV 436, 9. Thuc. II 89, 6; I 49, 2 7 Thuc. IV 127, 2 11 sq. Thuc. II 90, 4 13 sq. Thuc. II 92, 3 16 sq. cf. p. 489, 6

---

2 *ἀπήγγελλεν Ba* | *μὲν* ante *πρὸς Ba* 3 comma posui, punctum libri edd | *ἄριστα* reposui e libris *ἄριστοι* edd 4 *προσβάλλοντες Ba* 5 *διέκπλοις* om *Ba* 6 *θάτεροι Ba* | *καταμέσον Mo* 7 *κατελάμβανον Ba* | *ἐμβαλλούσης Va* sed λ(2) inser m², *Mo* *ἐμβαλοῦσα Ba* | *νηὶ Ba* 8 *ζωγρηθέντε Va* | *ἀπήγοντο* reposui e libris *ἀπήροντο* edd sed *γρ ἀπήγοντο* in marg Mor 9 *ἐ* supra *ἀπῆν Ba* | *τῷ παθήματι Ba* sed *τῷ πα* delet. 10 *καὶ* ante *εἰ* (*οἱ* supra) *Ba* | *ἡττηθέντες Ba* | *ἀγάπω,ν* cum lac 2 litt post *ν Ba* sed *ά* in *ή* corr m² 12 *δὲ BMo* | *αὐτοῖς* scripsi coll Thuc. l. l. cum Piersono Veris. 40 et Iacobsio Lect App. Pors. Adv. 283 *αὖ τοῖς* libri edd 15 *ὑπῆρχεν ἰδεῖν* delet. *Ba* 16 *γεγένηται* scripsi e *Ba* cum Iacobsio Lect *γεγένηνται ParBVaMo* edd

ιβʹ.

λέοντος κατέχοντος ἔλαφον. R IV 1081

1. Ἀλκαὶ δὲ ἄρα σωμάτων ἐπαινοῦνται μὲν ἐν παντί, μάλιστα δὲ οἷς ὁ λόγος οὐκ ἔνεστιν. ὅθεν τὰ λέοντος ἐρρωμένα παρέσχεν ἡ φύσις, μιμεῖσθαι δὲ τέχνῃ πειρᾶται καὶ διεξελθεῖν πεπλασμένα ὁ λόγος.

2. Ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος λέων ἐξείκασται συμπεπλεγμένος ὥσπερ ἐν ὄρει πρὸς ἔλαφον. ἅπας τε γὰρ ἔχεται πάσης καὶ κατὰ μέρος διείληφεν, ὡς ἑλεῖν περιῆν. οἵ τε ⟨γὰρ⟩ ὀδόντες τῇ δειρῇ περιπείρονται καὶ κόμη τῆς κεφαλῆς ἐπανίσταται καὶ συλλαβόντες ὄνυχες ἔχουσι. καὶ πρὸς ὅλην ἁλοῦσαν διαιρεῖται τὴν ἔλαφον στόματι δαπανῶν καὶ συνέχων τοῖς ὄνυξι καὶ πιέζων τῷ λοιπῷ σώματι, οὐρὰν δὲ συμπεριείλικται τῆς μὲν παρ' αὐτῆς πληγῆς οὐκέτι δεόμενος, ἀντ' ἄλλου δὲ αὐτὴν ἐπιφέρων δεσμοῦ. 3. ἡ δ' αὖ ἐλα-

2 Il. λ 172 sq.

2 *ἐλάφους Va* 3 *δὲ* om *Ba* | *ἐπαινοῦνται μὲν ἐν Va* sed *ται μὲν ἐν* in ras 3 litt (*ται?*) m² | *μὲν ἐν* om *Ba* | *μὲν* om *B* Mor 4 *ὁ* om *Par* | *λέοντος Ba* sed *οντος* delet. 5 *ἐρρωμένα Va* sed *ω* in ras m² | *δὲ τέχνῃ*] *τῆς τέχνης καὶ Par* 6 *καὶ* om *Par* | *διεξελθεῖν* scripsi e *BaPar* *διελθεῖν BVaMo* edd 8 *ἐκτέταται Par* | *ὥσπερ* inserui e *Ba* om *ParBVaMo* edd 9 *γὰρ* om *Ba* | *πάσης ἔχεται Ba* | *καὶ* scripsi *ἣν ParBVaMo* *εἰ δὲ Ba* *τῷ* edd sed *ἴσ. τὸ* in marg Mor | *καταμέρος ParMo* | *διειληφέναι* in marg coni Mor Iacobs Lect 10 *γὰρ* inserui om libri edd | *τῇ* om *Par* 11 *καὶ ἡ κόμη* Usener, De Iliad. carm. Phoc. 5 (Kl. Schr. III 415) | *καὶ* — 12 *ἔχουσι* inserui e *BaPar* om *BVaMo* edd | *συλλαβόντος Ba* 12 *ὄνυχες* scripsi *οὐκ BaPar* | *ὅλην ἁλοῦσαν*] *ὀκλάζουσαν* Iacobs Lect Ach T 850 | *ἁλοῦσα Mo* 13 *στόματι* reposui e libris cum Iacobsio Usenero ll. ll. *στόματα* edd | *δάπτων* Iacobs Lect Usener coll Il. λ 481; π 159 at cf. p. 513, 9 14 *οὐρὰ Ba* et *γρ* in marg Mor 15 *οὐκέτι δεόμενος* delet. *Ba* | *οὐκ ἔτι* edd 16 *δεσμοῦ* om *Ba* *δεσμὸς Par* | *ἡ*] *πρὸς Ba*

φος τὸ μὲν κέρας ἀνῆκεν ὥσπερ αἰτιωμένη τὴν φύσιν εἰ μηδὲν αὐτῇ πρὸς μάχην ἐξήρκεσε, τὸ δέ οἱ πρόσωπον ἐγκάρσιόν τέ ἐστι καὶ πρὸς θάτερον νένευκε καὶ τὸ στόμα ὑπανέῳγεν, ὀδόντας μὲν ὑποφαίνουσα, περιαλγοῦσα δὲ τῷ παθήματι. οἱ δὲ δὴ πόδες ἑστᾶσι μὲν οἱ πρῶτοι πρὸς τὴν γῆν καὶ τὸ βάθρον ἐρείδουσιν, οἱ λοιποὶ δὲ πρὸς γόνυ συγκάμπτονται καὶ κατὰ γῆς συνεάγησαν. 4. καὶ σχηματίζεται μὲν πρὸς ἅπαν τοσοῦτον ὅσον ὁ λέων ἐμπεσὼν ἐβιάσατο. εὖ δέ μοι δοκεῖ ὁ δημιουργὸς ἐλάφου θήραν ὑπὸ πάντων στῆσαι τοῖς ὄμμασιν ὥσπερ ἐνδείξασθαι τοῖς πολλοῖς προαιρούμενος ὡς προελθοῦσι θηρᾶν εἰ-
R IV 1082 σιν ἔλαφοι | πρόχειροι. 5. λέγειν οὖν ἀφῆκεν ὁ λόγος ἃ μηδὲ λέγειν οἴκοθεν δύναται.

ιγ'.

R IV 1082 Ἡρακλέους καὶ Ἀνταίου.

1. Οὐρανόν τε καὶ γῆν διείλοντο μὲν οἱ θεῶν κράτιστοι καὶ τὸ μέσον ἀμφοῖν ὁ χῶρος σημαίνει, δη-

3 cf. p. 496, 11. Thuc. II 76, 3   6 et 7 cf. Poll. I 193

1 αἰτιωμένης *Par*   2 αὕτη *Ba* αὐτὴν *Mo* αὑτῇ *ParB Va* edd | εἰς *Par* | ἐξήρκησε *B* edd   3 τε om *Par* | ἀν-ἀνένευκε *Ba* sed ἀν (1) suprascr m² ἀνανένευκε *Par*   4 τὸ στόμα scripsi e *BaPar* τοῦ στόματος *BVaMo* edd τὰ τοῦ στόματος Iacobs Lect | ἐπανέῳγεν *Par* ἀνέῳγεν *Ba*   6 ἑστᾶσι reposui e libris sed ἑ ex ἱ corr *Va*, cum Usenero ἱστᾶσι edd | τὴν om *BaPar* | σχόλ. πρὸς τὸ in marg Mor at cf. p. 538, 5 | τῷ βάθρῳ *Par*   7 πρὸς] τὸ *Ba* | συγκάμπτονται *BaVa* sed in hoc μ ante π eras   8 συνεάγησαν scripsi cum Usenero coll Il. λ 114 συνελέγησαν libri edd   9 τοσοῦτον Mor sed γρ σχῆμα τοσοῦτον in marg | λέων ὁ πεσὼν *Ba*   11 ὑπὸ πάντων scripsi ἐπ' αὐτοῖς libri sed inser *Va*², Re om Mor | ὄμμασιν scripsi λέουσιν *Ba* νεύμασιν (νεύμασι *Mo*) reliqui libri edd   12 προελθοῦσαι *Par*   13 λέγειν scripsi e *BaB* λέγων *ParVaMo* edd οὖν] οὐκ *BaBVaMo* οὖν οὐκ *Par*   14 ἃ] ὡς *Par* | μὴ δὲ *ParMo* | δύναται delet. *Ba*   16 ἡρακλέος *Ba*   17 ^δι^εἵλοντο *Va*

λοῦσι δὲ πλέον παῖδες θεῶν πρὸς ἀλλήλους ἀγωνιζόμενοι. προελθὼν γὰρ Ἡρακλῆς τοῦ Διὸς πρὸς Ἀνταῖον ἀνταγωνίζεται τὸν Γῆς προελθόντα πρότερον. 2. καὶ συμπλεκομένους εἶδεν ὁ πρότερος χρόνος οὓς ἀγωνιζομένους κατέσχεν ἡ τέχνη. χῶρος γάρ τις περιφαινόμενος ἄστεος ἀνεστηκότας ἀμφοτέρους παρέχεται. καὶ τὸν ἀγῶνα λήγοντα μᾶλλον ἢ καταρχόμενον οἱ πλάσαντες ἀνέφηναν. ὡς γὰρ ἀγωνισμάτων πλείστων προγεγονότων ἀμφοῖν Ἡρακλῆς Ἀνταῖον αἴρει μετέωρον, αἴρει δὲ κατὰ κεφαλῆς ὠθῶν ἐπὶ γῆν. 3. καὶ τὸ μὲν πρόσωπον πνέον ἔτι σώζει τοὺς πόνους. κεφαλὴ γὰρ πόνους ὑπερορᾷ καὶ μικροῦ τοῖς Ἀνταίου ποσὶν ἀποκρύπτεται. ἔπειτα δειρὴ πρὸς τὴν ὁρμὴν τῶν ἀγωνισμάτων ἀνέστηκε. 4. τὼ δὲ δὴ χεῖρε πρὸς τὸν Ἀνταῖον ἔχει συμπλέξας καὶ πιέζει λαβὼν καὶ καταβαλεῖν ἀπειλεῖ πρὸς τὴν φύσασαν ὥσπερ Ἀνταίῳ δεικνὺς ὡς οὐδὲν ὀνήσει τοῦτον ἡ γῆ παράγουσα μὲν ὡς ἀμῦναι

---

5 cf. p. 496, 1 7 Philostr. im. II 21 p. 374, 32 K
13 cf. p. 496, 18; 497, 14 15 Philostr. l. l. p. 375, 4 sq.
17 Philostr. l. l. p. 375, 11

---

1 πρὸς om *Par* 3 τῆς ante γῆς *Par* | προελθόντα *Ba* sed οελθόντα delet. 4 οἶδεν *BaPar* | καὶ ante ἀγωνιζομένους edd delevi 5 γάρ delet. *Ba* 6 παρέχεται καὶ τὸν *Ba* sed χεται καὶ τὸν delet. 7 κατερχόμενον *ParMo* 8 ἀνέφηναν delet. *Ba* ἀνέφερν *Par* | ὡς γὰρ ἀγωνισμάτων *Ba* sed ὡς γὰρ ἀγ delet. | προγεγονότων scripsi e *BaPar* γεγονότων *BVaMo* edd 9 μετέωρος *Par* 10 αἴρει δὲ κατὰ delet. *Ba* | κεφαλῆς ὠθῶν ἐπὶ *Ba* sed κεφα ὠθῶν ἐ delet. | γῆς *Ba* 11 γάρ delet. *Ba* 12 πόνους scripsi delet. *Ba* πόνων *Par* πόνοις *BVaMo* edd πόνοις ὑποδρᾷ Petersen, De Lib. comm. IV 4 | καὶ μικροῦ τοι delet. *Ba* | ὑποκρύπτεται *Ba* 13 δειρὰ *Ba* 14 ἀνέστηκεν *VaMo* ἀνθέστηκε *Ba* | δὴ inserui e *Ba* om reliqui libri edd 15 πιέζειν *Par* | λαβεῖν *Par* βαλὼν *Ba* | καταβαλεῖν scripsi e *Par* coll p. 494, 5; 498, 1 καταβάλλειν reliqui libri edd 16 ὥσπερ delet. *Ba* 17 παράγουσαν *Par* παροῦσα Petersen IV 6 | ἀμύναι *Par*

προσήκουσα, ἀποροῦσα δὲ σώζειν ὥσπερ αὐτοῦ πίπτοντος ἐν τῷ βάλλεσθαι. τὸ δὲ δὴ στέρνον Ἀνταίῳ συναποκρύπτεται. 5. *τὼ δὲ δὴ μηρὼ ἄμφω μὲν διεστήκασιν, ἀνέχει δὲ πρὸς Ἀνταῖον ὁ δεξιὸς ὥσπερ Ἡρακλέους ἀνιᾶσαι σπουδάζοντος οἷς καταβαλεῖν μὲν ἀπειλεῖ, πεσεῖν δὲ πρὸς γῆν οὐ κατέλιπε. τοῖν δὲ δὴ ποδοῖν πρὸς τὸ βάθρον ἑκάτερος ἕστηκεν.* 6. *ὁ δὲ δὴ λοιπὸς*
R IV 1083 *αἴρεται μὲν* | *ἀπὸ γῆς καὶ δεῖσθαι τῆς τεκούσης οὐ συγκεχώρηται, φέρεται δὲ πρὸς ἀέρα μετέωρος τῆς μὲν συμμαχούσης ἀλλοτριούμενος, αἱρόμενος δὲ οἷς πεσεῖσθαι καταναγκάζεται, καὶ τὴν μὲν κεφαλὴν κάτω φέρεται βλέπουσαν, πεσεῖν δὲ θᾶττον οὐ συγκεχώρηται ἀνιαροτέραν ἄγων τὴν ἐλπίδα τοῦ μέλλοντος, καὶ προσάπαξ πεσεῖν οὐκ ἐώμενος ἀεὶ πεσεῖσθαι ταῖς ἐλπίσι δοκεῖ.* 7. *ταῖν δὲ δὴ χεροῖν ἡ μὲν δεξιὰ λύειν πειρᾶται τῶν Ἡρακλέους δεσμῶν τὴν πάγην, ἡ δ' εὐώνυμος πρὸς γῆν τέταται δεομένη τε ὁμοῦ τῆς μητρὸς καὶ προσερεῖσαι βουλομένη τῇ γῇ βαλλομένου τοῦ σώμα-*

---

1 *σώζει Par* 2 *δὴ* inserui e *Ba* om reliqui libri edd 3 *διεστήκασιν* scripsi *διέστηκεν* libri edd 4 *ἀντέχει B* | *ἡρακλέ* (ο superscr.) *Ba* 5 *ἀνιάσαι BMo* fortasse recte cf. t. VI 276, 2 | *καταβάλλειν Mo* *καταβαλεῖ Ba* 6 *κατὰ γῆς Mo* 7 *ἀνέστηκεν Par* | *δὴ λοιπὸς*] *Ἀνταῖος* Petersen IV 5 at cf. p. 492, 6 8 *ἐρείδεσθαι τῇ τεκούσῃ* Petersen IV 7 9 *φέρεται δὲ*] *ἀλλὰ φέρεται Ba* 10 *συμμαχούσης* reposui e libris *συμμάχου* edd 13 *ἀνιαροτέραν Va* sed ο ex ω corr m² *ἀνιαρωτέραν* (*ἀνιαναρωτέραν Par*) *ParBMo* edd sed γρ *ἀνιαροτέραν* in marg Mor *ἐνι ρώ* (τρ superscr.) *Ba* cf. t. VII 25, 2 | *τὴν ἐλπίδα ἄγων Ba* | *πρὸς ἅπαξ B* *προσαπὰξ Mo* 15 *τὼ δὲ χεῖρε Ba* 16 *πάγην* scripsi auctore Iacobsio Lect Philostr. im. 435 qui *πάγην* vel *πλοκὴν* coni coll p. 526, 2 probante Peterseno IV 5 *πληγήν* libri edd | *δὲ Par* 17 *δὲ BaPar* | *ὁμοῦ* om *Va* Mor 18 *προσερεῖσθαι Ba* | *βουλομένῃ* edd

τος. 8. τὸ δὲ δὴ στέρνον ταῖς Ἡρακλέους χερσὶ πιεζόμενον ἔχεται, πρὸς δὲ τὴν βίαν ἡ γαστὴρ ὑποδίδωσι. τοῖν δὲ δὴ μηροῖν ἑκάτερος ἄνω μετέωρος φέρεται. καὶ τὼ πόδε φέρει πρὸς ἀέρα μέσον ἀνέχοντας ἐναλλὰξ τὴν θέσιν τοῖς ἀγῶσι φερόμενος· οὗ γὰρ ἔδει κεῖσθαι τοὺς πόδας, ἡ κεφαλὴ μετατέθειται, πρὸς ἃ δὲ τὴν κεφαλὴν ἑστάναι προσῆκεν, οἱ πόδες ἀνέχουσιν οὕτως Ἡρακλέους μεταβαλόντος τὸ σχῆμα τοῦ σώματος ὡς ἡ Τύχη τὴν μάχην.

9. Ταῦτα καὶ θεωρεῖν ὑπῆρξεν ἐν ἡδονῇ καὶ τοῖς πλάσμασιν ἕστηκε βέβαια.

ιδ'.

ἑτέρα τῶν αὐτῶν. R IV 1083

1. Ἐξέλιπε μὲν μετὰ τοὺς ἀγῶνας τὴν γῆν Ἡρακλῆς, μένει δὲ ὅμως ἐπὶ τῶν ἀγωνισμάτων ἐν γῇ καὶ θεοῖς συνδιαιτώμενος. ὥσπερ γὰρ οὐκ ἀνεχομένης τῆς Τύχης οὐδὲν ἐᾶσαι λαθεῖν ὧν Ἡρακλῆς ἠγωνίσατο τὴν τῶν πλασάντων ἐπεδείξατο τέχνην. ἡ δὲ πολλαχῇ μὲν | ἀγωνιζόμενον ἔδειξε, μάλιστα δὲ οἷς πρὸς R IV 1084 παῖδα τῆς Γῆς ἀγωνίζεται.

---

5 cf. p. 497, 13. Philostr. im. II 5 p. 346, 21; I 23 p. 327, 11 cum nota Iacobsii. Arist. nub. 983 11 cf. p. 486, 14

---

1 δὲ δὴ om *Ba* 3 τῶν et μηρῶν Mor | μετέωρος inser *Va* om Mor | φαίνεται *Par* 4 ἀνέχοντος *Par* | comma post ἐναλλὰξ edd delevi 5 τοῖς ἀγῶσι φερόμενος om *Ba* 6 μετατίθεται *Ba* 7 προσήκει *Ba* | ἀνέχουσι *Va* | οὕτω *Par* 8 μεταβάλλοντος *Va* sed λ(1) eras | ὡς ηὐτύχει ἡ μάχη *Ba* 11 πλάσμασιν scripsi e *Ba* πλάσασιν (πλάσασι *Mo*) reliqui libri edd | βεβαία *Mo* 13 τοῦ ἑτέρου ἡρακλέους περιπεπλεγμένου τῷ ἀνταίῳ *BaPar* sed τοῦ ἑτέρου om *Par* 14 ἐξέλιπε — 16 συνδιαιτώμενος excerpsit *Vo* 16 ἀνεχόμενος *Ba* 17 λαθεῖν om *Par* 18 ἡ δὲ] καὶ *Ba* 19 ἀγωνιζόμενος *Ba* | μάλιστα scripsi e *Ba* μᾶλλον reliqui libri edd 20 τὸν *Ba* cf. p. 496, 2; 497, 7

2. *Ἐν περιφανεῖ γὰρ χώρῳ τοῦ ἄστεος ἀνέστηκεν Ἡρακλῆς ἐν χαλκῷ πρὸς παῖδα τῆς Γῆς συμπλεκόμενος σκευὴν καθάπαξ οὐ περικείμενος. καί μοι δοκεῖ τὸν δημιουργὸν τοιοῦτον σχῆμα περιθεῖναι τῆς πάλης ὡς καθάπαξ τοῦ δημιουργοῦ τὸν Ἡρακλέα τοιοῦτον εἶναι συμπλάττοντος καὶ ὡς οὐκ ὂν Ἡρακλεῖ προκαλύπτεσθαι πρὸς ἀγῶνα κινουμένῳ τοιόνδε.* 3. *περίκειται δὲ τὴν κόμην στέφανος ἔτι μὲν αὐτῷ συνεστώτων τῶν πόνων, ὥσπερ δὲ οὐκ ἀναμένων τὸ πέρας εἰς κρίσιν, πρεσβύτερον δὲ τῆς νίκης ⟨ἢ⟩ τὸ τῆς μάχης ἔχων ὑπόμνημα.* 4. *εἶτα τὸ πρόσωπον ἐγκάρσιόν τε ἅπαν ἐστὶ καὶ πρὸς αὐτὸν βλέπει τὸν συμπλεκόμενον ὥσπερ οὐδὲ τοῦ προσώπου τὸ πρόσχημα φόβου χωρὶς καταλείποντος.* 5. *συνάγει δὲ τὰς ὀφρῦς ὁ θυμὸς καὶ τὴν ὀργὴν ὁ δημιουργὸς οὐκ ἀφῆκε λαθεῖν. ἔπειτα συγκλείσας ἔχει τὸ στόμα τῆς ἀπὸ τοῦ πνεύματος ψυχαγωγίας οὐ προσδεόμενος. ἐγκάρσιος δέ ἐστιν ἡ δειρὴ καὶ πρὸς τὴν ὁρμὴν τῶν ἀγωνισμάτων ἀπένευσε τοσοῦτον τὸν*

---

1 cf. p. 498, 5 6 Hes. theog. 571 11 cf. p. 492, 3 17 cf. p. 493, 13

---

1 *χώρα* *Par* | *ἄστεος* *Ba* sed *ἄστε* delet. 2 *σκεύει* post *χαλκῷ* *Ba* | *τῆς* scripsi e *BaB* *τὸν τῆς* *Par* *τὸν* *VaMo* edd cf. ad p. 495, 20 3 *σκευὴν — περικείμενος* om *Par* | *τὸ δημιουργοῦ σχῆμα περιεῖναι* *Par* 4 *δημιουργὸν* *Ba* sed *δημι* delet. | *ὡς*] *ἀλλὰ* *Par* 5 *τοῦ δημιουργοῦ* om *Ba* | *ἡρακλέους* *Par* 6 *συμπλάττοντα* *Ba* | *καὶ* om *BaPar* | *ὡς — Ἡρακλεῖ*] post lac 3—4 litt *ἠθέλη* (σ supra) *Ba* | *ὂν* *Va* sed *ο* ex *ω* corr m² | *προκαλύπτεσθαι* inser *Va* om Mor 7 *κινούμενον* *Ba* 8 *αὐτῷ συνεσ* delet. *Ba* | *ἐνεστώτων*? 9 *δὲ* om *Par* 10 *ἢ* inserui om libri edd | *μάχης ἔχων ὑ* delet. *Ba* 11 *ἐγκάρσιον ἅπαν τέ ἐστι* *Mo* 12 *ὥσπερ* delet. *Ba* 13 *καταλείπων* *Ba* 14 *ὀργὴν ὁ δημιου* delet. *Ba* 16 *ψυχαγωγίας* om Mor *ψυχαγω* (γάς supra) *Ba* 17 *οὐ προσδεόμενος* delet. *Ba* 18 *χρείαν* *BaPar* cf. p. 493, 13 | *γρ ἀνέστηκε* in marg Mor cf. p. 493, 14 | *τὸν δεξιὸν ὦμ* delet. *Ba*

δεξιὸν ὦμον ἀπολείπουσα ὅσον τῷ λαιῷ πιέζων ἐβάρυνε. 6. ταῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν τῆς ἐκείνου δεξιᾶς εἴληπται, χερσὶ δ' ἴσαις οὐχ ὁμοίαν ἀγῶνος ἔδειξε τύχην. ἡ μὲν γὰρ προὔχει καὶ τύχῃ καὶ σχήματι, τῇ δ' εὐωνύμῳ τὸ πᾶν πιστεύει τῆς νίκης ὥσπερ ἀγανακτῶν εἰ Διὸς γεννηθεὶς δεξιᾷ χειρὶ τὸν παῖδα τῆς Γῆς παραστήσαιτο. πιέζει δὲ τὴν δειρὴν τῇ λαιᾷ καὶ τῇ τεκούσῃ πελάσαι βιάζεται. 7. τὸ δέ οἱ στέρνον ἐξώγκωταί τε καὶ ἐξοιδεῖ καὶ τὴν ἔνδον ὁρμὴν ὑποσημαίνει τῷ σχήματι. παρατέταται δὲ ὑπὸ τῷ στέρνῳ γαστὴρ ὥσπερ ἄνω παρὰ τὸ στέρνον ὠθοῦσα τὸ πνεῦμα. 8. τοῖν δὲ δὴ μηροῖν ὁ μὲν δεξιὸς ἐπ' αὐτῷ τῷ ποδὶ τέταται | καὶ προσερείδει τῷ βάθρῳ καὶ R IV 1085 προδηλοῖ τὴν ὁρμὴν τοῦ πιέζοντος, ὁ δὲ δὴ λαιὸς ὑποβέβληται μὲν τοῖς Ἀνταίου μηροῖς, καὶ δεξιῷ λαιὸς οὐ προσφέρεται, ὠθεῖν δὲ ἐς τὸ ἄνω πειρώμενος ὅλον

8 cf. p. 509, 6 14 cf. p. 493, 13

1 ἀπολ(ε)ίπουσα *Par* 3 δεξιᾶς *Ba* sed δε delet. | χερσὶ δ' scripsi e *Ba* καὶ χερσὶν reliqui libri edd | ὁμοίαν reposui e libris ὁμοίως edd 5 δὲ *Par* 6 εἰ Διὸς γεννηθεὶς om *Ba* | γενηθεὶς *Va* γεγονὼς *Par* 7 παραστήσαιτο scripsi e *B Va Mo* cum Iacobsio Lect Ach T 742 παραστῆσαι *Ba* παραστήματα *Par* παρασείσαιτο edd 9 ἐξώγκωταί reposui e libris sed αι in ras *Va*, cum Peterseno IV 9 ἐξώγκωτό edd | τε καὶ ἐξοιδεῖ om *Ba* | ὁρμὴν scripsi e *Mo* coll p. 525, 14 cum Iacobsio Philostr. im. 476 ὀργὴν reliqui libri edd et defendit Petersenus l. l. | ὑποσημαίνει τῷ *Ba* sed νει τῷ delet. 10 παρατέταται reposui e libris sed περιτείνεται *Ba*, cum Iacobsio Lect Philostr. im. 617 et Peterseno l. l. παρατέτακται edd sed γρ παρατέταται in marg Mor | ἐπὶ *BaPar* 11 παρὰ τὸ στέρνον] ἐπ' αὐτὸ *Ba* 12 τῶν δὲ δὴ μηρῶν *Ba* 13 τέταται scripsi e *BaPar BMo* τέτακται *Va* edd et tuetur Iacobs Phil. 617 coll p. 509, 9 | τῷ βάθρῳ delet. *Ba* 15 ὑποβέβλητο *Par* | μὲν om *Mo* | καὶ δεξιῷ λαιὸς οὐ προσφέρεται inserui e *BaPar* sed λαιὸς om *Ba* om *B VaMo* edd 16 ὀρθοῦν *Ba* | δ' εἰς *Ba* | τὸν *Par*

Ἀνταῖον ἐξωθεῖ τοῖς μηροῖς καὶ καταβαλεῖν ἀπειλεῖ πρὸς τὴν γῆν. 9. *ὁ δὲ Ἀνταῖος περίκειται μὲν οὐδὲν ἐπὶ τῆς κεφαλῆς, ἀρκέσειν δέ οἱ πρὸς τὴν μάχην ἡγεῖται τὴν κόμην ἐπὶ μέγα προήκουσαν. καί μοι τὸν Ἀνταῖον κομᾶν ὁ δημιουργὸς ὑποπλάσαι δοκεῖ καὶ τῆς τεκούσης σημαίνων τὴν φύσιν καὶ τὴν μέλλουσαν αἰνιττόμενος ἧτταν.* 10. *τὸ δέ οἱ πρόσωπον οὐδὲ ὅλον ἔχει καταμαθεῖν τὴν μητέρα, ἀλλὰ τὸ μὲν ἀφῆκεν εἰς γῆν ἀφορᾶν, ὡς ἂν νικηθεὶς τὴν μητέρα ἐπιμαρτύραιτο καὶ κόμπον ἄλλως ἐξελέγξαι τὸ γένος, τὸ δ' αὖ ἑτέρωσε νένευκεν οὐδὲ αὐτὸν ἰδεῖν τὸν νενικηκότα συγχωρηθέν. τὸ δέ οἱ στόμα διῆρται μὲν ὡς εἰς πάροδον βιαζομένου τοῦ πνεύματος καὶ στένειν παρέχει τὴν ἧτταν καὶ μόνον θρήνων ὁ δημιουργὸς ἀφῆκεν ἐλεύθερον.* 11. *πιεζομένη δὲ πρὸς τῆς βίας ἡ κεφαλὴ τὴν δειρὴν πᾶσαν ἀπέκρυψε καὶ λαιὸς αὐτὴν πιεζομένην ὦμος ἀνέχει.* 12. *τῶν δ' αὖ χειρῶν ἡ μὲν δεξιὰ προκατείληπται καὶ καθίσταται πρὸς τὴν μάχην τοσοῦτον ἀποδέουσα τοῦ συμμαχεῖν ὡς ἐκ τοὔμπαλιν*

---

12 cf. p. 521, 20; 525, 13; t. VII 620, 8 19 Thuc. III 22, 4

---

1 *τοῖς μηροῖς* om *Ba* 2 *Ἀνταῖος* om *Ba* 4 *προήκουσαν* scripsi e *BaBVaMo* cum Iacobsio Lect Peterseno IV 11 *προσήκουσαν* *Par* edd 5 *ὑποπιπλάσαι* *Par* 6 *σημαίνων τὴν* delet. *Ba* 7 *ὅλον* scripsi cum Peterseno *ὅλην* libri edd 8 *μητέρα* delet. *Ba* 9 *ὡσὰν* *B* | *νικηθεὶς* scripsi cum Iacobsio Lect *κινηθεὶς* *BVaMo* edd *κινηθὲν* *Ba* *κινηθῇ* *Par* | *ἐπιμαρτύρετο* (sup. *αι*) *Ba* 10 *κόμπος ἄλλος* *Ba* | *ἐξελέγξαι* scripsi *ἐξελέγχει* *Ba* *ἐξελέγξῃ* reliqui libri edd | *τὸ δ'* — 12 *συγχωρηθέν* inserui e *BaPar* om *BVaMo* edd | *δ' αὖ* scripsi *δὲ ἂν* *Ba* *δ' ἀν* *Par* 11 *ἑτέρωσε* parum certum in *Ba* | *νένευκεν* *Ba* sed *εν* delet. 12 *διῆρται* scripsi *διήρηται* libri edd cf. l. l. 13 *βιαζομένου* *Ba* sed *βιαζ* delet. 14 *θρῆνον* *BaPar* 15 *δὲ* om *Ba* | *τὴν βίαν* *Par* 16 *δεινὴν* *Par* 17 *εχει.* *τῶν δ'* delet. *Ba* 19 *ἀποδιδοῦσα* *Par* *ἀναδιδοῦσα* *Ba* sed *α*(3) delet. | *τοῦ* delet. *Ba* *τὸ* *Par*

ἕλκεσθαι. τῇ λοιπῇ δὲ χειρὶ τὸν μὲν Ἡρακλέους βραχίονα παρέρχεται καὶ παρ' αὐτὴν τὴν εὐώνυμον μασχάλην τέταται πάντη, πειρωμένη δὲ προσψαῦσαι τῆς πλευρᾶς ἁμαρτάνει τῆς νίκης. 13. *τὸ δέ οἱ στέρνον διέσχεν, οὐ μὴν ἐκ θυμοῦ, τῆς δ' Ἡρακλέους δυνάμεως τοσοῦτον πιεζούσης τὸ στῆθος ὅσον ὑποδῦναι τὴν γαστέρα ποιῆσαι. τοῖν δὲ δὴ μηροῖν ὁ μὲν δεξιὸς συμπλέκεται καὶ μετέωρος ἐκ τῆς Ἡρακλέους συμπλοκῆς αἴρεται, ὁ εὐώνυμος δὲ βραχὺ μέν τι πρὸς γόνυ κέκαμπται καὶ παντὶ ποδὶ ψαύει τῆς γῆς ὥσπερ οὐκ ἐώσης τῆς τεκούσης αὐτὸν καθάπαξ ἁλῶναι νικώμενον, ἀλλ' ὅσον Ἡρακλῆς πειρᾶται καταβαλεῖν, τοσοῦτον ἡ γῆ πεσεῖν οὐκ ἐᾷ. καὶ ἀγὼν Ἡρακλεῖ καταλείπεται, πρὸς Ἀνταῖον ὁ μὲν ἤδη συμπλεκόμενον, πρὸς δὲ τὴν μητέρα ὁ ἕτερος πεσεῖν οὐκ ἐῶσαν. ἓν δὲ ἀμφοτέρους βάθρον ἔχει καὶ | τῆς γῆς ἐξαῖρον καὶ γῆς αὐτὸ μηδὲν ἐφαπτόμενον.* R IV 1086

14. *Πόνους δὲ ἄρα τοὺς Ἡρακλέους οὐκ ἦν ἔξω πόνων διεξελθεῖν.*

---

2 *παρέρχεται Ba* sed *χεται* delet. | *τὴν*] *ὑπῆλθε τὴν μάχην Par* | *εὐώνυμον* om *Ba* | *μασχάλην* om *Par* *μάχην Ba* 3 *πάντη* reposui e libris *πάντως* edd *ἄνω* Petersen 4 *δειρᾶς* Petersen | *τὸ δέ οἱ*] *καὶ τὸ Ba* 5 *διέσχισεν Ba* | *οὐ μὴν* inserui e *Ba* *ὁ μὲν Par* om *BVaMo* edd | *δ'* inserui e *Ba* om reliqui libri edd | *ἡρακλέος Ba* 6 *πιέζοντα Par* | *τὸ στῆθος*] *αὐτὸ Ba* | *ὑποδῦναι Ba* sed ex *ἀποδοῦναι* corr m² 7 *μὲν δεξιὸς* scripsi e *BaPar* *δεξιὸς μὲν BVaMo* edd 8 *συμπλέκεται* delet. *Ba* 9 *ὁ* om *BaPar* | *μέντοι Par* 10 *ψαύει Ba* sed *αύ* ex *άλ* corr m² 12 *ὅσην Par* 13 *ἡρακλῆς διπλῶς Par* 14 *ὁ* inserui e *Ba* om *ParBVaMo* edd | *ἤδη* om *Ba* | *συμπλεκόμενος Ba* *πλεκόμενον Par* | *ὁ ἕτερος* inserui e *Ba* om *ParBVaMo* edd 15 *ἐῶν Ba* *ἐάσαντα Par* | *ἓν δὲ ἀμφοτέρους* reposui e libris sed *οὖν* pro *δὲ Ba*, cum Iacobsio Lect Anth. Pal. III 28 et 708 *ἐν δὲ ἀμφοτέροις* edd | *βάραθρον Par* | *ἀνέχει BaPar* 16 *ἐξαίρειν* (ον *suprascr.*) *Mo* | *γῆς* om *Ba* *αὐτὸ* scripsi e *ParBMo* *αὐτὸν Va* sed *ν* inser, edd *αὐτῆς* sed post *μηδὲν Ba* 17 *πόνους* — 18 *διεξελθεῖν* excerpsit *Vo* | *ἡρακλέος Ba* | *οὐκοῦν Par* 18 *διεξελθεῖν* scripsi e *Ba* *διελθεῖν* reliqui libri edd

ιε'.

R IV 1066 *Ἡρακλέους ἑστῶτος ἐν τῇ λεοντῇ.*

1. *Οὐκ ἦν ἄρα τὸν Ἡρακλέα πεπαυμένον τῶν ἔργων ἐπαίνου καταστῆναι χωρὶς οὐδὲ λῆξαι τοῦ θαύματος, ὡς τῶν ἄθλων ἐπαύσατο, μένειν δὲ τοῖς δρῶσι [καὶ] πονοῦντα καὶ μετὰ πόνον πλαττόμενον.* 2. *οἷον γοῦν ὁ δημιουργὸς εἰς περιφανῆ χῶρον ἀνέστησεν. ἀνάκειται γὰρ Ἡρακλῆς οὐχ οἷον εἶδεν ἡ Νεμέα προκινδυνεύοντα, ἀλλ' οἷον Ἄργος ἀπέλαβεν ἐπ' ἀναιρέσει τοῦ λέοντος.* 3. *ἀνέστηκε γοῦν φέρων μὲν τῶν ἀγω-*
R IV 1067 *νισμάτων γνωρίσματα, | λήξας δὲ ὅμως τῆς ἀγώνων ἀκμῆς. πρῶτον μὲν γὰρ αὐτῷ ἡ κεφαλὴ νεύει πρὸς γῆν καὶ δοκεῖ μοι σκοπεῖν εἴ τι κτείνειεν ἕτερον. ἔπειτα δειρὴ συναπονεύει τῇ κεφαλῇ.* 4. *καὶ ἅπαν τὸ σῶμα γυμνὸν προκαλύμματος, οὐ γὰρ ἦν Ἡρακλεῖ μέλειν αἰδοῦς σκοπουμένῳ πρὸς ἀρετήν. τῶν δὲ δὴ*

---

2 *ἡρακλ^έ Ba* | *ἀγῶνος* Mor[1] 3 *Οὐκ* — 5 *ἐπαύσατο* excerpsit *Vo* | *„fort. ἄρα εἰκὸς τὸν“* Re | *Ἡρακλέους* Mor[1] 6 *καὶ*(1) om *Ba* cancellavi | *πόνον* scripsi e *BaMo* cum Mor[1] G. Iacobo Iahnii annal. phil. et paed. XIV (1830) 418 *πόνων ParBVa* Mor Re *πόνους* Petersen II 15 | *„fort. οἷον γοῦν τοῦτον“* Re 7 num *ἐν περιφανεῖ χώρῳ*? | *ἀνίστησιν Ba* 8 *οἶδεν B* | *νέα* in *νεμέα* corr *Ba*[2] | *προκινδυνεύοντα* reposui e libris *παρακινδυνεύοντα* edd 9 *Ἄργος* reposui e libris cum Mor[1] Peterseno *ἄργον* Mor sed *ἴσ. ἄγραν* in marg, Re | *ἀπέλαβεν* reposui e *BaBVaMo* *ἀπέλαυεν Mo* *ἀπεκάλεσεν* Mor[1] *ἀπέλαυνεν* Mor Re Petersen qui etiam *ἀπέλαβεν* scribi posse adnotavit | *ἐπαναιρέσει Par* 10 *κυνὸς* vel *Κερβέρου* Svoronos, Das Athener Nationalmuseum fasc. 2 p. 59 | *ἀνέστηκε* delet. *Ba* | *δρῶν* Mor[1] 12 *ὦ* ante *πρῶτον Ba* sed *πρῶ* delet. | *πρῶτος* edd | *γὰρ* om *Ba* | *αὐτῷ Ba* sed *'τῷ* delet. | *ἡ* delet. *Ba* om *BVaMo* Mor[1] 14 *δειρὴ* scripsi e *BaBVaMo* cum Mor[1] Peterseno *δεινὴ Par* *δεινῇ* Mor Re | *απονεύει τῇ κεφαλῇ* delet. *Ba* 16 *μέλειν* om *Ba* | *αἰδὼς Ba* sed *ως* parum certum | *σκοπουμένη Ba* | *δὲ δὴ* delet. *Ba*

χειρῶν ἡ μὲν δεξιὰ τέταται καὶ συγκέκαμπται κατόπιν εἰς νῶτον, παρεῖται δὲ ἡ λαιὰ καὶ τείνει πρὸς γῆν. 5. ἀνέχει δὲ αὐτὸν ὑπὸ μάλης τὸ ῥόπαλον ἐνιδρυμένον εἰς γῆν καὶ τῇ αὐτῇ ῥᾳστώνῃ χρησάμενον. καὶ τὸ ῥόπαλον ἀνέχει πανόμενον πάλιν, ὡς μαχόμενον ἔσωζεν. εὖ δέ μοι δοκεῖ ὁ δημιουργὸς διηρηκέναι τοῦ ῥοπάλου τὴν τάξιν. δεξιᾷ μὲν γὰρ χρῆται πονῶν, λαιᾷ δὲ πανόμενος ἐν ἡσυχίας καιρῷ. καὶ χεῖρα δέδωκεν ἄπρακτον. ἡ δὲ δὴ λεοντῆ τῷ ῥοπάλῳ προσίδρυται καὶ καλύπτει τόν τε λέοντα καὶ δι' οὗ διέφθαρται. 6. τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν δεξιὸς ὁρμᾷ πρὸς ὁρμήν, ὁ δὲ λαιὸς ὑποβέβηκε καὶ τῷ βάθρῳ προσήρεισται καὶ παρέχει τοῖς ὁρῶσι μαθεῖν οἷος Ἡρακλῆς καὶ πόνων πανόμενος·

---

1 *συγκέκαμπται Ba* sed *μ* inser m[2] 2 *πρὸς γῆν* delet *Ba* 3 *αὐτὴν BMo* et *γρ* in marg Mor G. Iacob l. l. *λεοντῆν* Iacobs Lect Anth. Pal. III 849 | *μάχης* libri Mor[1] corr Mor | *τὸ ῥόπαλον* — 4 *χρησάμενον* om *BVaMo* Mor[1] | *τὸ ῥόπαλον* scripsi cum Peterseno Iacobo *τὸ δὲ ὁμαλὸν BaPar* *τὸ δὲ ῥόπαλον* Iacobs 4 *καὶ* inserui e *Ba* om *Par* edd | *τῇ αὐτῇ* scripsi e *Ba* *τοῖς αὐτοῖς Par* edd *ὡσαύτως* Petersen *τοίως αὐτῷ ὡς* Iacob | *χρησάμενον* scripsi cum Peterseno *χρησάμενος BaPar* edd Iacob | *καὶ* inserui e libris om edd | *τὸ ῥόπολον ἀνέχει* delevit Petersen 5 *ἀνέχει* om *Ba* *ἔχει BVaMo* Mor[1] Iacob *ἀνέχον* Petersen | *πανόμενον* reposui e libris cum Mor[1] et Iacobsio Lect *πανόμενος* reliquae edd | *πάλιν* inserui e *Ba* om *ParBVaMo* edd | *ὃ BVaMo* Mor[1] Iacob | *σώζεται Ba* 7 *πονῶν* scripsi ut coni Mor Iacobs Lect *πόνῳ BaPar* Mor Re *ἐν πόνοις BVaMo* Mor[1] | „*malim πεπαυμένος*“ Re 8 *καὶ χεῖρα* scripsi e *Ba* *χεῖρα δὲ* (*δ'* edd) *ἄρα Par* edd sed *καιρῷ χεῖρα δέδωκεν* coni Re *χεῖρα B* 9 *δὴ* inserui e *Ba BVaMo* om *Par* edd 10 *τόν τε λέοντα*] *λεοντῇ Ba* sed *η* ex *ι* corr m[2] *τὸ τέλεον* reliqui libri sed *τὸ ῥόπαλον* suprascr *Va*[2], Mor[1] *γρ τό τε λέον* in marg Mor corr Mor *τὸ ῥόπαλον δι' οὗ ὁ λέων διέφθαρται* Petersen | *φέρεται* post *διέφθαρται BaParBMo* et *γρ* in marg Mor Mor[1] quae lectio varia videtur esse sequentis *ὁρμᾷ* 12 *προήρηται* Mor[1] 13 *ἦν* post *οἷος B* | *πόνων πανόμενος* scripsi e *Ba* *πονῶν καὶ πανόμενος* (*παιόμενος Par*) reliqui libri edd

ις'.

K IV 1086

Ἥρας.

1. Γάμων δὲ ἄρα τὸν μὲν οἶδεν ὁ νόμος, ὁ δὲ καὶ πρὸς ἡδονὴν προῆλθεν εἰς βίον. καὶ τῶν γάμων οὓς ἡδονὴ μὲν ἐπίσταται παρὰ τὴν Ἥραν ἑτέρα θεὸς ἐπεστάτησεν, ἡδονὴν δὲ ἣν οἶδεν ὁ νόμος Ἥρα παρήγαγεν. ὅθεν καὶ θαυμάζειν ἐπῆλθε τοὺς πλάσαντας οἳ τιμᾶν τὴν Ἥραν ἐθέλοντες οὐκ ἔξω γάμων τῶν κατὰ νόμον ἐπλάσαντο. καὶ τὸ σχῆμα σημαίνει τὴν χάριν. 2. ἐλθόντι γοῦν κατὰ τὸ μέσον τοῦ ἄστεος Ἥρα κατὰ μέσην ἀγορὰν συνανέστηκεν, οὐχ οἵαν ὁ Ζεὺς ἐκάλει πρὸς μίξιν οὐδ' οἵαν Ἡρακλῆς ἐκίνει πλανώμενος, ἀλλ' οἵαν καὶ αὐτὴ ἡ Ἀφροδίτη τετίμηκε πρὸς τὸν Ἡφαίστου βαδίζουσα γάμον. 3. καὶ πρῶτον μὲν κεφαλὴν ἔσκεπε τὸ προκάλυμμα, τὸ δὲ μέχρι τοῦ λοιποῦ διῆκον σώματος. τώ τε γὰρ ὤμω μετὰ τὴν κεφαλὴν καὶ τὸ στέρνον μετὰ τοὺς ὤμους συμπεριβέβληται. καί μοι δοκεῖ παστά-

13 cf. p. 551, 5

2 *γάμον ἥρας Par* 3 *Γάμων* — 4 *βίον* excerpsit *Vo* | *γάμον Ba γάμου Par* | *δὲ* om *Ba* | *τὸν* scripsi e *Ba τὸ ParB VaMo* edd | *εἶδεν Mo* | *ὁ δὲ καὶ* scripsi e *Ba τὸ δὲ ParBVa Mo* edd 4 *τῶν* om *Par* | *μὲν* ante *γάμων Ba* 5 *περὶ Ba* | *θεὸς* scripsi e *BaParB θεὰ VaMo* edd 6 *ἡδονὴ Par* | *εἶδεν B* 7 *καὶ* inserui e *Ba* om *ParBVaMo* edd | *οἳ*] num *ὅτι* ut p. 513, 15? 9 *νόμων Va* | *ἐπλάσαντο Ba* sed *ασαν* delet 10 *ἐλθοῦσα δὲ Ba* 11 *συνανέστηκεν* scripsi e *Ba* sed *νέ* delet., *ParBMo συνέστηκεν Va* edd | *ὁ* om *Mo* 12 *οὐδὲ Par BVaMo* edd | *εἰς πορείαν* ante *ἐκίνει Par* 13 *αὐτὴ ἡ* sripsi e *Ba αὐτῇ ParBVaMo αὕτη* edd 14 *βαδίζουσα* scripsi *παιδεύουσα BaParB παιδεύουσαν VaMo* edd | *πρῶτα Ba* | *κεφαλή· Ba κεφαλὴ Par* | *ἔσκεπε τὸ* om *BaPar* | *τὸ* scripsi *τι B VaMo* edd 15 *προκαλύμματα Ba προκαλύμματι Par* | *τὸ* om *Ba*, *τὸ δὲ Par* | *διήκουσι Ba διήκοντος Par* | *τοῦ σώματος* coni Schwabe propter clausulam at cf. p. 507, 1; 523, 14 et 18; 527, 14; 528, 10; 529, 3 16 *μετὰ* om *Par* 17 *τοὺς ὤμους* scripsi e *BaParBMo τοῦ ὤμου Va* edd | *παστάδος* scripsi e *Par* cum Peterseno II 9 *παστάδα BaBVaMo* edd

δος εἶναι τὸ πρόσχημα καὶ συζυγίαν ὁ πλάσας δηλοῦν τὴν θεόν, ὡς αἱ ἐξευγμέναι τοιάδε συγκρύπτονται. 4. *οὐ μὴν ὅτι τὰ τῆς κεφαλῆς αὐτῇ προκεκάλυπται, τὸν κόσμον ἀπέκρυψεν, ἀλλ' ἔνδον μὲν ὁ κόσμος τοῦ προκαλύμματος σημαίνει τὸ κάλλος, ἐπίκειται δὲ τῷ κόσμῳ καὶ τὸ προκάλυμμα καὶ ὅλον σημαίνει τὸν κόσμον οἷς προκεκάλυπται.* 5. *καὶ κρωβύλον ὥσπερ τινὰ κατὰ μέσην ἀνέχει τὴν κεφαλήν. εἶτα | πλόκαμος μέχρι* R IV 1087 *τῶν ὤμων καθεῖται καὶ παρῃώρηται πρὸς τὸ στέρνον. τὸ δὲ πρόσωπον εἰς χάριν ἀνεῖται. ὀφθαλμοὶ γάρ πως ἐρωτικῶς ἀποβλέπουσιν, αἱ δ' αὖ παρειαὶ σμικρὸν ὑπολάμπουσι. στόμα δέ οἱ συγκέκλειστα καὶ τὴν ἐξ αἰδοῦς ὑποφαίνει σιγήν.* 6. *ἡ δ' αὖ δειρὴ κατ' εὐθὺ νεύειν οὐκ οἶδεν, ἀλλὰ βραχύ τι πρὸς ἐγκάρσιον κέκλιται ὥσπερ ἐξ αἰδοῦς ἐπὶ θάτερα νεύσασα. τὸ δέ οἱ στέρνον δι' ἀμφοῖν κέκρυπται· προκαλύπτει μὲν γὰρ πρῶτον χιτών, εἶτα ἐπανέχει θοιμάτιον. οὐ μὴν ὡς ἔχει τὸ στέρνον συνέκρυψεν. ὅ τε γὰρ ζωστὴρ ἔνδον ὑποσφίγγει τὸ στέρνον οἵ τ' αὖ μαζοὶ βραχύ τι*

---

1 *δεικνύναι* Iacobs Lect App Pors 333 | *συζυγίαν Ba* sed *συ* inser m² cf. p. 551, 9 et ad p. 400, 7; t. VII 356, 13 | *δηλοῦν* scripsi *δηλοῖ Ba* *δηλῶν Par* *ζηλοῦν B Va Mo* sed in hoc ante *ὁ πλάσας*, edd 2 *αἱ* om *Ba Par* | *ἐξευγμένα Ba* | *τοιάδε* scripsi e *Ba* *τοιαίδε Par B Va Mo* sed in hoc in marg m², edd *τοιαίδε* — 3 *κεφαλῆς* in marg *Mo*² | *συγκρύπτουσαν Ba* 7 *ὃς Ba* | *καὶ* om *Ba Par* | *κρόβυλον Ba Mo* in quo *δεσμὸν* suprascr m² *κρώβυλλον B* *κρώβυλον Par* in quo *δεσμὸν* suprascr, *Va* edd | *καταμέσον Par* 8 *ἔχει Mo* 9 *καθεῖτο Ba Par* | *που Ba* | *τῷ στέρνῳ Ba Par* 11 *μικρὸν Par B Va Mo* edd | *ὑπόλαμπροι Par* 13 *ἀποφαίνει Par B Va Mo* edd | *κατευθὺ νεύειν Par Mo* *κατευθυνεύειν Va* *κατευθύνειν B* 15 *θατέραν B Par* cf. t. I 507, 4 | *νεύσασα* scripsi *νευθεῖσα Par B Va Mo* edd om *Ba* 16 *οἱ* om *Ba* 17 *πρῶτον* om *Par* | *θοιμάτιον ὑπάρχει Par* 18 *ὡς ἔχει* om *Ba* | *τὸ* om *Par B Va Mo* edd | *συνέκρυψεν* scripsi e *Ba Par B Mo* *ἔκρυψεν Va* edd 19 *τὸ* om *Mo*

τοῦ προκαλύμματος φαίνουσιν. 7. *εἶχον δ' ἂν διελθεῖν καὶ ὅπως εἶχε γαστὴρ καὶ ὅπως ταύτην σωφροσύνη διαδέχεται σώματος, εἰ μὴ σωφροσύνης ἀλλότριον ⟨ἦν⟩ τὰ μετὰ τὸ στέρνον διελθεῖν γυναικός.* 8. *ταῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν εἰς ἅπαν ἐκτέταται, ἡ δὲ δὴ λαιὰ συγκέκαμπται παρ' αὐτὴν τὴν πλευρὰν καὶ τῆς ἰξύος ἐφάπτεται.* 9. *τοῖν δὲ δὴ ποδοῖν προέχει μὲν ὁ δεξιὸς τοῦ λοιποῦ καὶ τῇ ἀρβύλῃ συγκέκρυπται, τὸν δὲ δὴ λοιπὸν διήκων μέχρι τῆς γῆς ὁ χιτὼν συνεκρύψατο ὥσπερ τοῦ δημιουργοῦ μεμαθηκότος ⟨ἐκ⟩ τῆς Ὁμήρου ποιήσεως ὡς ἑλκεσίπεπλον τῶν γυναικῶν ὑπάρχει τὸ πρόσχημα.*

ιζ'.

R IV 1093 *Τρῳάδος ἀπεστραμμένης.*

1. *Παθήματα Τροίας εἶδε μὲν ἐπὶ τῆς ἀντιπέραν ἠπείρου πεπραγμένα πρὸς τὴν μάχην ὁ χρόνος, ἐμιμή-*

3 cf. p. 512, 12 4 sq. cf. p. 522, 6 sq. 10 Il. ζ 442; η 297; χ 105 12 cf. p. 512, 21; 514, 16
15 cf. p. 508, 4 sq. 516, 6; 524, 3

1 *δ' ἂν* scripsi *δὲ ParBVaMo* edd om *Ba* 2 *καὶ*(1) om *Ba* | *ὅπως*(1) *Ba* sed *ὅ* delet. | *ταύτῃ* Petersen 3 *ἦν* scripsi *τὸ Ba* om *ParBVaMo* edd 4 *τὰ — γυναικός* scripsi *τὸ τὰ μετὰ στέρνον διελθεῖν γυναικός Ba* sed *μετὰ στ* et *ον* delet., *Par* sed *τὰ* delet. *διελθεῖν γυναικὸς τὰ μετὰ τὸ στέρνον BVaMo* edd | *δὴ* om *BaVa* Mor 5 *εἰσάπαν Par* *ἐς ἅπαν BVaMo* edd | *δὴ* om *BaB* Mor 6 *συγκέκαπται μὲν Ba* sed *π* delet. | *αὐτὰ Par* | *ἰξύος* scripsi cum Iacobsio Steph. Thes. s. v. et Langio Mus. Rhen. XXXV 130 *ἰγνύης* libri Mor[1] *ἰγνύος* edd sed *γρ ἰγνύης* in marg Mor cf. Lobeck Phryn. 302 *τοῦ ἰσχίου „vel fortasse rectius τῆς ἴσχιος“* Petersen | *γυναικείας* post *ἰγνύης Ba Par* 8 *τῇ — 9 συνεκρύψατο*] *ὁ λοιπὸς διήκων μέχρι τῆς γῆς χιτῶνι συγκέκρυπται Ba* | *τῇ* om *Par* | *βλάβῃ Par* | *δὴ* om *Va* Mor 10 *καὶ* ante *τοῦ Va* Mor | *ἐκ* inserui om libri edd | *τοῦ* ante *Ὁμήρου ParBVaMo* edd delevi 11 *ποιήσεως Ba* sed *ποιη* delet. | *ὑπάρχει τῶν γυναικῶν Ba* 12 *φρόνημα Par* 14 *τρωίδος BVaMo* 15 *Παθήματα* — 505, 2 *λόγος* excerpsit *Vo* | *οἶδε BaB* *οἱ δὲ Vo* | *ἀντιπέρας Ba* 16 *ἠπείρου* delet. *Ba* | *πεπραγμένα* om *Mo* | *τὴν* om *Vo*

σατο δὲ μετὰ ταῦτα σκηνή, καὶ τρίτον ὁ χαλκὸς ἀπεικάζει τὴν τύχην. ἐπὶ δὲ τῷ χαλκῷ προέρχεται λόγος καὶ γενόμενον ἐν Τροίᾳ σημαίνων τὸ πάθος καὶ παρὰ τῆς σκηνῆς τραγῳδούμενον καὶ ἐπὶ τῆς εἰκόνος τυπούμενον. ὡς δ' ἔχει τὸ πάθος, ἐν ὑμῖν διηγήσομαι.

2. *Ἐν περιφανεῖ χώρῳ τοῦ ἄστεος ἀνάκειταί τις γυνὴ Τρωικὴ πάσας ἐν αὑτῇ τὰς τῆς Τροίας σημαίνουσα τύχας, ὥστε, εἰ μὴ φράσας Ὅμηρος ἔτυχεν, ὁ χαλκὸς κατεμήνυεν ἄν. πρῶτον μὲν γὰρ ἐπὶ τῆς καθέδρας κάθηται γυνὴ κειμένην σημαίνουσα πόλιν οἷς ἑστάναι μὴ βούλεται. οὐ γὰρ ἦν ἑστάναι τὴν ἄνθρωπον ἐν κειμένῃ τῇ γῇ.* 3. *τῆς δὲ αὖ γυναικὸς γυμνὴ*

---

1 cf. p. 524, 6 sq. 11 cf. p. 507, 14 sq.

---

1 *ταύτην BaBVaMoVo* | *σκηνή* scripsi e *BaBVaMoVo* coll p. 524, 7 *ἐκείνη Par* edd *ἡ σκηνή* Iacobs Lect App Pors 301 Anth. Pal. III 61 | *τρίτος Vo* 2 *τὴν τύχ* delet. *Ba* | *προέρχεται* reposui e *BaParBVaMo* *προσέρχεται Vo* *προύρχεται* Mor *προὔχεται* Re 3 *γενόμενον* scripsi e *BVaMo* et *γρ* in marg Mor *γενόμενος BaPar* | *σημαίν' Ba* *σημαῖνον Par* 4 *περὶ Ba* | *τῆς σκηνῆς* scripsi *τὴν σκηνὴν* libri edd | *τραγῳδούμενον Ba* sed *δούμ* delet. 5 *τυπούμενον* scripsi e *BVa* sed in hoc *εἰκονιζόμενον* suprascr m², *Mo* *μιμούμενον Ba* sed *νον* delet., *Par* edd | *ὡς Ba* sed *ως* delet. | *ἡμῖν Ba* edd 6 *χώρῳ* scripsi *χωρίῳ* libri edd | *τοῦ ἄ* delet. *Ba* | *νακει* delet. *Ba* 7 *αὐτῇ BaParMo* *ἑαυτῇ BVa* | *τῆς* om *Ba* | *σημαίνουσα τύχας* in marg *Mo* | *σημαίν' Ba* 8 *Ὅμηρος ἔτυχεν* scripsi e *Ba* sed *ἔτυχεν* delet., *BVaMo* *ἔτυχεν Ὅμηρος Par* edd 9 *κατεμήνυεν ἄν* scripsi *κατεμήνυεν BaPar* edd *ἐμήνυσεν ἄν BVaMo* *κατεμήνυσεν ἄν* Iacobs Philostr. im. 617 10 *κάθηται* scripsi e *BVa* cum Iacobsio Philostr. Anth. Pal. III 562 *κάθειται Mo* *καθῆστο BaPar* edd | *κειμένην* scripsi e *BaBVaMo* cum Iacobsio ll. ll. *κειμένη Par* edd | *πόλιν Ba* sed *πό* delet. | *ἐφ'* ante *οἷς* inser *Va²* et in marg *Mo* edd delevi coll p. 506, 13 | *οἷς B* sed *οἱ* m² *ἧς Va* sed *οἷς* suprascr m³ et defendit Iacobs Philostr. *οἱ Mo* sed in marg 11 *ἑστάναι Ba* sed *ἑ* delet. | *ἑστάναι Ba* sed *ἑστά* delet. 12 *ἐν κειμένῃ* scripsi e *BVa* cum Iacobsio Philostr. *ἐγκειμένη Mo* *ἐγκειμένην Ba Par* edd | *πόλει?*

μὲν ἡ κεφαλὴ τοῦ προκαλύμματος, ἀναιρεῖ γὰρ αἰδῶ κειμένη πατρίς, ἔπειτα μίτρα συνέχει τὴν κόμην ὥσπερ ὑπερυθριώσης τῆς γυναικός, εἰ καθάπαξ τῆς αἰδοῦς ἀμελήσειεν. ἔπειτα δὲ τὸ πρόσωπον ἐγκάρσιόν τέ ἐστι καὶ εἰς ἕτερα νένευκεν ὥσπερ κειμένην τὴν πατρίδα R IV 1094 *μαθεῖν μὴ ἀνεχόμενον. | ὧν γὰρ ὑπέστη τὴν τύχην, οὐ φέρει τὴν θέαν. ἡ δ' αὖ δειρὴ τῷ προσώπῳ συναπονένευκε.* 4. *ταῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν ἐς ὀρθοὺς δακτύλους συγκέκαμπται καὶ ἀνέχει τὸ πρόσωπον. . . . . τὸ δὲ δὴ στέρνον οὔτε ἅπαν ἐσθῆτι συγκέκρυπται οὔτε εἰς ἅπαν γυμνοῦται τοῦ προκαλύμματος, ἀλλ' ἡμιρραγὴς μὲν προῆλθε χιτών, ἐπ' ἀμφότερα δὲ σημαίνει τὸ πέρας. οἷς μὲν γὰρ ἔρρηκται σημαίνει τὴν τύχην, οἷς δ' οὐκ εἰς ἅπαν διέρρηκται τὴν αἰδῶ τῆς ἀνθρώπου συνέκρυψε.* 5. *τοῖν δὲ δὴ μαζοῖν ὁ μὲν δεξιὸς ἀνεῖται γυμνὸς οὐκ ἐώσης τῆς τύχης εἰς ἅπαν τὴν αἰδῶ διασώσασθαι. καί μοι δοκεῖ μηδὲ αἰσθάνεσθαι*

4 sq. cf. p. 521, 18   12 cf. p. 510, 12   16 cf. p. 510, 2

1 *τοῦ* om *Mo* | *ἀναιρεῖ γὰρ αἰ* et *κειμένη* delet. *Ba*   2 *ἔπει-*
αἰσχυνομένης
τα] *καὶ BVaMo* | *μέτρα Ba*   3 *ὑπερερυθριώσης Par* | *εἰ καθάπαξ* delet. *Ba* | *εἰ* inser *Va*^{3} 4 *δὲ* et *τέ* om *BaPar* Mor   5 *ἐς BMo* | *νένευκε Par* Mor | *τὴν πατρίδα μαθεῖν* scripsi e *BVaMo* *τὴν πατρίδα παθεῖν Ba* *μαθεῖν τὴν πατρίδα Par* edd   6 *μὴ ἀνεχόμενον* om *Ba* | *ἀνεχόμενον* scripsi e *ParBVaMo* *ἀνεχομένην* edd *ἀνεχομένης* Iacobs Lect Anth. Pal. III 562 | *ὧν* — 7 *θέαν* excerpsit *Vo* | *γὰρ* om *Mo*   7 *δειρὰ Ba*   8 *δὴ* om *Ba* | *χεροῖν Ba* sed *ερoῖ* delet. | *ἡ δεξιὰ μὲν* scripsi e *BaBVaMo* *ἡ μὲν δεξιὰ Par* edd | *εἰσ Mo*   9 *καὶ ἂν* delet. *Ba*   10 lacunam qua descriptio manus sinistrae continebatur indicavi | *δὴ* om *Ba* | *οὔτε* inserui e *BaBVaMo* om *Par* Mor | *ἅπαν* — 11 *οὔτε* in marg *Mo*^{2} 12 *ἡμιρραγὴς Va* sed *ὴς* corr m^3 | et 13 $\text{σημ}^{\text{αί}}\text{ν}$ *Ba*   13 *ἐφ'* ante *οἷς* inser *Va*^{3} cf. p. 505, 10 | *ἔρρηκται Ba* sed *η* ex *ι* corr m^2 | *σημαίνει* — 14 *διέρρηκται* om Mor   14 *δὲ BVaMo* | *διέρρηκται* scripsi coll p. 510, 10 *διήρηται* libri edd   17 *διασώζεσθαι Bu* | *μὴ δὲ ParBMo*

διὰ τῆς συμφορᾶς ἡ γυνὴ γυμνουμένου τοῦ μαζοῦ. τὸν δ' αὖ λοιπὸν ὁ δημιουργὸς συνεκρύψατο, συγκρύψας δὲ καὶ καλυψάμενος ὡς μὴ φαίνεσθαι κατέλιπε φαίνεσθαι καὶ παρέχεσθαι ἐξ ὄγκου μαθεῖν ὅπως ἡ γυνὴ περὶ ταῦτα διάκειται. ζωστὴρ δὲ τοὺς μαζοὺς διαδέχεται καὶ ῥαγεῖσαν ἐσθῆτα πέρα προελθεῖν οὐκ ἐᾷ. 6. *γαστὴρ δ' αὖ ὑπάρχει τῆς γυναικὸς βραχύ τι προϊοῦσα πρὸς ὄγκον ὅσον ἡ πλοκὴ τῶν μηρῶν ἐβιάσατο. τῶν δ' αὖ μηρῶν ὁ μὲν εὐώνυμος ὑποβέβηκε καὶ ἣν εἴληφε τάξιν ἐκ φύσεως καὶ πλαττόμενος ἔσωσεν. ὑποβαίνει γοῦν κἀν τούτῳ καὶ ἀνέχει τὸν δεξιόν. ὁ δ' αὖ δεξιὸς τῷ λαιῷ περιτίθεται, ἔξω δὲ ἐξανέχει τοῦ βάθρου μετεωρισάσης τὸν πόδα τῆς συμφορᾶς. οὐ γὰρ ἦν ἀμφοῖν ἐπιβαίνειν ποδοῖν τὴν ἐπιβῆναι πατρίδος οὐκ ἔχουσαν. ὁ δ' αὖ λαιὸς ἅπας συγκεκάλυπται καὶ δακτύλοις ἄκροις ὑπερείδει τὸ βάθρον.*

7. *Ταῦτα τοὺς θεωμένους οὐκ ἀλλότριοι τῆς συμφορᾶς. οὐ γάρ ἐστιν ἀδακρυτὶ θεωρῆσαι τὴν ἄνθρωπον.*

---

14 cf. p. 505, 11

---

1 *τὰς συμφορὰς τὴν γυνὴν Ba* 2 *τὸν* scripsi e *BaBVa* sed in hoc *ον* ex *ι* corr m², *Mo* cum Iacobsio App. Pors. 334 *τὸ Par* edd 3 *δὲ* om *BVaMo* | *καὶ — φαίνεσθαι* om *Ba* | *κατέλιπε* — 5 *διάκειται* inserui e *Ba* om *ParBVaMo* edd 5 *γυνὴ Ba* sed *γυ* parum certum 6 *πέρα* inserui e *BaBMo* *πέραν Va* om *Par* edd | *προελθεῖν* reposui e libris *προὐλθεῖν* edd 7 *τι* om *BVaMo* 8 *προελθοῦσα BVaMo* 9 *μὲν* om *BVaMo* | *τὸν δεξιὸν δὴ* ante *ὑποβέβηκε Mo* Re delevi 10 *καθ' BVaMo* | *ἔσωσεν* scripsi e *Ba* cum Iacobsio Lect *ἔσωθεν ParBVaMo* edd 11 *ὑποβαίνει* libri sed *ινει* delet. *Ba* *ὑποβαίνῃ* edd | *κἂν* edd | *ἀνέχει τὸν δεξιόν* scripsi e *BaBVaMo* *ἀντέχει τῶν δεξιῶν Par* edd 12 *ἐξανέχει* reposui e libris *ἐξανεῖχε* edd 14 *ἐν* ante *ἀμφοῖν BaBVaMo*, *τοῖν Par* edd delevi | *ποδοῖν Va* sed *οῖν* in ras m² 16 *ὑπερείδει* scripsi e *BVaMo* cum Iacobsio Lect App. Pors. 334 *ἐπερείδει Ba* *ὑπερεῖδε Par* *ὑπορεῖ δὲ* edd cf. p. 533, 3 | *τὸ Va* sed *ὁ* in ras m²

ιη'.

R IV 1088 *Πολυξένης σφαττομένης ὑπὸ τοῦ Νεοπτολέμου.*

1. Τὸ δὲ Πολυξένης πάθος τεθέαται μὲν γεγενημένον ἡ Τροία, παρέσχε δὲ ἡ σκηνὴ μετὰ τὴν Τροίαν ἰδεῖν, καὶ λαθεῖν ἐπὶ τούτοις οὐκ ἐῶσιν οἱ πλάττοντες χαλκῷ τὸ πραχθὲν ἀπεικάζοντες.

2. Ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος ἀνάκειταί τις Πολυξένης εἰκὼν παρ' αὐτὸν οὖσα τὸν Νεοπτόλεμον. ὁ μὲν γὰρ ἕστηκε παρὰ ταύτην γυμνὸς κράνος μόνον λαβὼν περικείμενον καὶ κράνος οὐχ ὅλον, ἀλλ' οἷον ἄκραις ἐπιψαῦσαι ταῖς κόμαις ὥσπερ οὐκ ἀνεχομένου τοῦ ταῦτα δημιουργήσαντος Νεοπτολέμῳ περιθεῖναι σκευὴν ἐπειγομένῳ πρὸς γυναίου σφαγήν. *3. εἶτα τὸ πρόσωπον ἐγκάρσιόν τε ἅπαν ἐστὶ καὶ πρὸς αὐτὴν ἀπονένευκε θυμοῦ μετέχον, ὡς διαχρώμενος ἔτυχεν. ἡ δέ οἱ δειρὴ τῷ παντὶ συναποκλίνει προσώπῳ. ταῖν δὲ δὴ χεροῖν ἡ μὲν δεξιὰ τῆς κόρης ἐπείληπται*

---

4 sq. cf. ad p. 504, 15 sq. 15 cf. p. 506, 4 sq.

---

2 *σφαττομένης ὑπὸ τοῦ*] *καὶ BaPar* 5 *τὴν* om *BaPar*
6 *δ'* post *λαθεῖν* edd delevi | *ἐῶσι* inser *Par*[2] | *τοὺς ἀνδριάντας* ante *οἱ Par* 7 *ἀπεικάζοντες Ba* sed *ἀπ* delet.
8 *τοίνυν* inser *Va*[2] | *χώρῳ* scripsi e *BaB* *χωρίῳ VaMo* edd *τόπῳ Par* | *τοῦ* reposui e libris cum Walzio *ἦν* Mor Re
9 *τις* scripsi e *BaPar* *τισιν ἡ BVaMo* Mor Re *ἡ* Walz | *πλησίον* *παρ' Par* | *οὖσα* praeter *'* delet. *Ba* 12 *ἄνεμος* post *οἷον* edd delevi *ἂν* Iacobs Lect Anth. Pal. III 28 | *ἐπιψαῦσαι* reposui e libris *ἐπιψαύσαιτο* edd *ἐπιψαύσαι* Iacobs 14 *περιβαλεῖν* *θεῖναι Par* | *ἐπειγομένου BaPar* 16 *ἀπονένευκε· θυμὸν μὲν ἔχων Ba* | *μετέχων B Va* | *διαχρώματος Ba* 17 *ἔτυχε Par* | *οἱ* om *BaPar* 18 *τοῖν* Mor | *δὴ* om *Ba* | *ὑπείληπται Par*

καὶ κόμης τὴν ἄκραν ἄνω που πρὸς αὐτὴν ἀνατείνουσα, ἡ δὲ δὴ λαιὰ πρὸς ξίφος ὥπλισται καὶ τὸ πᾶν ἔργον ὑπισχνεῖται ποιήσειν ὥσπερ ἀγανακτοῦντος τἀνδρὸς εἰ πρὸς γυναῖκα δεήσει τῆς δεξιᾶς καὶ κόρην χειρὶ διαφθερεῖ ἐν ᾗ πρὸς ἄνδρας ἠρίστευσεν. 4. *εἶτα τὸ στέρνον ἅπαν ἐξώγκωται καὶ πρὸς τὸν ἔνδον θυμὸν ἐξοιδεῖ. τοῖν δὲ δὴ μηροῖν ὁ μὲν δεξιὸς προσερείδει τῇ κόρῃ καὶ δοκεῖ πιέζειν, ὡς μὴ καθάπαξ κινοῖτο, ὁ δ' αὖ λαιὸς ὑποτέταται καὶ πρὸς αὐτὸ τὸ βάθρον ἐξ ἄκρας ἀνέστηκε τοσοῦτον ἀνέχων ὅσον ἡ χρεία τῆς σφαγῆς ἐβιάζετο.*

5. *Παρ' αὐτὸν δὲ ἡ παῖς οὔτε πρὸς ἅπαν ἀνέστηκεν | οὔτε ἐπὶ τοῦ βάθρου πᾶσα κάθηται, ἀλλὰ* R IV 1089
πρὸς τὴν τοῦ θανάτου συνεσχημάτισται χρείαν. τὸ μὲν γὰρ πρόσωπον ἅπαν συντέτηκται καὶ δειρὴν ἀνέχει πρὸς ἀναίρεσιν ἕτοιμον. ταῖν δὲ δὴ χεροῖν τῇ δεξιᾷ μὲν ἐπιψαύει τοῦ βάθρου, τὴν δὲ εὐώνυμον πρὸς

---

6 sq. cf. p. 497, 8 sq.

---

1 *αὐτὴν* libri edd | *ἀντιτείνουσα Ba* 2 *δὴ* om *Ba* 3 *ποιήσειν* scripsi e *Ba* sed *ειν* ex *η* corr m[2], *ParBMo ποιῆσαι Va* edd 4 *δεήσει* reposui e libris cum Iacobsio Lect *δεήσῃ* edd | *τῆς* inserui e *BaPar* om *BVaMo* edd 5 *διαφθείρειεν· Ba διαφθείρειν Par* | *ἐν ᾗ*] *ἣ Ba* 6 *ἔνδον*] *ὅλον Mo* 7 *ἐξαιδοῖ Par* 8 *ὡς μὴ* inc. *Pa* fol 150 9 *δὲ* Walz | *ὑποτέταται* scripsi *ὑποτέτακται* libri edd | *βάραθρον Par* 10 *ἀνέστηκεν Pa* 13 *βάθρου* delet. *Ba* | *κάθηται* scripsi *καθῆσται BaPaBVa* sed in hoc *στ* e *τ* corr et *κάθηται* suprascr m[2], *Mo* Walz *καθῆστο Par καθεῖσται* Mor Re 14 *συνεσχημάτισται* scripsi e *BaPa* sed in hoc *αι* supra *ο*, cum Walzio *ἐσχημάτισται* reliqui libri edd 15 *ὡς* post *ἅπαν Pa* Walz | *συντέτηκται* scripsi e *BVaMo* delet. *Ba συντέτακται PaPar* edd 16 *ἔχει* Walz | *ταῖν Ba* sed *α* ex *ο* corr m[2] | *δὴ* om *Ba Pa* Walz | *τῇ δεξιᾷ* scripsi e *BaPaPar* cum Walzio *ἡ BVa Mo* Mor Re 17 *δὲ εὐώνυμον* delet. *Ba* | *κόμην* ante *εὐώνυμον* Mor[1] | *γρ κόμην* ante *πρὸς* in marg Mor, *κόμη* Mor Re, *ἡ κόρη* Iacobs Lect

τὴν τοῦ πέπλου συνέστειλε χρείαν. 6. τοῦ δ' αὖ στέρνου προανέχει μὲν ὁ δεξιὸς τῶν μαζῶν καὶ γυμνὸς ἀνεῖται τοῖς βουλομένοις ἰδεῖν ὥσπερ ἐνδείξασθαι προῃρημένου τοῦ πλάσαντος ὧν ἀλοὺς Ἀχιλλεὺς διαφθείρεται, ὁ δὲ δὴ λαιὸς τῶν μαζῶν ὑπὸ πέπλῳ συγκέκρυπται. 7. εὖ δέ μοι καὶ τόδε τοῦ δημιουργήσαντος ἔδοξεν, αἰδοῖ καὶ πόθῳ τοὺς μαζοὺς διελεῖν καὶ τὸν μὲν συγκρύψαι τῇ κόρῃ πρὸς τὴν αἰδῶ, τὸν δὲ καταλιπεῖν πρὸς ἔλεγχον ἔρωτος καὶ μήτε τὸν χιτῶνα διαρρῆξαι πρὸς ἅπαν μήτε τοῦ χιτῶνος χωρὶς καταλεῖψαι τὴν κόρην. τὸ μὲν γὰρ στέρνον ὁ χιτὼν περιρρεῖ καὶ διαχεῖται πρὸς τὸ μέσον ἡμιρραγής, τὰ δὲ μετὰ μαζοὺς συνέχει ζωστὴρ οὐκ ἐῶν τὸν πέπλον ὑπορρεῦσαι παντάπασι καὶ παρασχεῖν ἀνδρῶν ὀφθαλμοῖς ἃ μηδὲ γυναικῶν θέμις ἰδεῖν. 8. τοὺς δὲ δὴ μη-

2 cf. p. 506, 15 sq. 4 Herm. XVII 199 sq. 12 cf. p. 506, 12 15 Od. ξ 130; Il. ι 134; τ 177

1 τοῦ om *Par* 3 οἷς βουλο delet. *Ba* 4 ὧν ἀλοὺς Ἀχιλλεὺς reposui e libris cum Walzio ὡς ἄλλους ὁ Mor Re sed κάλλους coni Mor ὡς κάλλει (ὥρᾳ Anth) ἀλοὺς ὁ Iacobs Lect Anth. Pal. III 28 | διεφθάρθη Iacobs Anth. 5 δὴ λαιὸς delet. *Ba* | δὴ om *Pa* Walz | πλέον *BaPa* πέπλον Walz 6 δημιουργήσαντος reposui e libris cum Walzio δημιουργοῦ Mor Re 7 num ἔδοξεν ⟨ἔχειν⟩? at cf. p. 513, 13 | θῳ τοὺς delet. *Ba* | διελθεῖν *BaPa* 8 τὸ *B* 9 μήτε delet. *Ba* | τοῦ Mor Re 10 προσάπαν *Mo* | τοῦ om *Pa* Walz 11 αλεῖψαι delet. *Ba* | τὴν κόρην scripsi e *BaPaPar* cum Walzio et Boissonadio Tzetz. alleg. 5 τῇ κόρῃ *BVaMo* Mor Re 12 ἡμιρραγής reposui e libris cum Piersono Verisim. 85 ἡμιραγής Walz αἱμορραγής Mor Re 13 τὸν ante μαζὸν Mor Re | μαζοὺς scripsi μαζὸν libri sed ὸν ex ῶν corr *Va*², edd | τὸν πέπλον scripsi cum Iacobsio Lect Anth. Pal. III 28 τὸ πέπλον *Par* τὸ πλέον reliqui libri edd 14 ὑπορεῦσαι *Va* Mor Re ὑπορρᾶσαι *Mo* 15 μὴ δὲ *ParBMo* | γυναῖκα Pierson l. l. at cf. ll. ll. | θέας Mor sed ἴσ. ἐστὶν in marg corr Pierson | τοὺς et μηροὺς scripsi e *BaPa* cum Walzio τοῖν et μηροῖν *ParBVaMo* Mor Re

ρους συλλαβοῦσα μὲν ἑκατέρους ἔχει καὶ συμπλέκει τοσοῦτον ὅσον ἡ βία τοῦ πιέζοντος εἴασε. τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν δεξιὸς ἅπας συγκέκρυπται, ὁ δὲ λαιὸς βραχύ τι τοῦ πέπλου προφαίνεται. βάθρον δὲ ἄμφω ἀνακειμένους ἔχει περιφανὲς πάθημα δεινὸν λαθεῖν καθάπαξ οὐκ ἐώσης τῆς τέχνης.

ιθ΄.

Προμηθέως. R IV 1116

1. Οὐκ ἦν ἄρα τὸν φθόνον οὐδὲ τῆς θεῶν ἔξω καθίστασθαι φύσεως οὐδὲ τὰς χάριτας θεῶν γε χωρὶς εἰς ἀνθρώπους ἐλθεῖν. καί μοι δοκεῖ τις δημιουργὸς εἰς εὐσέβειαν τοὺς ἀνθρώπους παιδοτριβῶν Προμηθέα πλάσαι τῷ χαλκῷ κολαζόμενον.

2. Ἀνάκειται γοῦν τις εἰκασθεὶς Προμηθεύς, οὐχ οἷον ἄνθρωποι κολαζόμενον ἴσασιν, ἀλλ' οἷον θεοὶ κεκλοφότα κολάζουσι. πῦρ γοῦν οὐ παράκειται Προμηθεῖ, ἀλλὰ τὴν χάριν ἡ τέχνη συνέκρυψεν. 3. ἀετὸς δὲ Προμηθεῖ συνέστηκεν οὐδὲ πεπλασμένον ἔξω τιμωρίας ἐῶν. ὡς γὰρ ἀνθρώπους ἐπιστρέφων εἰς τιμὴν τῶν θεῶν οὕτω τὴν δίκην σαφεστέραν ἀνέπλασε. καί

5 cf. p. 499, 15
8 Ach. T. III 8. Iulian. Anth. Plan. IV 87. cf. Milchhoefer, Befreiung des Prometheus p. 8 et 41 9 Plat. Phaedr. p. 247 A

2 εἴασε scripsi ἔταξε libri edd | δὴ om *Pa* Walz 3 ὁ(2) — 4 προφαίνεται om *BaPaPar* Walz 4 βάραθρον *BaPa* | δὲ inserui e *BaPa* cum Walzio om *ParBVaMo* Mor Re 5 ἀνακειμένους om *Mo* ἀνακειμένοις Mor Re | παραφανὲς *Ba Pa* περιφανές. πάθημα Mor Re 6 τύχης *Par*
8 προμηθέως ἔκφρασις *BaPa* 9 Οὐκ — 10 φύσεως excerpsit *Vo* | φθόνον *Va* sed ον in ras 5 litt | τῶν ante θεῶν inser *Mo* 10 γε om *BaPa* 11 εἰς inser *Va* 14 τίς *Pa* | εἰκαστὴς *Ba* sed στὴς corr m[2], *Pa* 16 ου πα delet. *Ba* 17 ἀλλὰ — συνέκρυψεν in marg *Mo*[2] 20 οὔπω Re | ἀνέπλασεν All Re

μοι καιρὸς διελθεῖν ἃ καθ' ἕκαστον ὁ πλάσας συνέθηκε.

4. *Κολάζεται γοῦν Προμηθεύς. καὶ τὴν κόμην ὁ πλάσας οὐκ εἰς κάλλος συνέθηκεν, ἀλλ' εἰς ἐπίδειξιν κολάσεως μείζονος. οὐ γὰρ ἀνεῖται πρὸς κόσμον ἡ κόμη οὐδὲ σύγκειται τοῖς θεωμένοις* R IV 1117 | *εἰς ὥραν, ἀλλὰ τὸ μὲν αὐτῆς συνέστηκε, τὸ δὲ ἐγκάρσιον φέρεται. καί μοι τῶν κολαζομένων ὑποσημαίνει τὸν τρόπον, ὡς αὐχμῶσί τε καὶ κεκονιμένοι πεφύκασι καὶ κόσμου τινὸς ἢ κόμης οὐκ ἐπιμέλονται, ἀλλ' ἡ μὲν φύσις τὴν κόμην, τὴν δὲ ἀκοσμίαν ἡ τιμωρία πεποίηκεν.* 5. *ἔπειτα τὴν κόμην διαδέχεται πρόσωπον ὀδυνώμενόν τε παντάπασι καὶ τῆς ἀνίας οὐ καθάπαξ ἀλλότριον. ἀλλ' ἐπῆρται μὲν μετὰ κόμην τὸ μέτωπον καὶ ἀνιωμένῳ προσέοικεν. ἔπειτα τὰς ὀφρῦς προσδιέστειλε καὶ τῶν ὀφθαλμῶν ἑκάτερον μύσας συνέκλεισε.* 6. *καὶ τὴν ὀδύνην ἐν μέρει τὸ πρόσωπον ἐδήλωσεν. ἔπειτα ὀφρῦς στόμα καὶ παρειαὶ διαδέχονται, τὸ μὲν μεμυκὸς καὶ πρὸς τῆς ἀνίας αὐτῆς πιεζόμενον, αἱ δὲ συστελλόμεναι καὶ τὴν τιμωρίαν αἰτοῦσαι μετριωτέραν καθίστασθαι.* 7. *τὸ δὲ τοῦ προσώπου πρόσχημα ἅπαν ἐγκάρσιον κατ' εὐθὺ μὲν*

21 cf. p. 504,11

---

1 *καθέκαστον BaPaMo* edd | *συνέθηκε* scripsi *ἀνέθηκε* (*ἀνέθηκεν Mo*) libri edd 3 *κομᾶται* Iacobs Lect | *γὰρ* Re 4 *συνέθηκεν Ba* sed *η* ex *ει* corr m[2] 6 *οὐ δὲ BaPaMo* All Re 7 *αὐτῇ B* 9 *κεκονιμένοι* (ω supra ι) *Ba* *κεκονιαμένοι Pa* Walz 11 *πεποίηκε Pa* 12 *τε* om *Va* 13 *ἀνοίας Mo* 14 *τὴν* ante *κόμην B* | *ἀνιωμένω Ba* sed *νιω* delet. 15 *τὴν* ante *τῶν* Re 16 *συνέκλειος* (ευ supra) *Mo* 17 *ἐδήλωσεν* scripsi *ἔστησεν* libri edd | *ὀφρῦς* scripsi *ῥὶς* libri edd | *τὸ* ante *στόμα Pa* 18 *παρειαὶ διαδέχονται* scripsi *παρειὰς διαδέχεται* libri edd | *μεμυκὸς Va* sed *ο* ex *ω* corr m[2] | *πρὸ B* | *ἄνοιαν* *τῆς* (αὐ supra) *ρεφό* *Mo* sed *ασ* in marg m[2] 19 *συστελλόμεναι Mo* 21 *κατευθὺ B Mo*

βλέπειν οὐκ ἀνεχόμενον ὥσπερ οὐκ ἀνεχομένης τῆς δίκης ἐν κέρδει λιπεῖν τῆς ἀνίας τὴν θέαν, ἀλλ' ἐπ' ἄμφω κολάζεται, δρῶν ἅμα καὶ τιμωρούμενος. 8. γένειον δὲ πρὸς τούτοις ἠμελημένον καθεῖται καὶ τὴν κόμην ἐζήλωσε. συναυχμεῖ γοῦν αὕτη καὶ πέρα τοῦ μετρίου κομᾷ. δειρὴ δὲ καὶ στέρνον ἅπαν πρὸς μίαν ἀποβλέπει τὴν δίκην. ἡ μὲν γὰρ τῷ προσώπῳ συννένευκε καὶ κάτω συγκέκλιται βλέποντι, τὸ δὲ ἐξώγκωταί τε καὶ τὸ δαπανώμενον ἀνθέλκειν δοκεῖ καὶ λαβεῖν οὐκ ἐᾷ τὸ λοιπὸν ὃ προσπεσὼν ἕλκει πρὸς αὐτὸν ἀετός. τὸ δὲ μετὰ τὸ στέρνον ἅπαν συνήγαγεν ὥσπερ τοῦ δημιουργοῦ πᾶσι σημαίνοντος ὡς ἅπαν ὃ μετ' ἐκεῖνο δοκεῖ τῷ ἀετῷ προσαναλῶται. 9. καί μοι θαυμάσαι τούς τε ποιητὰς ὧν βουλεύονται καὶ τὸν δημιουργὸν ἐπῆλθε τῆς τέχνης, τοὺς μέν, ὅτι Προμηθέα κολαζόμενον λέγουσι θεοὺς λυπεῖν βουλευσάμενον. καὶ

---

2 cf. t. III 353, 6 8 cf. p. 521, 21 16 Hes. theog. 510 sq. Aesch. Prom. 7 sq.

---

2 *ἀνίας* scripsi *ἀγνοίας* libri sed *οι* supra *ει* *Va*², All Re *ἀνοίας* Walz | *τὴν θέαν* om *Mo* *τοὺς θεούς* Walz | *ἐπάμφω* *Pa* 5 *ἐζήλωσε* scripsi auctore Iacobsio Lect Anth. Pal. III 848 *ἐδήλωσε* libri edd | *γοῦν* scripsi e *BaPaVaMo* cum Walzio *μὲν οὖν* *B* All Re 6 *κομᾶν* *Mo* | *ἅπαν* scripsi e *BVaMo* *πάντα* *BaPa* edd 7 *συνένευκε* *BaPaMo* All 8 *συγκέκλιται* scripsi *συγκέκρυπται* *BaPa* sed in hoc *συγκεκρυ* in ras *συγκέκυπται* *BVaMo* edd 9 *τὸν* *BaPa* 10 ὃ] *ὡς* *BaPa* Walz | *αὐτὸν* *BaPa* Walz *ἑαυτὸν* *BVaMo* All Re 11 *συνήγαγε* *PaMo* 12 *πᾶσι* *Va* sed *ι* in ras m² | *ἅπας* Walz | ὃ] *ἐπεὶ* *BaPa* Walz | *μετεκεῖνο* *Ba* | *μὲν* Walz 13 *ἐκείνω* *PaVa* sed in hoc *είνω* in *εῖνο* corr m² *ἐκείνῳ* Walz | *καίτοι* *BaPa* Walz 14 *τούς τε* et *ὧν* scripsi e *BaPa* cum Walzio *πάντας* et *ὡς* *BVaMo* All Re 15 *ὅτι*] *ἡ* *ταύτῃ* *BVaMo* 16 *λέγουσιν* *BVaMo* All Re | *ὁ* ante *θεοὺς* *Va* sed *ὦ* suprascr m², *ὦ* *Mo*, *ῳ* All Re delevi cum Walzio | *θεοῖς* *B* | *λυπεῖν* scripsi cum Iacobsio Lect Anth. Pal. III 848 coll p. 515, 13 *λιπεῖν* libri edd | *βουλευσάμενον* scripsi e *BaPa* cum Walzio

τὴν ἐπιθυμίαν τῆς χάριτος ἐξ ἧς ἀνθρώπους εὖ ποι- R IV 1118 εἶν ἐβουλεύετο Προμηθεύς, ταύτην οἱ μὲν | κρείττους κολάζουσιν, οἱ δὲ ποιηταὶ φράσαι προήρηνται, λαθεῖν δὲ ταῦτα ὁ δημιουργήσας οὐκ ἔλιπε. 10. τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν εἰς γόνυ κέκαμπται καὶ ἐξανέχει τὸν ἀετὸν βάθρον καθιστάμενος ὄρνιθι καὶ τῷ τρέφοντι προσηγάγετο σώματι ὥσπερ τὸν αὐτὸν δεικνὺς κολαζόμενον καὶ τῷ κολάζοντι παρέχοντα βάσιν. τοῦ γὰρ ὄρνιθος οὐκ ἔχοντος ὅπῃ στήσεται ἀνέχει τὸν πόδα καὶ συμμαχεῖ τῷ κολάζοντι. ὁ δὲ δὴ λοιπὸς ἕστηκε καὶ τὸ λοιπὸν ἑστάναι παρασκευάζει τοῦ σώματος καὶ γίνεται βάθρον τῷ σώματι. 11. ταῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν πρὸς ἀγκῶνα κέκαμπται καὶ κατόπιν ἀνέχει τὴν κεφαλὴν καὶ τοὺς δακτύλους ἐναλλὰξ ⟨ἔχει⟩ συστείλασα. ὁ μὲν γὰρ αὐτῶν καμπύλος, τῶν δὲ λοιπῶν ἕκαστος ἐν παντὶ συγκείμενος ἔσταλται. καὶ πρόσχημα μὲν ἕκαστος ἄλλο τι ἐπέδειξε, μίαν δὲ πάντες ὀδύνην ἐμφαί-

---

3 Aesch. Prom. 235; 445 sq. 5 Ach. T. III 8, 2 6 Ach. T. l. l. 3 14 Ach. T. VIII 1, 4

---

coll l. l. ἐβουλεύετο *B Va Mo* All Re | καὶ τὴν ἐπιθυμίαν scripsi e *Ba Pa* cum Walzio τὴν δὲ ἐπιθυμίᾳ *B Mo* τῇ δὲ ἐπιθυμίᾳ *Va* All Re

2 ἐβουλεύετο *Ba* sed ἐβ delet. | ὁ ante προμηθεύς *Ba* | ταύτην scripsi e *Ba Pa* cum Walzio ταῦτα *B Va Mo* All Re 4 ταῦτα ὁ delet. *Ba* ὁ ταῦτα *Pa* Walz 5 κέκαπται *Pa* 6 βάθρον *Ba* sed βάθ delet. | καθιστάμενον *Ba Pa* | ὀρθιον *Ba Pa* 9 ὅποι *Pa* Walz πη *Mo* | δὴ ante στήσεται *B Va Mo* All Re 10 καὶ συ delet. *Ba* | δὴ om *Ba Pa* Walz | λοιπὸν *Ba* 12 τῷ delet. *Ba* | δὴ om *Ba Pa* Walz 13 ἀγκῶνα scripsi coll p. 517, 10 γόνυ libri sed in lac 4 litt om *Mo*, edd | κέκαπται *Pa* κέκρυπται *Mo* sed αμ supra ρυ m² | καὶ κατόπιν in lac 4 litt om *Mo* 14 τῆς κεφαλῆς *Ba Pa* Walz | καὶ om *B Va Mo* | δὲ ante ἐναλλὰξ *B Va Mo* All Re | ἔχει inserui om libri edd | συστείλασα scripsi cum Iacobsio Lect Ach. T. 924 συστείλας libri All Re συστέλλει Walz 15 ὁ μὲν delet. *Ba* 16 πρὸς σχῆμα *Ba Pa* πρόσχημα Walz 17 ἀλλ' ὅτι *Mo* | ἂν

νουσι. καὶ ὀδύνης ὑπόμνημα καθίσταται χεὶρ ἅτε οὔτε ἀμύνειν ἐξαρκοῦσα τῷ Προμηθεῖ οὔτε τὴν ὀδύνην ἐῶσα λαθεῖν. καὶ ἡ μὲν ἀνία δηλοῦται τῇ δεξιᾷ, ἐπικουρεῖν δὲ οὐκ ἔχει τῷ πάσχοντι ὥσπερ τῆς φύσεως εἰς ἐπίδειξιν τοῦ δυστυχήματος ἀνείσης τὰς χεῖρας, ἀλλ' οὐκ εἰς συμμαχίαν τῷ δυστυχήσαντι. ἀποσείσασθαι γὰρ τὸν ὄρνιν οὐ δύναται, σημαίνει δὲ μόνον ὡς παρὼν ἀνιᾷ. 12. ἡ δὲ δὴ λαιὰ παραπλησίως μὲν ἐκείνῃ συνέσταλται τὸν μὲν τῶν δακτύλων συγκάμπτουσα, τοὺς δὲ λοιποὺς εἰσάπαν συνέλκουσα. 13. καὶ τῶν μὲν ποδῶν ὁ λαιὸς τῷ παντὶ σώματι γίνεται βάθρον, τοῦ δὲ παντὸς πέτρος τις ἀντέχων ὑπέχει ὥσπερ οὐκ ἀνεχομένου τοῦ ταῦτα δημιουργήσαντος Προμηθέα λυπεῖν ἐπὶ γῆς, ἣν διὰ τοῦ πυρὸς εὖ πεποίηκεν.

14. Ὁ δὲ δὴ ἀετὸς ἀνέχεται μὲν πρὸς τοῦ γόνατος, ἐς αὐτὸ δὲ τὸ ἧπαρ χωρεῖ καὶ παρ' αὐτὴν τετάσθαι δοκεῖ τὴν τομὴν ἣν ἐξειργάσατο. καὶ τοὺς μὲν πόδας ἄμφω μερίσας ἀνέχων συνέχει, ἑκάτερον δὲ τοῖν πτεροῖν οὔτε καθάπαξ συνέσταλται οὔτε παντάπασιν ἀποτέταται, ἀλλ' ὥσπερ ἕτοιμος ὢν ἐς ὁρμὴν βραχὺ | R IV 1119

16 Ach. T. III 8, 2

ante ἐπίδειξε libri edd delevi ἀνίας coni Iacobs Lect | ἐπίδειξεν All Re | ἐμφαίνουσι. καὶ ὀδύνης om Re
1 καθίσταται· χεὶρ δὲ οὔτε *BaPa* Walz 2 ἐξαρκεῖ et ἐᾷ *BaPa* Walz 3 μὲν om *BVaMo* | ἀνία *Mo* sed ἀνι^χ' in marg 4 τε *BaPa* Walz 8 δὴ om *BaPa* Walz | συνίσταται *BaPa* 9 τῶν *BaVa* sed in hoc ῶ in ὸ corr m² | συγκάπτουσα *B* 10 εἰς ἅπαν *B* εἰςάπαξ Walz 11 πανσώματι *Ba* 12 πέτρος scripsi ἕτερος libri edd | ὑπέχει ἀντέχων *Pa* Walz | num ὑπάρχει? 13 τὸν ante προμηθέα All Re | λυπεῖν scripsi cum Iacobsio Lect Anth. Pal. III 848 coll p. 513, 16 λιπεῖν libri edd 14 πεποίηκε *Pa* 18 ἑκατέροιν Walz | τῶν πτερῶν *BVaMo* 19 πάντα πᾶσιν *Mo* 20 πρὸς *Mo* εἰς Walz

μέν τι τῶν πτερῶν προσανέτεινεν, ἓν δὲ τοῦτο παραδηλοῖ ὡς, ἢν ἀποκάμῃ φέρον τὸ γόνυ, πρὸς τιμωρίαν ἀρκέσουσι πτέρυγες.

κ'.

R IV 1090

Μηδείας.

1. Τὰ δὲ Μηδείας δεινὰ τεθέαται μὲν τῆς Ἑλλάδος ἡ Κόρινθος, ἅπασα δὲ δι' ἀγαλμάτων ἔγνωκε γῆ καὶ τὸ πραχθὲν ἐν ἑνὶ τεθέανται πάντες πάντας εἰς ὄψιν παραγούσης τῆς τέχνης.

2. Ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος ἀνάκειται Μήδεια, οὐχ οἵαν ἐν Κόλχοις ἀνιερωμένην ἔλαχεν Ἄρτεμις οὐδὲ οἵαν Ἰάσων συναγωνιζομένην ἔσχεν ἐν ἄθλοις, ἀλλ' οἵαν ἡ Κόρινθος ἀδικουμένην εἶδε καὶ κτείνουσαν. καὶ παρελθοῦσαν τὸν πόθον ἡ τέχνη πλάττει πρὸς τὰς συμφορὰς ἀτενίζουσαν. 3. ἕστηκε τοίνυν οἵαν ἡ λίθος ἀναστῆναι ποιεῖ, πρόσωπον μὲν οὐκ ἔξω φέρουσα λύσσης, ἀλλὰ . . . . . . τὸ πάθος. ὅθεν καὶ τὸ σῶμα ἅπαν ἀπέστραπται πρὸς τὸ λαιόν, καὶ ἀπονεύει πρὸς

5 Callistr. ecphr. 13. Malal. p. 263. O. Mueller Ant. Antioch. 87 6 cf. p. 504, 15 11 Eur. Med. 394 sq. Apoll. Arg. III 528 sq. Valer. Flacc. V 238; VII 179 14 Eur. Med. 1244 sq.

1 τοι All Re | τὸ πτερὸν *BVaMo* | προσανέτεινε *VaMo* 2 ἢν in ras *Va*[2] ἢ *Mo* | ἀποκάμη *Va* sed η in ras m[2] | φέρων *Pa* 3 ἀνέχουσι *Pa* Walz

5 μηδείας ἔκφρασις *BaPa* Walz ἔκφρασις μηδείας *B* Mor Re διήγημα τὸ περὶ μηδείας. ἔκφρασις λιβανίου *Par* 9 παραδούσης *BaPa* 11 κολχοῖς *Pa* | ἀνδρωμένην *B* 12 οἷαν *Ba* sed ι ν delet. | ἐν inserui e *BaPaB* cum Walzio om *Par* Mor 13 ἡ om *BaPa* Walz 14 παρελθοῦσαν scripsi παρελθοῦσα libri edd 15 ἀτενίζουσαν scripsi ἀπεικάζουσαν *B* ἀπεικάζουσα *Ba PaPar* edd ἀτενίζουσα Iacobs Lect | ἀφέστηκε *BaPa* sed in hoc ά in ἑ corr 17 lacunam, in qua ὑποσημαίνουσα fuisse coll p. 524, 17 conicio, indicavi | τὸ πάθος φαῖνον, ὃ καὶ Iacobs Lect | καὶ om *Pa* 18 ἀπέστραπται scripsi ἀπάρχεται *BaPa* Walz ἐπέρχεται *ParB* Mor Re ἀπερείδεται Dilthey Ann. d. I. XLI (1869) 61 | πρὸς τὸ λαιόν, καὶ ἀπονεύει scripsi καὶ πρὸς (om

γῆν ὥσπερ οὐκ ἀνεχομένη κειμένους ἰδεῖν οὓς μανεῖσα διέφθειρε, καὶ τιμᾷ τὴν φύσιν τοῖς ὄμμασιν ἣν τῷ θράσει λελύπηκεν. 4. ἔπειτα φάρος περιβάλλει τὴν κεφαλὴν καὶ καθεῖται πρὸς ὤμους κἀκ τοῦ δεξιοῦ πρὸς τὸν λαιὸν ἀναβέβληται τοῦ δημιουργοῦ γυναῖκα δεῖξαι σπουδάζοντος ἣν γυναῖκα δοκεῖν οὐκ ἀφῆκεν ἡ τόλμα. 5. ταῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν ξίφει καθώπλισται καὶ δοκεῖ τὸν φόνον εἰς τοὺς παῖδας ἐπανατείνασθαι καὶ ποιεῖν ἀεὶ δοκεῖ τὸ προσάπαξ γενόμενον, ἡ δὲ δὴ λαιὰ εἰς ἀγκῶνα συγκέκαμπται καὶ ἐπανέχει τὸ φάρος. 6. περιτέταται δὲ τὸ στέρνον ζωστὴρ χιτῶνα συνέχων διπλοῦν. ὁ μὲν γὰρ αὐτῶν κρύψας ἃ μὴ θέμις ἰδεῖν αἰωρούμενος ἔληξεν, ὁ δὲ καθήκει μέχρι ποδῶν ὅσον θεάσασθαι καταλείψας τοὺς πόδας. 7. τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν δεξιὸς εἰς γόνυ κέκαμπται καὶ δοκεῖ πιέζειν ἀναιρουμένους τοὺς παῖδας ὥσπερ ὅτε ἔτυχε σφάττουσα καὶ χειρὸς ὡσαύτως καὶ γόνατος ἔχουσα, ὁ δὲ δὴ λοι-

---

B) *τὸ λαιὸν* (*παλαιὸν BaPa*) *ἀπονεύει* libri edd *πρὸς τὸ λαιὸν καὶ ἀπονεύει* Dilthey | *πρὸς γῆν* ⟨*ὁρῶσα*⟩ *ὥσπερ* Iacobs Lect

1 *ὥσπερ* — 3 *λελύπηκεν* excerpsit *Vo* | *ἀνεχομένη* scripsi e *Pa* cum Walzio et O. Iahnio Arch. Zeit. 1866, 247 *ἀνεχομένην BaParBVo* Mor Re *ἀνεχομένης* Dilthey 3 *φᾶρος*? cf. l. 10 | *τὴν κεφαλὴν* om *B* *τὴν μήδειαν Par* Mor Re 5 *τὸν* scripsi *τὸ* libri edd | *ἀναβέβληται* scripsi e *BaPa* cum Walzio Diltheio coll t. IV 454, 4 *ἀναβέβληκε ParB* MorRe | *τοῦ* — 6 *τόλμα* excerpsit *Vo* 6 *ἐφῆκεν ἡ τέχνη* Dilthey 7 *δὴ* om *BaPa* Walz | *χειροῖν* Walz | *μὲν* om *BaPa* Walz 8 *ἐπανατείνασθαι* scripsi e *BaPaB* cum Walzio *ἐπανατείνεσθαι Par* Mor Re 9 *προσάπαξ Pa* *πρὸς ἅπαξ* Walz | *γενόμενον* scripsi e *B* cum Iahnio *γινόμενον BaPa* Walz *μενόμενον Par* Mor sed in hoc *γρ μεινάμενον* in marg, Re *μαινόμενον* Iacobs Philostr. im. 725 | *δὴ* om *BaPa* Walz 10 *ἀγκῶνα* scripsi auctore Iacobsio Lect *ἀγῶνα BaPaB* Walz *ἀγῶνας Par* Mor Re 11 *συνέχον ParB* et *γρ* in marg Mor 12 *τὸν BaPa* Walz | *αὐτῶν* scripsi e *BaParB* et *γρ* in marg Mor cum Iahnio *αὐτὸν Pa* edd | *κρύψασα BaPa* Walz | *ἃ* — 13 *ἔληξεν*] *ὡς μὴ ὁρατὸν εἶναι BaPa* Walz 13 *καθίκει Ba* 14 *δὴ* om *BaPa* Walz 16 *πόδας BaPa* | *ἧτε BaPa* 17 *χειρὸς* et

R IV 1091 *πὸς τῷ βάθρῳ προσήρεισται. | καὶ μετέωρος ἦρται τῆς γῆς ὥσπερ οὐκ ἀνεχομένης τῆς τέχνης τὸ ἄγαν περιφανὲς ἐν ἀφανεῖ μέρει κατακρύψαι τῆς γῆς.*

κα'.

R IV 1095 *Χιμαίρας.*

1. *Φύσεις δὲ ἄρα παράλογοι προῆλθον μὲν ἐκ τύχης τὸ πρῶτον, γενόμεναι δὲ μένειν οὐκ ἔλαχον, ὁ λόγος δὲ ὅμως ἐτήρησεν ἃς ὁ χρόνος συνέκρυψε. καὶ πολλαὶ μὲν παράλογοι γεγόνασι φύσεις, μάλιστα δὲ τῶν ἄλλων ἡ Χίμαιρα, περὶ ἧς ἤδη μὲν διεξῆλθεν ὡς ἔχει τὸ μέτρον, ζηλώσει δὲ ὅμως καὶ τὸ μέτρον ὁ λόγος.*

2. *Συνθήκη τριπλῆ γέγονε φύσεως ἐφ' ἑνὸς πάντα πλάττουσα σώματος. κατήρχετο μὲν γὰρ ὅθεν οὐκ ἔληγε, ἐτελεύτα δὲ ὅθεν οὐκ ἤρχετο, καὶ τὸ μέσον αὐτῆς τῶν ἄκρων ἀπήλλακτο. καὶ συνθεῖσα τὰς φύσεις ἡ*

---

1 cf. p. 414, 9; 376, 5 5 Paus. II 27, 2 10 Il. ζ 179 sq. Hes. theog. 319 sq. [Apollod.] bibl. II 3, 1

γόνατος reposui e libris cum Walzio *χεῖρας* et *γόνατα* Mor Re | *δὴ λοιπὸς* scripsi e *ParB* cum Iacobsio Lect App. Pors. 333 *λοιπὸς BaPa* Walz *δηλοῖ πῶς* Mor sed *ἴσ. πούς* in marg, Re *λαιὸς ποῦς* Iahn

1 *προσερήρεισται* Iahn | „*ante καὶ aliquid videtur excidisse*“ Iacobs Lect 2 *γρ. τὸ τῆς* in marg Mor | *τὸ ἄγαν* inserui e *Ba* sed *αν* delet., *Pa* cum Walzio *τὸ* Iacobs Lect om *ParB* Mor Re 3 *ἐν* scripsi e *BaPa* cum Iacobsio Lect Walzio *ὡς ParB* Mor Re

5 *χιμαίρας ἔκφρασις BaPa* 6 *Φύσεις* — 8 *συνέκρυψε* excerpsit *Vo* 7 *τὸ* om *Vo* 8 *ἐ* cum lac 3 litt *Vo* | *ὁ* inserui e *BaPa* cum Walzio om *ParVo* Mor Re | *συνέκρυψεν Vo* 10 *διεξῆλθεν ὡς ἔχει* scripsi *ἐξῆλθεν ὡς ἔχει BaPa* *καὶ ὡς ἔχει διεξῆλθε Par* Mor Re 13 *φύσις* Walz 14 *πλάττουσα Ba* sed *αττο* delet. | *γὰρ* om *BaPa* Walz 15 *αὐτῆς* scripsi e *BaPa* cum Walzio *αὐτῇ Par* Mor Re

τέχνῃ συνθεῖναι τὰς κλήσεις οὐκ ἔσχεν, ἀλλ' ἐξ ἑνὸς προσηγόρευσε τὰ πολλῶν ἀποφήνασα καὶ τοὔνομα προῆλθε τῆς γονῆς ἐνδεέστερον. 3. *λέων τις ἦν ὅσον πρῶτον ἰδεῖν, καὶ δράκων τοῦ παντὸς ἔληγε σώματος μεσούσης αἰγός. καὶ πῦρ ἐποίει τὸ φανὲν φοβερώτερον ὥσπερ οὐκ ἀρκοῦντος φοβῆσαι τοῦ πλάσματος.* 4. *καὶ θέαμα μὲν ἄλλο πρὸς ἄλλο προήρχετο, μία δὲ πάντων ἐτύγχανε γένεσις. ὡρμᾶτο μὲν γὰρ οἷα λέων φοβῶν, κατέπληττε δὲ οἷα δράκων ἐξελιττόμενος, καὶ φοβεῖν ἡ αἲξ ἀποροῦσα τῇ φύσει προσθήκῃ πυρὸς τῶν λοιπῶν ἦν φοβερώτερον.* 5. *οὐκ ἦν ὅ τι ἄν τις μᾶλλον καταδείσειεν ἀποβλέπων εἰς ἕκαστον. τὸ μήπω φανὲν τοῦ φοβοῦντος ἤδη δεινότερον. ἡ μὲν γὰρ ἔφλεγεν, ὁ δὲ ὑπεσύριττεν, ὁ δὲ χαλεπώτερος ἦν ὠρυόμενος.*

6. *Ἠγωνίζετο δὲ πρὸς ταύτην ἀνὴρ παραλογώτερον. ἐποχούμενος ἵππῳ πρὸς τὰ ἀπὸ γῆς ἐξ ἀέρος ἐμάχετο.*

---

1 *ἑνὸς Ba* sed *ὸς* delet. 2 *προσηγόρευσε* scripsi *προσηγόρον Ba* *προσηγό'* (ρ superscr.) *Pa* *ἐξηγόρευσεν Par* Mor Re *προσηγορίας* Walz | *τὰ* scripsi e *BaPa* cum Walzio *ἐκ Par* Mor Re | *ἀποφήνασα* scripsi e *BaPa* cum Walzio *ἀποφήνασ Par* *ἀποφῆναι* Mor Re 3 *τίς PaPar* | *ὅσον* scripsi e *BaPa* cum Walzio *ὅσα Par* Mor Re 5 *μεσούσης Ba* sed *εσ* et *σης* delet. | *δὲ* post *μεσούσης Par* Mor Re | *τὸ* om Re 6 *ἀρκοῦντος Ba* sed *οῦντος* delet. 8 *χανε γ* delet. *Ba* 10 comma post *ἀποροῦσα PaPar* Mor Re delevi cum Iacobsio Lect Walzio | *προσθήκῃ* scripsi cum Iacobsio Walzio *προσθήκη* libri Mor Re 11 *φοβερώτερον* scripsi e *BaPa* cum Walzio *φοβερωτέρα Par* Mor Re | *καταδείσει BaPa* Walz 13 *ἔφλεγε* et *ὑπεσύριττε Pa* 14 *ὠρυώμενος BaPa* 15 *Ἠγωνίζετο* — 16 *ἵππῳ* excerpsit *Vo* | *ταύτην*] *τὴν χίμαιραν Vo* | *παραλογώτερον* scripsi e *BaPaVo* cum Walzio *παραλογώτερος Par* Mor Re *παραλογωτέρως* Iacobs Lect Anth. Pal. III 723 | punctum inserui om libri edd 16 *ἐποχούμενος* reposui e *BaPaPar* cum Walzio *ἐπωχούμενος Vo* *ἐχούμενος* Mor Re *ὀχούμενος* Iacobs | *ἵππῳ* scripsi *ἵππον BaPa* Iacobs Anth. („*nisi malis ἐφ' ἵππον*") Walz *ἵππον ParVo* Mor Re | *καὶ* ante *πρὸς Pa* Walz | *τὰ* scripsi

καὶ πτερὰ φυγὴν τῶν κινδύνων εἰργάζετο, καὶ προῄει μὲν τὸ πῦρ ὡς μαχόμενον, ᾕρετο δὲ ὁ Βελλεροφόντης μετέωρος ἀμφότερα ἐπὶ μιᾶς ὁρμῆς ἐργαζόμενος, καὶ κτείνων τὴν Χίμαιραν καὶ παθεῖν αὐτὸς ἐξαρνούμενος. R IV 1096 | *καὶ γεγενῆσθαι δοκοῦσα θεὸς τῷ συμμαχουμένῳ παρὰ θεῶν ἀνηλίσκετο. καὶ τοῦτο δὲ ἐδήλου Βελλεροφόντης κτείνων τὴν Χίμαιραν, ὡς θεοὶ τῶν θεῶν εἰσι καθικνούμενοι.*

7. *Ταῦτα θεάσασθαι μὲν δέους ὑπῆρχε, διεξελθεῖν δὲ ἡδονὴ μᾶλλον ἢ δέος.*

κβʹ.

R IV 1114

Παλλάδος.

1. *Θεοὶ δὲ ἄρα γεγονότες δημιουργοὶ δημιουργεῖσθαι παρὰ τῆς πλαττούσης ἐπίστανται τέχνης καὶ συγχωροῦσι γενέσθαι τῇ τέχνῃ ὅπερ φύσει γεγόνασι. καὶ πολλοὶ μὲν θεοὶ κατ' ἀγορὰν ἀνεστήκασιν, Ἀθηνᾶ δὲ μᾶλλον πρὸ παντὸς ἕστηκε θαύματος. ἐγὼ δὲ ὃ τεθέαμαι καὶ διηγήσομαι.*

2. *Μουσῶν τέμενος ἦν καὶ πρὸς λόγους ὁ χῶρος ἀνεῖ-*

---

5 Il. ζ 180 | Hes. theog. 325 | Luc. cal. 22
19 cf. p. 531, 9; t. I 501, 1. Mueller, Ant. Ant. p. 107 not. 7

---

cum Iacobsio *τὰς BaPar* Mor sed in hoc *γρ τὰ γ. ά* in marg, Re *τοῖς Pa* Walz | *μετ' BaPa* Walz

1 *πρὸς* ante *φυγὴν* Mor Re 3 *ὁρμῆς* scripsi e *BaPa* ut coni Mor Iacobs Philostr. imag. 476 cum Walzio *ὀργῆς Par* Mor Re 5 *δοκοῦσα θεὸς* scripsi *δοκοῦσα θεῷ BaPa* Walz *δοκοῦσαν θεὸν Par* Mor Re 6 *ἀναλίσκε Ba ἀναλίσκεται Pa* Walz | *τοῦτο δὲ ἐδήλου*] *οὕτως BaPa* Walz 7 *θεοὶ τῶν θεῶν εἰσι καθικνούμενοι* scripsi e *BaPa* cum Walzio *ὡς θεὸς τῶν θεῶν ἀφικνούμενος Par* Mor Re 9 *δέους* scripsi coll p. 490, 15 *δέος Vo* om *BaPaPar* edd | *ὑπῆρξε Vo*
12 *ἔκφρασις παλλάδος BaPa* 13 *δὲ* delet. *Ba* om All Re 14 *συγγενέσθαι Pa* sed in *συγχωροῦσι νέσθαι* corr

σθαι βουλόμενος. καὶ δύο ταῦτα ὁ δημιουργὸς σύμβολα τῆς οὔσης ἐπιδείξασθαι τέχνης ⟨βουλόμενος⟩ Ἀθηνᾶν προανέστησε καὶ πρὶν ἐμβαλεῖν εἰς Μουσῶν τέμενος, ἡ θεὸς καταφαίνεται τὴν ἔνδον οὖσαν σημαίνουσα τέχνην. 3. καί μοι δοκεῖ ὁ δημιουργὸς ἐπ' ἀμφοῖν τοῖν καιροῖν Ἀθηνᾶν ἀναστήσασθαι. δι' ὧν μὲν γὰρ αὐτὴν ἐν Μουσῶν τεμένει καθίδρυσεν εἰρήνης ἔδειξε πρύτανιν, οἷς δὲ ἅπασαν ὥπλισε καὶ πολέμου κυρίαν | κατα- R IV 1115 *λείπειν δοκεῖ. 4. κράνος τοίνυν αὐτῆς περιβάλλει τὴν κεφαλήν, καὶ προανέχει μὲν λόφος τοῦ κράνους, κορυφῆς δὲ τὸ κράνος, καὶ περιβαλὸν τὴν κεφαλὴν τῇ κυνῇ τὴν ὄψιν οὐκ ἔκρυψεν, ἀλλ' αὐτόνομον ἀφῆκε τὸ πρόσωπον ὥσπερ ἀδικεῖν τὸν τεχνίτην δοκοῦν, εἰ δι' οὗ λόγοι προέρχονται, τοῦτο συγκρύψειε τοῦ πολέμου τὸ γνώρισμα. καὶ ἅμα μοι δοκεῖ ὑποφῆναι ζητεῖν ὡς οὐδὲν λόγων γίνεται κώλυμα. 5. τὸ δὲ πρόσωπον γυμνὸν γεγονὸς ἐγκάρσιόν τέ ἐστι καὶ πρὸς ἕτερα νένευκε. καὶ φοβεῖ τῶν ὀμμάτων ἑκάτερον ὥσπερ ἀρκοῦν μόνον ἰδεῖν καὶ φοβῆσαι τὸν ἀνθιστάμενον. τὸ δὲ στόμα διῃρμένον εἰς λόγους ἀνεῖται. καὶ ἡ δειρὴ τῷ προσώπῳ συναποκέκλιται. τὸ δὲ δὴ στέρνον θώραξ τε περιβάλλει ποικίλος καὶ κατὰ μέσον ἀνέχει*

---

1 *καὶ δὲ ταῦτα* Iacobs Lect | *ὁ δημιουργὸς* scripsi *δημιουργεῖν BaPa* edd 2 *βουλόμενος* inserui om libri edd 3 *προανέστησεν Ba* All Re 8 *καταλείπειν Ba* sed *ει*(1) ex *ι* corr *καταλίπειν Pa* *καταλιπεῖν* Walz 11 *περιβαλὸν* scripsi *περιβαλὼν BaPa* edd 13 *δοκοῦν* scripsi coll p. 496, 3 *δοκεῖν* libri edd 14 *τοῦτο* scripsi *ταῦτα BaPa* edd 17 *τέ ἐστι* inserui e *Ba* sed *τέ ἐ* delet., *Pa* cum Walzio om All Re 18 *ὥσπερ — 20 ἀνθιστάμενον* excerpsit *Vo* 19 *ἀρκούσης Vo* | *καὶ*] *τοῦ Vo* | *τὸν ἀνθιστάμενον* scripsi e *Ba* sed *τὸν ἀνθιστ* delet., *PaVo* cum Walzio *μόνον δυνάμενον* All Re 20 *διῃρμένον* scripsi *διηρημένον* libri edd 21 *δειρὰ Ba* All Re | *τὸ δὲ δὴ* scripsi e *Ba* sed *τὸ δὲ δ* delet., *Pa* cum Walzio *αὐτὸ δὲ τὸ* All Re

πάντα τῆς θεοῦ συγκειμένης εἰς ἔκπληξιν. 6. *ταῖν δὲ χεροῖν ἡ δεξιὰ μὲν ἀνεῖται γυμνὴ καὶ τὸ συνέχον οὐδέν ἐστι τῆς πράξεως τὸ ἕτοιμον, ψέλιον δὲ πρὸ τῆς ἄκρας περιβάλλει χειρὸς βραχὺ τῇ θεῷ τῆς γυναικείας περιθέμενος φύσεως. ἡ δὲ λαιὰ πᾶσα μὲν τέταται καὶ πρὸς θέναρ συγκέκαμπται καὶ τῆς ἀσπίδος ἄκρας ἐπιλαμβάνεται καὶ πᾶσαν προσερείδει τῇ γῇ τοὐναντίον τοῖς ὁπλίταις ποιήσασα.* 7. *τῶν μὲν γὰρ αἱ χεῖρες τῶν ὀχάνων ἀντιλαμβάνονται καὶ κατὰ μέσον τὰς ἀσπίδας ἀνέχουσιν ὀμφαλοῦ τὸ κατέχον συγκρύπτοντος, ἡ δὲ τὴν ἴτυν τῶν ὀχάνων μεταχειρίζεται καὶ τὴν τῆς ἀσπίδος κατείληφεν ἄκραν ὥσπερ ἐξαρκοῦν τῆς ἄκρας ἐφάψασθαι καὶ πᾶσαν μεταχειρίζεσθαι.* 8. *τὴν δὲ λαιὰν ὁ μετὰ τὸ θέναρ προσέρχεται ἐπελιττόμενος ὄφις. ταῦτα τῆς θεοῦ περικειμένης εἰς κόσμον ἃ φοβεῖν τοὺς ἄλλους ἐπίσταται, τὸ δὲ λοιπὸν τῆς θεοῦ πέπλος περιβάλλει ποδήρης καὶ κατὰ μέσον συνέχει ζωστὴρ τὸν περικείμενον περιστέλλων χιτῶνα. καί μοι ἡ τέχνη δοκεῖ διπλοῦν τῇ θεῷ καταστήσασθαι πέπλον ὥσπερ τοὺς θεατὰς εἰς ἀνάμνησιν ἄγουσα τῶν ἐπῶν ἐν οἷς Ἀθηνᾶ*

20 Il. ε 733 sq.; θ 384 sq.

1 *εἰς* scripsi e *BaPa* cum Walzio *πρὸς* All Re 3 *ἐστι* scripsi *ἔστω BaPa* Walz *ἔστη* All Re | *τὸ* inserui om *Ba Pa* edd | *ψέλιον δὲ* inserui e *Ba* sed paene delet., *Pa* cum Walzio om All Re 8 *τοῖς ὁπλίταις ποιήσασα* scripsi cum Iacobsio Lect *τὴν πᾶσαν ὁπλίτας* (*ὁπλίτην* Walz) *ποιήσασαν* (*ποιήσασα* Walz Iacob) *BaPa* edd G. Iacob Jahrb. f. Phil. u. Paed. XIV (1830) 417 *τοῖς ὁπλίταις ποιήσασαν* Petersen comm. II 12 10 *συγκρύπτοντος* scripsi *συγκρύπτοντες BaPa* edd | *ἡ* scripsi *οἱ BaPa* edd 11 *ὀχάνων μεταχειρίζεται* scripsi *ὀργάνων μεταχειρίζονται BaPa* edd 12 *κατείληφεν* scripsi *κατειλήφασιν Ba* sed e *κατείληφεν* corr, *Pa* edd | *ἐξαρκοῦν τῆς* scripsi *ἐξαρκοῦντες BaPa* edd 14 *προσέρχεται Ba* sed *προσε* delet. 15 *ἀφοβεῖν Pa* | *μὲν* ante *τοὺς* All Re 18 *περικείμενον* scripsi cum Peterseno l. l. coll p. 526, 9 *προκείμενον BaPa* edd 20 *θεατὰς* scripsi e *BaPa* cum Walzio *θνητοὺς* All Re

περιβάλλεται. 9. βραχὺ δὲ οἱ πόδες τοῦ χιτῶνος ἐξέχουσιν ἅμα μὲν δεικνύντες ἐφ' ὧν ἀνεστήκασιν, ἅμα δὲ αἰδῶ γυναικείαν ἐμφαίνοντες οὐκ εἰς ἅπαν ἐθέλουσι φαίνεσθαι. βραχὺ | δὲ τῶν ποδῶν ὁ λαιὸς R IV 1116 *εἰς γόνυ συγκέκαμπται καθάπαξ ἄπρακτον οὐκ ἀνεχομένης τῆς τέχνης τὴν θεὸν καταστήσασθαι. καὶ γοῦν τὸ γόνυ δοκεῖ [καὶ] χωρεῖν ἐπὶ βάδισμα.* 10. *ἡ δ' ἀσπὶς ἐκ τῆς εἰς ἄκρον ἀνέστηκε χειρὸς καταθείσης μὲν τῆς θεοῦ τὴν σκευήν, παρεχούσης δὲ τοῖς θεωμένοις ὁρᾶν ὡς παρασκευῆς μὲν δέοι πρὸς πόλεμον, μὴ εἶναι δὲ πρὸς παράταξιν πρόχειρον. οἷς μὲν γὰρ ἡ γῆ κατέχει τὴν τελευτὴν τοῦ πολέμου, δι' ὧν δὲ ἡ χεὶρ ἄκρα προσέψαυσε τὴν παρασκευὴν σημαίνει τῆς μάχης.* 11. *ἡ δ' ἀσπὶς εἶναι δοκεῖ τοῦ Διός, ἐν ᾗ θύσανοι ἠώρηνται, καὶ κατὰ μέσον ἐκπλήττει Γοργὼν πάντα τὸν φόβον δηλοῦσα τῆς μάχης καὶ τὴν πρὸς τὸν Δία βεβαιοῦσα συγγένειαν. Νῖκαι δὲ διπλαῖ πρὸς ἑκατέραν ἄκραν τῆς ἀσπίδος εἰσίν, ἐπεὶ καὶ διπλῇ κρατεῖν Ἀθηνᾶ πέφυκε, πρὸς ὅπλα καὶ λόγους.* 12. *καὶ οὔτε ἡ θέα τῆς ἡδονῆς ἠλλοτρίωται οὔτε τὴν ἡδονὴν λαθεῖν ἀφῆκεν ὁ λόγος, ἀλλ' ἔστι ῥᾳστώνη κοινὴ θεωμένοις καὶ λέγουσιν.*

---

14 Il. ε 738; ο 229

---

1 *βραχὺ Ba* sed *χὺ* delet | *δὲ* delet. *Ba* om All Re 5 *συγκέκαμπται Ba* sed *ται* delet. *συγκέκαπται Pa* 7 *δοκεῖ Ba* sed *εῖ* delet. | *καὶ* cancellavi 9 *παρεχομένης* Walz | *τῆς θεωμένης Pa* 10 *δέ οἱ Ba* *δὲ οἱ Pa* sed ` in ´ corr 12 *τὴν τελευτὴν τοῦ πολέμου* scripsi *τελευταῖος πόλεμος BaPa* edd *ὅτι τελευτᾶται ὁ πόλεμος* Iacobs Lect 14 *τίς* post *ἀσπὶς BaPa*, *τι* Walz delevi 15 *γοργὸν* All Re *Γοργώ* Iacobs Lect Petersen 17 *ἑκατέρας ἄκρας* Walz 18 *διπλῇ* scripsi *διπλᾶ Ba* *διπλαῖ Pa* *διπλαὶ* Mor Re *διπλῶν* Walz | *ἀθηνᾶ Ba* sed *ηνᾶ* delet. | *πέφυκεν* All Re 19 *θέα* scripsi cum Walzio *θεὰ Ba Pa* All Re 20 *οὔτε* scripsi *οὐδὲ BaPa* edd | *ἀφῆκεν* scripsi e *Ba* sed *ῆκεν* delet., *Pa* cum Walzio *ἀφίεισιν* All Re

κγ΄.

R IV 1091 ## Αἴαντος.

1. Παθήματα μὲν παρὰ τὴν Τροίαν ἥρωσι πολλὰ μὲν ὁ Τρώων εἰργάσατο πόλεμος, Αἴας δὲ πάντα μανεὶς ἀπεκρύψατο. Αἴαντα τοίνυν οὐ σωφρονήσαντα εἶδε μὲν πρῶτον ἡ Τροία, ἀπείληφε δὲ μετὰ Τροίαν σκηνή, καὶ μετὰ τὴν σκηνὴν ὁ χαλκὸς ὑποκρίνεται.

2. Ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος ἐν χαλκῷ τις Αἴας ἀνέστηκε μηδ᾽ ἐν τῷ χαλκῷ σωφρονεῖν ἐπιστάμενος. ἀνάκειται τοίνυν οὐχ οἷον Ἕκτωρ εἶδε μαχόμενον, ἀλλ᾽ οἷον εὗρε μετ᾽ αὐτὸν ἡ σκηνή. πρῶτον μὲν γὰρ ἅπας γυμνὸς προκαλύμματος ἕστηκε καὶ τὴν μανίαν δηλοῖ τῷ μὴ δεῖσθαι τοῦ κρύπτοντος. ἕστηκε γὰρ αἰδοῦς ἀμελῶν οὐκ εἰδὼς ὅπως ἕστηκε σχήματος.

3. καὶ γυμνὸς ἐσθῆτος ἅπας ἀνεστηκὼς καὶ τὴν μανίαν ταύτην προδηλῶν ἐκ τῶν κατὰ μέρος οὐχ ἧττον ὑποσημαίνει τὸ πάθος. οὔτε γάρ ἐστι μανίας ὅλος

---

3 sq. cf. p. 504, 15 sq. 10 Il. η 216 sq. 11 Soph. Ai. 218 sq. 17 sq. cf. p. 527, 3 sq.

---

2 *αἴαντος ἔκφρασις BaPa ἔκφρασις τρωάδος ἀπεστραμμένης Par* Mor Re 3 *δὲ Par* Mor Re | *ἥρωσι* scripsi coll p. 468, 9 *ἡρώια BaPa* Walz *ἡρῶα Par* Mor Re *ἡρώων* Iacobs Lect 4 *πόλεμον* Mor Re 6 *οἶδε BaPa* Walz | *τὴν* ante *Τροίαν* Walz 7 *τῆς σκηνῆς Par* Mor Re 9 *τις* delendum censet Iacobs at cf. p. 508, 9; 511, 14 *τίς BaPa* | *ἄρας* Walz | *μηδ᾽ ἐν τῷ χαλκῷ* scripsi cum Iacobsio *μηδ᾽ ἐν αὐτῷ BaPa* Walz *μὴ δὲ τῷ χαλκῷ Par* Mor Re 10 *Ἕκτωρ* scripsi e *BaPa* cum Walzio *ἡ Τροία Par* Mor Re | *εἶδεν* Mor Re 11 *ἑώρα μετὰ τὸν ἀγῶνα ἡ σκηνὴ* Iacobs Lect 12 *γυμνὸς* scripsi e *BaPa* cum Walzio *χωρὶς Par* Mor Re | *καὶ* om *Par* Mor Re 13 *τὸ Par* Mor Re | *καλύπτοντος?* 15 *ἀνθεστηκὼς BaPa* Walz | *καὶ* om *Par* Mor Re 16 *δηλῶν BaPa* Walz | *τῶν καταμέρος Par τῶν μέρος BaPa τοῦ μέρους* Walz 17 *ὑπομένει BaPa* Walz | *ὅλος* om *Par* Mor Re post *γὰρ* inserendum coni Iacobs

ἐλεύθερος οὔτε κατὰ μέρος ἐστὶ τοῦ πάθους ἀλλότριος. 4. *καὶ πρῶτον μὲν ⟨οὐ⟩ κράνος τῇ κεφαλῇ περιβέβληται ὥσπερ ἐνδείξασθαι τοῦ δημιουργοῦ βουλευομένου τὸ πάθος καὶ τοῦτο τῆς μανίας ποιουμένου τεκμήριον τοῖς ὅσοι θεαταὶ αἱροῦνται εἶναι τοῦ σώματος, ⟨ὡς⟩ ἀφέστηκεν Αἴαντος κράνος τῆς κεφαλῆς, ὅτι μηδὲ τοῦτο παρῆν κατιδεῖν.* 5. *εἶτα τὸ πρόσωπον αὐτῷ φανερὸν ἐμπεποίηται δεῖγμα ἧς κατὰ γνώμην νοσοῦσιν ἄνθρωποι λύσσης, ὀφθαλμοὶ δὲ μᾶλλον τοῦ μὴ φρονεῖν καθεστήκασιν ἔλεγχος. πῦρ γὰρ ἐν αὐτοῖς ὑποφαίνει* | R IV 1092 *καὶ πρὸς ἄλλον καὶ ἄλλον τρέπονται χῶρον. καὶ οὕτως ἡ τοῦ πάθους εἰκὼν καταφαίνεται.* 6. *παρειαὶ δὲ οἰδοῦσι τῷ κάτωθεν πνεύματι. τὸ δέ οἱ στόμα διῇρται εἰς ἄνοδον πνεύματος καὶ τὴν κάτωθεν ὁρμὴν ὑποση-*

13 sq. cf. p. 498, 12 14 sq. cf. p. 497, 9

1 *καταμέρος Par* | *γρ μέρους* in marg Mor | *ἔτι* Iacobs 2 *μὲν* om *Par* Mor Re | *οὐ* inserui post *μὲν*, post *κεφαλῇ* Iacobs Lect 3 *βουλομένου τοῦ δημιουργοῦ Par* Mor Re cf. p. 528, 1 | *τοῦ πάθους Pa* 4 *τούτῳ Ba* sed *ῳ* delet. et Iacobs *τοῦτο PaPar* edd | *τῆς* delet. *Ba* | *μανίας* scripsi auctore Iacobsio *μάχης* libri edd 5 *τοῖς ὅσοι*] *ὡς ὅσα Par* Mor Re *καὶ ὅσα ὁρᾶται καὶ ἃ παραιρεῖται τοῦ ὄμματος* Iacobs | *θεαταὶ καὶ παραιρεῖται Par* *θεαταὶ καὶ παραινεῖται* Mor sed *γρ παραιρεῖται* in marg, Re | *ὡς* inserui om libri edd 6 *ἀφῆκεν αἴας τὸ κράνος Par* Mor Re | *νος τῆς* delet. *Ba* | *μὴ δὲ Pa* 7 *ἦν παριδεῖν BaPa* Walz 8 *δεῖγμα* delet. *Ba* | *ἧς* delet. *Ba* *οἷς Pa* | *γοῦν ὧν Par* Mor Re corr Walz 9 *πρόσωπον ἅπαν ὑπῆρξεν ὑπόμνημα* post *λύσσης Par* Mor Re | *καθεκάστην Par* Mor Re *καθεστηκότως* Iacobs Lect Anth. Pal. III 847 10 *ἔλεγχος* delet. *Ba* | *γὰρ ἐν αὐτοῖς*] *γοῦν Par* Mor Re | *ὑποφαί^ν^ Ba* *ὑποφαίνεται* Walz 11 *καὶ* (1)] *τῶν ὀφθαλμῶν κἀκ τῶν ὀμμάτων Par* Mor Re | *τρέπονται* scripsi *τρέπεται* libri edd | *τε* ante *καὶ* (2) *Par* Mor Re | *καὶ οὕτως*] *κἂν τοῖς ὀφθαλμοῖς Par* Mor Re 12 *διδοῦσι Par* Mor Re *οἰδοῦσαι* coni Mor Iacobs ll. ll. 13 *καὶ συνωγκωμέναι* ante *τῷ Par* Mor Re | *οἱ* om *BaPa* Walz | *διήρηται BaPa* Iacobs ll. ll. Walz | *διηρημένον* post *διῇρται Par* Mor Re 14 *πάροδον* Iacobs Lect coll p. 498,

μαίνει τῷ σχήματι. καὶ δειρὴ συμμεταβάλλεται τῷ προσώπῳ συχνῶς. 7. *τὴν δὲ λύσσαν δηλοῖ ⟨καὶ⟩ ἡ πλοκὴ τῶν χειρῶν. ἡ μὲν γὰρ δεξιὰ καθεῖται κατὰ μηροῦ, ἡ δὲ λαιὰ πρὸς αὐτὸν ἐπανάκειται, καὶ μικροῦ πρὸς ἀλλήλας συμπλέκονται ὥσπερ τοῦ πάθους οὐδὲν αὐτόνομον ἔχοντος.* 8. *τὸ δὲ προκάλυμμα ἅπαν τῷ λαιῷ τῶν βραχιόνων συνέσταλται ὥσπερ ἐνδείξασθαι τὸ μὴ καθεστηκὸς τῶν φρενῶν προῃρημένης τῆς τέχνης. καὶ οὔτε τοῦτον ἐσθῆτος ἀφῆκε χωρὶς οὔτε ταύτην περικειμένην ἔδειξε.* 9. *τὸ δέ οἱ στέρνον ἅπαν ἐξώγκωται καὶ πρὸς τὴν ἔνδον λύσσαν ἐπαίρεται. καὶ ὅσῃ μανίᾳ περιέχεται ἡ γνώμη τοῦ πάθους, ἔστι κατιδεῖν ἐκ τοῦ σχήματος. γαστὴρ δὲ ὑπεδίδου καὶ συνεστέλλετο καὶ τοσοῦτον ἀφῃρεῖτο τοῦ μέτρου ὅσον τὸ στέρνον ἐξώγκωτο.* 10. *τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν εὐώνυμος ἕστηκεν ἅπας καὶ πρὸς ἑαυτὸν τὸ πᾶν ἐρείδει τοῦ σώματος, ὁ δὲ δὴ δεξιὸς εἰς γόνυ κέκαμπται καὶ προανέχει*

---

12 | *ὅπερ λύσσα κατείργασται* post *πνεύματος Par* Mor Re | *τὰ* Walz | *ὑποσημαῖνον Par* Mor Re

1 *καὶ δειρὴ*] *δειρὴ δὲ Par* Mor Re | *συμμεταβαλλομένη* et *συχνά Par* Mor Re 2 *δηλοῖ τὲ τὴν λύσσαν Par* Mor Re | *καὶ* inserui auctore Iacobsio Lect Philostr. im. 435 om libri edd

3 *ἡ μὲν γὰρ*] *καὶ γὰρ ἡ BaPa* Walz | *καθεῖται Ba* sed *θεῖ* delet. 4 *μικρὸν Par* Mor Re 5 *τοῦ πάθους* delet. *Ba* 8 *καθεστὼς Par* Mor Re | *καὶ οὔτε τοῦτον*] *οὔτε γὰρ Par* Mor Re

9 *περικείμενον Par* Mor Re 10 *οἱ* om *BaPa* Walz 11 *ἔνδοθεν Par* Mor Re | *ὅσῃ* — 13 *σχήματος*] *ὅσον μανίᾳ παρέχεται, τοσοῦτον κατιδεῖν ὑπάρχει τὸ στέρνον· καὶ ὡς ἔχει πάθος ἡ γνώμη, καὶ τὸ στέρνον τοῦ σχήματος Par* Mor qui *πάθους* coni, Re 12 *ἐστὶ* et 13 *ὑπεδίδοτο* Walz 14 *τοῦ μέτρου* scripsi e *Pa* *τοῦ μετρίου Ba* Walz *τὸ μέτρον Par* Mor Re | *τῶν στέρνων Ba* | *ἐξώγκωται BaPa* Walz 15 *τὴν Pa* | *δὴ* om *BaPa* Walz

16 *αὐτὸ Par* Mor sed in hoc *γρ αὐτὸν* in marg, Re | *στόματος Par* et *γρ* in marg Mor 17 *κάμπτεται Par* Mor Re | *προανέχει τοῦ λίθου* scripsi cum Iacobsio Lect coll p. 507, 12 *προσανέχει τῷ λίθῳ BaPa* Walz *προσανέχει τοῦ λίθου Par* Mor Re

τοῦ λίθου καὶ μικροῦ πρὸς ὁδὸν ἐξορμᾷ καὶ δηλοῖ τῆς γνώμης τὸ μὴ μένον ἐπὶ τοῦ σχήματος.

11. *Οὕτως ὅλον τε αὐτὸν ἡ λύσσα δηλοῖ καὶ κατὰ μέρος ὑποφαίνει τὸ πάθος. ταῦτα θαῦμα μὲν κατιδεῖν, ἀδίκημα δὲ σιωπῇ παρελθεῖν.*

κδ'.

Ταῶνος. R IV 1073

1. *Μιμεῖται τὰς τέχνας ἡ φύσις καὶ ζωγράφων ἐργασίαν μετασκευάζει τοῖς χρώμασιν ἀδίδακτον ποικιλίαν ὥσπερ δεικνύειν ἐθέλουσα.*

2. *Ἦν τι τέμενος ἱερὸν κατεστεμμένον τοῖς ἄνθεσιν. ἐδόκει γάρ πως ὁ δῆμος ἐπείγεσθαι πρὸς πανήγυριν. ἄρτι δὲ τὰ προπύλαια τοῦ τεμένους ἑωρακὼς κατεῖδόν τι τοιοῦτον.* 3. *ὄρνις ἦν ἔνδον Περσικός, τοῦτο γὰρ αὐτὸν καλούντων τῶν ἱερέων ἀκήκοα, μεγέθει μέν που κύκνων οὐ λίαν ἀπολειπόμενος, χερσὶ δὲ ζωγράφων τὸ σῶμα καθάπερ μυρίοις κατακοσμούμενος χρώμασιν.* 4. *Ὅμηρος μὲν γάρ που κατὰ τὴν ποίησιν πολλάκις τὴν μὲν βασιλίδα τῶν θεῶν βοῶπιν*

---

5 cf. p. 531, 12 sq. 14 cf. p. 529, 5. Cratin. Ὡρ. com. fr. II 162 M (I p. 91, 259 K). Arist. av. 485; 707. Hesych. s. v. *Περσικός* 18 Ael. nat. an. V 21 19 Il. *α* 551, 568; *δ* 50; *θ* 471; *ξ* 159; 222

---

1 *δῆλον* Walz 2 *μημένον Pa* *μεμηνὸς* Walz 3 *καταμέρος Pa*
7 *ταῶνος ἔκφρασις BaPa* Mor Re *ἔκφρασις ταῶνος Par*
8 *ἐργασίας* Walz 10 *δεικνύει* Mor Re | *ἐθέλουσαν Par* Mor Re
11 *τί BaPa* 15 *αὐτὸν* scripsi e *Ba* *αὐτὸ PaPar* edd
16 *πως Par* Mor Re *τῶν* Iacobs Lect Anth. Pal. III 55 Ach T 478 | *χρώμασι δὲ ζωγραφῶν* Iacobs Anth Ach 17 *καθάπερ* om *BaPa* Walz | *κατακοσμούμενον Pa* sed *ν* in *ς* corr m² et coni Mor 18 *ὄμμασιν* Pierson Verisim. 147 Iacobs ll. ll. *ἄσμασιν Par* Mor sed in hoc *ἴσ. χρώμασιν* in marg, Re cf. l. 9 et p. 529, 5

προσονομάζει ὀφθαλμῶν τὸ κάλλος οὕτω τιμᾶν βουλευσάμενος, καὶ γλαυκώπιδα κούρην ἀνακηρύττει τοῖς ἔπεσιν. 5. ἀλλ' ὁ μὲν μέρος τοῦ σώματος εἰς εὐμορφίαν χαρίζεται τοῖς θεοῖς, ὁ δ' ἐν ὅλῳ τῷ σώματι .... καὶ πτέρυγας φορῶν ἑωρᾶτο τῶν ὀρνίθων τὰς κρείττονας. ἐκ μὲν γὰρ κεφαλῆς καὶ βασιλείας εἶχε γνωρίσματα ἐπὶ τοῖς ἀνεστηκόσι πτεροῖς καὶ πόρρωθεν καταλάμπουσι. 6. τὸ δὲ τῆς δειρῆς χρυσαυγὲς κυανέῳ συμμίσγει, καὶ θείας ⟨ὂν⟩ ὄντως χάριτος ζωγράφοις γράψαι καὶ τυπῶσαι συγχωρήσομεν. τὰ δὲ λοιπὰ τῶν πτερύγων εἰς ἄκρον ἐξησκημένα τοῖς ὀφθαλμοῖς καὶ ἀστράπτοντα τοῦ Παιανιέως ἐπιζητεῖ τὴν δεινότητα. 7. ἐπειδὴ δὲ τοῦ ὄρνιθος ἐθεασάμην καὶ κίνησιν, ἐπείγει με λόγος ἐξειπεῖν καὶ τὰ τῆς ὁρμῆς παράδοξα θαύ- R IV 1074 ματα. ἄρτι γὰρ ἑκατέρωθεν | τὰς πτέρυγας ὥσπερ εἰς πτῆσιν δονήσας καὶ κυρτῶσαί πως ὑπὲρ κεφαλῆς βιασάμενος ἀγάλματος μὲν κάλλιστον ἐπεδείκνυτο τύπον ναοῦ τε λαμπροῦ καὶ προσκυνῆσαι τὸν θεατὴν

---

1 cf. p. 269, 3 sq. 2 Il. ω 26. Od. β 438 16 cf. pict. pariet. Trevir. Roem.-Germ. Correspondenzblatt VII p. 42 fig. 22

---

1 ὀφθαλμοῦ *Ba* | οὔτε *Par* et γρ in marg Mor 2 καὶ γλαυκώπιδα] γλαυκώπιδα δὲ *Par* Mor Re 3 ἔπεσι *Par* | ὁ μὲν] ὅπερ *Par* Mor Re 4 τοῖς — 5 κρείττονας] τῶν ποιητῶν ἡ δεινότης (ἤδεινότη *Par*) τοῦ ὅλου σώματος καὶ πάσης (πᾶσαι *Par*) πτέρυγος (γρ. πᾶσαι πτέρυγες in marg Mor) φορῶν ἑωρᾶτο σαφῶς τῶν ὀρνίθων ὁ κάλλιστος *Par* Mor Re | post σώματι lacunam indicavi 5 ὡρᾶτο *Ba* ὁρᾶτο *Pa* ὁρᾶται Walz 7 ἐπὶ — 8 καταλάμπουσι] ἐπανεστηκόσι πτεροῖς καὶ τὰ πόρρωθεν *Par* Mor Re 8 κυανῷ *Par* Mor Re 9 συμμίγει· *BaPa* | ὂν inserui om libri edd | τῆς ante χάριτος et εἰ ante ζωγράφοις *Par* Mor Re 12 τοῦ — δεινότητα praemissis vocibus ταῦτα μὲν οὖν excerpsit *Vo* | et 13 τοῦ om Mor Re 13 ἐπείγοι *Par* Mor Re 14 εἰπεῖν *Par* Mor Re | παράλογα *Par* Mor Re 16 λοιπὸν post καὶ *Par* Mor Re | κυρτώσας Mor sed γρ κυρτῶσαι in marg, Re | που Walz 18 καὶ post τε *Par* et γρ in marg Mor

προτρεπόμενος ὡς ἀγάλματος λαμπροῦ δεδουλωμένον τῷ θαύματι. 8. *Ἀπελλῆ, ζωγράφων κάλλιστε, τότε σου τῆς τέχνης ἐγὼ κατεφρόνησα ἐπ' Ἀττικῇ τέχνῃ τιμωμένου, Παρρασίου δὲ γραφὰς παρ' οὐδὲν ἐποιησάμην ὄρνιθος Περσικοῦ νενικημένας τοῖς χρώμασιν.*

9. *Ἀλλ' ἰδού, ζωγράφων ἐλέγξας τὴν τέχνην ὄρνις Ἀττικὸς ἀμείνων ταύτης δεδήλωται, ὡς καὶ τῷ ἐπαινεῖν ἐθέλοντι τὸ τῆς θέας ἔχειν ⟨ἢ⟩ τῆς ἀκροάσεως βέλτιον.*

κε'.

Τοῦ Τυχαίου. R IV 1113

1. *Τύχαι δὲ ἄρα πάντα μὲν τὰ ἀνθρώπινα ὅπῃ βούλονται φέρουσιν, ἐγκαθίδρυνται δὲ δικαίως ταῖς πόλεσιν, ἐξ ὧν ἅπαντα δικαίως κατορθοῦσι τιμώμεναι. καὶ τὰς μὲν ἐν ἑκάστῃ τῶν πόλεων ἱδρυμένας οἱ παρ' ἑκάστην θεώμενοι φράζουσιν, ἐγὼ δὲ ἣν τεθέαμαι καὶ διεξέρχομαι.*

---

2 cf. p. 541, 17 7 Ael. nat. an. V 21
11 O. Mueller Ant. Antioch. p. 40 not. 9. Ausfeld Mus. Rhen. LV 367

---

1 *προτρεπομένου* Iacobs Lect | *ὡς* om *Par* Mor Re
2 *Ἀπελλῆ* — 3 *κατεφρόνησα* excerpsit *Vo* | *Ἀπελλῆ* om Mor Re *ἀτελῆ Par* 3 *πρῶτον* ante *τῆς Par* Mor Re | *εὔφραν'* ante *ἐπ' Par*, *ὡς ἀτελῆ· ὄφρα γ'* Mor Re | *Ἀττικῇ τέχνῃ* scripsi *ἀττικῆς τέχνης BaPa* Walz *ἀττικῆς τέχνη Par* Mor Re | *τιμώμενος Par* Mor Re 4 *Παρρασίου* scripsi *ὁρίου BaPa* Walz *ὁρείους Par* *ὡραίους* Mor Re | *παρουδὲν Par* 5 *νενικημένας* scripsi cum Iacobsio Lect Anth. Pal. III 55 *νενικημένος BaPar* Mor Re *νενικημένου Pa* Walz 6 *ἰδοῦ* Walz | *ἰδοὺ γὰρ ζωγράφον ἐλέγξας τῆς τέχνης γραφῆς ἄμεινον* (*ἀμείνονος* Mor Re) *ἀττικοῦ τῷ λόγῳ δεδήλωται Par* Mor Re 7 *τῷ ἐπαινεῖν ἐθέλοντι* scripsi *τῶν ἐπαινεῖν ἐθελόντων BaPa* *τοὺς ἐπαινεῖν ἐθελήσαντας Par* Mor Re *τῶν θεῶν ἐπαινεῖν ἐθελόντων* Walz 8 *ἢ* inserui om libri edd | *τῆς* om *BaPa* Walz 9 *ἄμεινον Par* Mor Re
13 *ἐγκαθίδρυνται Ba* sed *ἐγκαθ* delet. 15 *ἐν ἑκάστῃ* delet. *Ba* *καθ' ἑκάστην* All Re

2. Τέμενος ἐν μέσῳ τῆς πόλεως ἵδρυται συγκείμενον μὲν ἐκ πλειόνων θεῶν, Τύχης δὲ ἅπαν ὠνόμασται. καί μοι δοκοῦσιν οἱ τὴν κλῆσιν τῷ χώρῳ προσθέντες εἰς τὸ δέον ποιεῖν. οἷς γὰρ ἅπαντα Τύχη συγκρύπτεται, τούτοις ἡ θεῶν ἀπὸ τῆς Τύχης συνεκέκρυπτο κλῆσις. 3. κατεσκεύασται δὲ ὁ χῶρος ὧδέ πως. ἤσκηται μὲν ἅπας ἐξ ἐδάφους εἰς ὀροφήν, διῄρηται δὲ ἡ κατασκευὴ κατὰ κύκλους ἡμίσεας, ἐφ' ἑκάστῳ δὲ παντοδαπαὶ προβέβληνται κίονες. 4. οἱ δ' αὖ κύκλοι εἰσὶ πρὸς ἀγαλμάτων ὑποδοχὰς ἀνιστάμενοι καὶ μετρεῖν ἔξεστι τοὺς κύκλους μὲν τοῖς ἀγάλμασιν, ἐκ δὲ τῶν ἀγαλμάτων παρεστήκασι κίονες. 5. θεοὶ δέ εἰσιν ἀνεστηκότες οὐ πάντες, ἀλλ' ὅσοι δύο καὶ δέκα τὸν ἀριθμόν. καὶ κορυφὴ μὲν ἔχει τὸν οἰκιστὴν ἐξ ἑτέρων ἄκρων καὶ μέσων, ἀνέστηκε δὲ φέρων μὲν αὐτὸς τοῦ Σωτῆ-
R IV 1114 ρος | ὑπόμνημα, φερόμενος δὲ δι' ὧν ἡ πόλις εἴωθε τρέφεσθαι. καὶ σημαίνει τῆς γῆς τὴν φύσιν ἡ Χάρις, κυκλοῖ δὲ κατὰ μέσον ἥμισυ ὅσον ἀριθμὸς θεῶν ὀνομάζεται. 6. καὶ μέσον ἐκ μέσου Τύχης ἕστηκεν ἄγαλμα στεφάνῳ δηλοῦν Ἀλεξάνδρου τὰς νίκας. καὶ στέφεται μὲν ὑπὸ Τύχης ἡ Γῆ, στέφει δὲ αὐτὴ τὸν νικήσαντα. Νῖκαι δὲ τῆς Τύχης ἑκατέρωθεν ἀνεστήκασι καλῶς τοῦ δημιουργοῦ τῆς Τύχης δηλοῦντος τὴν δύναμιν, ὡς πάντα νικᾶν οἶδεν ἡ Τύχη. 7. τελευ-

21 Cf. Ann. d. Inst. arch. XLII 216 sq.

3 *καί μοι* delet. *Ba* | *ἡ* All Re 4 *συγκρύπτεται Ba* sed *πτεται* delet. 5 *συνεκέκρυπτο Ba* sed *κε* inser m² 6 *ἤσκητο Pa* Walz 8 *ἡμισέας Ba* cf. Phryn. p. 41, 31 ed. Bekker. 13 *οὐ* scripsi *οἱ BaPa* edd | *παν' Ba* | *καὶ δέκα τὸν* scripsi *κατὰ δέκατον BaPa* edd 14 *κορυφὴν* Walz 17 *εἴωθεν Pa* Walz | *δόσιν* et 18 *κύκλοι* All Re 18 *ἥμισυ Ba* sed *υ* corr m² 22 *ἀνεστήκασιν BaPa* edd 23 *καλὴν* Walz | *δηλοῦ Ba* *δηλοῦντα Pa*

τᾷ δὲ ἡ τοῦ χώρου κατασκευὴ πρὸς ἡτοιμασμένον ἐξ ἀγάλματος δάφνινον στέφανον. καὶ φιλοσοφεῖ εἷς ἐπὶ καθέδρας ἄκρον, γυμνὸς δὲ ἕτερος πρὸς τὸ λοιπὸν ἄκρον ἀνέστηκεν οὐρανοῦ μὲν ἐπὶ τῆς λαιᾶς φερόμενος πρόσχημα, τὴν δ' αὖ δεξιὰν εἰς ἅπαντα πρόχειρον, γυμνὸς δὲ προκαλύμματος ἵσταται. 8. *καὶ στῆλαι χαλκαῖ κατὰ μέσον ἑστήκασιν ἔδαφος ἐγκεκολαμμέναι τὰ τῆς πόλεως νόμιμα. καὶ κατὰ μέσον αἱ πύλαι παρὰ τὸ Μουσῶν ἄγουσαι τέμενος. χαλκοῖ δὲ βασιλεῖς κατὰ μέσον ἑστήκασιν οὐχ ὅσους ἐκόμισε χρόνος, ἀλλ' ὅσοι τῶν κομισθέντων ἦσαν σεμνότατοι.*

9. *Ταῦτα θαῦμα μὲν ὑπῆρχεν ἰδεῖν, κέρδος δὲ μαθεῖν, ἀδίκημα δὲ σιωπῇ κατακρύπτεσθαι.*

κϛ'.

Ἡρακλέους βαστάζοντος τὸν Ἐρυμάνθιον κάπρον. R IV 1068

1. *Ἡρακλεῖ δὲ ἄρα γενομένῳ Διὸς οὐρανὸς μὲν ἐμαρτύρει τὴν γένεσιν, ἐδήλου δὲ ἡ γῆ καθαιρομένη τοῖς ἄθλοις. Νεμέα μὲν γὰρ αὐτῷ τῶν ἀγώνων ἀρχὴ καὶ μετὰ ταύτην Ἐρύμανθος κάπρον ἤνεγκεν ἀγώ-*

---

9 cf. p. 521, 1 et 4 et 7
17 cf. p. 497, 6

---

2 *δάφνινον* scripsi *ἐλάφειον BaPa* edd 2 sq. num locus labem contraxit? 4 *ἄκρον* om All Re | *ἀνέστηκε Pa* 5 num *πρόχειρον* ⟨*ἔχων*⟩? 6 *ἵσταται Ba* sed *ῖ* delet. 9 *τὸ* scripsi *τῶν BaPa* edd | *βασιλεῖς* — 13 *κατακρύπτεσθαι* omisso *κατὰ μέσον* excerpsit *Vo* 11 *σεμνότατοι* scripsi *σεμνότεροι BaPaVo* edd 13 *παρελθεῖν Vo* cf. p. 538, 10; 527, 5

15 *ἀλυμάνθιον Par* 17 *ἡρακλῆς* et *γενόμενος ParB* Mor sed in hoc *ἴσ.* *Ἡρακλέους* et *γενομένου*, Re 18 „*fort. δὲ καὶ ἡ γῆ*“ Re 20 *μεταταῦτα Par* | *ταύτην* scripsi e *BaPaB* *ταῦτα Par* edd | *ἐρυμάνθιον ParB* Mor Re | *ἤνεγκεν* scripsi cum Sinteni *ἐνεγκὼν* libri edd sed „*videtur hic aliquid deesse*“ Re

νισμα δεύτερον. καὶ κρατούμενον μὲν εἶδε τὸν κάπρον Ἐρύμανθος, ἐγὼ δὲ μετ' αὐτὸν ἐπὶ χαλκῆς εἰκόνος φερόμενον καὶ ὅπως εἶχε κατιδὼν διηγήσομαι.

2. Χῶρος ἦν ἐν ἄστει περιφανής, καὶ παρ' αὐτὸν Ἡρακλῆς ἐν παντοδαποῖς ἀνεστηκὼς ἀγωνίσμασι. καὶ τοῖς μὲν ἄλλοις ἔτι πονῶν ἐξεικάζεται, τὸν δὲ δὴ κάπρον ἤδη λαβὼν ὥσπερ ἀγανακτούσης τῆς τέχνης εἰ πόνων Ἡρακλῆς ἐπὶ κάπρῳ δεήσεται. 3. γυμνὸς οὖν, ὥσπερ εἰώθει, ἵσταται. τὸ δέ οἱ πρόσωπον ἅπαν βλέπει εἰς γῆν. ὤμους δὲ ἀμπέχει ἡ λεοντῆ καὶ βάθρον ἐστὶν ἀγωνίσματος αὐτὴ φανεῖσα πρωτεῖον ἀγώνων. 4. ταῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν ἀνῃρημένον ἔχει τὸν κάπρον, ἡ δ' αὖ λαιὰ ὡς πρὸς ἆθλον ἡτοίμασται. τὸ δὲ δὴ

---

1 καὶ κρατούμενον μὲν] κατοικούμενον οὖν *BaPa* Walz | εἶδε scripsi ut coni Re coll p. 500, 8; 504, 15; 516, 6; 537, 3 εἶχε *BaPa* Walz εἷλε *ParB* Mor Re 2 ὁρῶ δὲ μετ' αὐτοῦ *BaPa* Walz | αὐτὸν post χαλκῆς *BaPa* Walz 4 περιφανής scripsi cum Peterseno comm. III 7 περιφανεῖ libri edd | αὐτῷ *ParB* Mor Re 5 „*aut* κἂν τοῖς μὲν ἄλλοις *leg. scil.* ἀγωνίσμασι *aut* καὶ τοὺς μὲν ἄλλους ἄθλους" Re num κἄν? 6 τοὺς μὲν ἄλλους *ParB* et γρ in marg Mor | πόνοις Walz | τούτῳ δὲ τὸν κάπρον Petersen 7 ἤδη om *BaPa* Walz | παραλαβὼν *ParB* Mor Re qui καταβαλὼν coni | „*ante* ὥσπερ *aliquid excidit, ut etiam aliae lacunae sunt in hoc capite*" Iacobs Lect | ὥσπερ — 8 δεήσεται excerpsit *Vo* | καὶ ὥσπερ ἀγανακτήσας πονῶν (*Ba* sed ων delet. πόνῳ Walz) ἐπικάμπτεται *BaPa* Walz 8 Ἡρακλῆς — δεήσεται om *BaPa* Walz | ἐπὶ κάπρῳ scripsi e *Vo* καί πως *ParB* Mor Re καὶ οὕτως Iacobs Lect πάντως Petersen | καὶ παυσάμενος vel πεπαυμένος ἐπιδεήσεται coni Re 9 βλέπει om *Par B* Mor Re 10 ἄθλον Petersen | ἦν *ParB* Mor Re 11 αὐ$^{\tau}$ *Pa* | πρωτεῖον scripsi πρώτη *Ba* Walz πρω$^{\tau}$' *Pa* τὸ πρῶτον *Par B* Mor Re 12 ἡ inserui cum Walzio om libri Mor Re | δεξιᾶ *BaPa* 13 ἡ — ἡτοίμασται] καὶ τοῦ ὄπισθεν ἔχει τὸν δεξιὸν (ἑξῆς Mor sed γρ ἐξὸν in marg, Re) ὥσπερ οὐδ' ὂν Ἡρακλεῖ πρὸς τοὺς ἄλλους εὐώνυμον *ParB* Mor Re ὥσπερ οὐδὲν Ἡρακλεῖ πρὸς τοὺς ἄθλους εὐώνυμον ὄν Iacobs Lect | τὸ δὲ δὴ] καὶ *BaPa* Walz

στέρνον ἀνέστηκεν ἅπαν ὥσπερ τῶν προσόντων οὐδὲν αἰσθανόμενον. 5. *τῶν δὲ ποδῶν ὁ δεξιὸς εἰς γόνυ κέκαμπται, ὁ δ' αὖ λαιὸς ὀρθὸς ἕστηκε καὶ προσερείδει τὸ βάθρον δηλῶν ἐξ ἐπιγραμμάτων τὸν τεχνησάμενον.* 6. *ἐπὶ | δὲ τῶν ὤμων ὁ κάπρος ἀνῃρημένος μὲν* R IV 1069 *τέταται, διῄρται δὲ οὐχ ὡς ἔπεσεν, ἀλλ' ὥσπερ δεσμοῖς ταῖς Ἡρακλέους χερσὶ προκατείληπται. καὶ φέρουσι κείμενον αἳ μαχόμενον ἔκτειναν.*

7. *Ταῦτα εἰ μὴ θεώμενος ἔφραζον, ἠδίκουν ⟨ἂν⟩ τὸ κατασκεύασμα.*

κζ'.

Ἀλεξάνδρου τοῦ κτίστου. R IV 1120

1. *Κτίσται δὲ ἄρα περιφανεῖς πλεῖστοι μὲν καθεστᾶσι τῶν πόλεων, μάλιστα δὲ πάντων Ἀλέξανδρος, ὃς πόλιν ἀνέστησεν οἵαν οὐχ ἕτερος. δηλοῖ δὲ αὐτὸς παρὰ ταύτην ἀνεστηκὼς ὡς ἐπὶ γῆς ἐμφανοῦς οἰκιστὴς ἐμφανέστατος. τὴν γὰρ πόλιν θαλάσσῃ πρόσοικον ἤγειρεν, αὐτὸς δὲ παρ' αὐτὴν ἀνέστηκε θάλατταν.* 2. *καὶ τὴν φύσιν αὐτοῦ ἡ ἐπὶ τῆς εἰκόνος δείκνυσι στάσις. πρῶτον μὲν γὰρ αὐτὸν ἐποχούμενον ἵππος ἀνέσχεν, ἵππος δὲ οὐχ οἷον ἄν τις ῥᾳδίως μεταχειρίσειεν, ἀλλ'*

---

9 cf. p. 490, 15; 527, 4; 531, 12

---

1 *ἀνέστηκε Pa* 2 *ὁ δὲ δεξιὸς ποὺς BaPa* Walz | *κάμπτεται ParB* Mor Re 3 *ὁ — ἕστηκε* om *B* | *καὶ ὁ λαιὸς ὀρθὸς ἑστηκὼς προσερείδει BaPa* Walz 4 *ἐπιγράμματος PaB* Mor Re | *τὸν* om Mor Re 6 *διῄρται* scripsi coll p. 535, 3 *διῄρηται* libri edd | *δὲ* om *BaPa* Walz | *πέσεν Pa* 7 *τοῖς Ba* | *χερσὶν* Mor Re 9 *ἂν* inserui om libri edd

13 *καθεστᾶσι* scripsi *καθεστ*[σ] *Ba* sed 1 litt post *τ* delet. *καθεστήκασι BaPa* Walz *καθέστασαν* All Re 14 *τῶν* om All Re 16 *περὶ* All Re 19 *αὐτοῦ* scripsi *αὐτῆς BaPa* edd 20 *ἐποχούμενον Ba* sed *χού* delet. 21 *ῥᾳδίως* om All Re

οἷος πρὸς τοὺς ἐκείνου κινδύνους ἀρκέσει. καὶ τὸ τάχος τῶν ἔργων ἡ τοῦ φέροντος ἐπιδείκνυται ῥύμη. 3. *ἔπειτα αὐτὸς κράνος μὲν οὐδὲν εἶχεν ἐπὶ τῆς κεφαλῆς. οὐ γὰρ ἐδεῖτο τοῦ προκαλύμματος ὁ γῆν ἅπασαν ἐννοῶν παραστήσασθαι καὶ περισκοπεῖν. δοκεῖ δέ μοι πάντα τοῖς ὄμμασιν ἐνεῖναι, ἃ προϊὼν κατεστρέψατο. σχῆμα πρὸς ὅλην ἀποβλέπει τὴν γῆν, καὶ τὸ πᾶν ὡς εἰπεῖν συλλήβδην φαίνει τὸ πρόσωπον.* 4. *κόμη δὲ ἀνειμένη πρὸς αὔρας καὶ πρὸς ὁρμὴν τοῦ φέροντος κλίνουσα. καί μοι δοκοῦσιν οἷον ἀκτῖνες εἶναι πρὸς ἥλιον αἱ τρίχες αὐτῆς.* 5. *ἔπειτα δειρὴ τῷ προσώπῳ συναπονένευκε. καὶ ἡ δεξιὰ χεὶρ μετέωρος αἴρεται καὶ λαβεῖν ἀεί τι δοκεῖ καὶ τὸ πρόσω ζητεῖν τὸ παρὸν καταστρέψασα. ἡ δὲ λαιὰ συνεσταλμένην ἔχει χλαμύδα καὶ ταῖς αὔραις αὐτὴν οὐ κατέλιπε φέρεσθαι καὶ δεσμὸς κατέστη τοῖς πνεύμασι.* 6. *στέρνον δὲ ἅπαν ἐξῳδημένον φαίνεται, θώρακι⟨δὲ⟩καὶ χλαμύδι συγκέκρυπται, καὶ διπλᾶ φέρει τῶν καιρῶν ὑπομνήματα, θώρακα μὲν τοῦ πολέμου τὸ σύμβολον, χλαμύδα δὲ τῆς εἰρήνης τὸ γνώρισμα. καί μοι δοκεῖ τὴν διάνοιαν ὁ δημιουργὸς παραστήσασθαι τὴν χλαμύδα προσθεὶς ἐπάνω τοῦ θώρακος. οἷς γὰρ εἰρήνης πόλεμον ἐτίθετο δεύ-*

4 sq. epigr. apud Plut. de Alex. virt. II 2 p. 335 B

1 *κινδύνους* delet. *Ba* *ἀγῶνας* All Re 2 *τῶν ἔργω Pa* *τῷ ἔργῳ* Walz | *ῥύμη* scripsi auctore Iacobsio Lect Anth. Pal. III 853 Ach T 463 *ῥώμη BaPa* edd 3 *εἶχεν ἐπὶ* scripsi *ἦγεν ἐπὶ Pa* Walz delet. *Ba* *ἦγε ἐπάνω* All Re *ἔχει ἐπάνω* Iacobs Anth. 5 *περισκοπεῖν Ba* sed *σκοπεῖν* delet. *περιποιήσασθαι* All Re 6 *ἐνεῖναι* scripsi *εἶναι BaPa* edd *σημῆναι* Iacobs Lect Anth. App. Pors. 334 7 *ἀποβλέπον* Walz *ἀποβλέποντος* Iacobs Lect | *γῆν* delet. *Ba* 8 *μόνη Pa* 10 *εἶναι* delet. *Ba* om All Re 11 *δειρὰ Ba* All Re 12 *δεξιὰ χεὶρ* scripsi *χεὶρ δεξιὰ BaPa* edd 13 *τι*] *μοι* All Re | *ζητεῖν* scripsi cum Iacobsio Lect *ζητεῖ BaPa* edd 17 *δὲ* inserui om *BaPa* edd 19 *χλανίδα BaPa* Walz 22 *οἷς* scripsi cum Iacobsio Lect Anth. Pal. III 83 *οἵοις BaPa* edd

τερον, τούτοις ὁ θώραξ τῇ χλαμύδι συγκέκρυπται, καὶ τὸ λανθάνον παρέσχε δοκεῖν ἀτιμότερον. 7. ἔπειτα μηρὼ διηρμένω πρὸς ἵππον καὶ πόδες ἄμφω μετέωροι. καὶ ⟨ὁ⟩ δεξιὸς μὲν ἀντὶ κέντρου προσάπτεται, ὁ λοιπὸς δὲ αὐτόνομος φέρεται. Μακεδονικὰ δὲ φέρεται πέδιλα, ἃ καὶ κνήμην περιστέλλει οὐχ ὅλην, ἀλλὰ τὸ μὲν τῆς κνήμης ἔστιν ἰδεῖν, τὸ δὲ πρὸς | μάχην R IV 1121 ὁπλίζεται. καὶ τὰ μὲν ἀμφότερα πρὸς εἰρήνην διαιρεῖται καὶ πόλεμον, καὶ τὰ μὲν πρῶτα βλέπει πρὸς πόλεμον, τὰ δὲ λοιπὰ πρὸς σπονδὰς ἀπονένευκε. κινδύνους γὰρ σπονδαὶ διαδέχονται. 8. καὶ ὧδε μὲν ἔσχεν Ἀλέξανδρος, ἐποχεῖται δὲ καὶ μάλα ῥᾳδίως ἐφ' ἵππου καὶ τὸν ἔποχον ὁ κομίζων ἐνδείκνυται, μᾶλλον δὲ δι' ἑκατέρου κατιδεῖν ἑκάτερον πάρεστιν Ἀλεξάνδρου μὲν τὸν ἵππον οἷον δεικνύντος, τοῦ δ' ἵππου δηλοῦντος τὸν ἐποχούμενον. 9. κεφαλὴ μὲν γὰρ ὡς οἵα νομισθῆναι βοὸς καὶ τὴν προσηγορίαν εἴληφεν ἐξ ὧν ἐνομίζετο, φύσιν ⟨δὲ⟩ ἑτέραν τὰ πρῶτα παρεδήλου τοῦ σώματος. μόνον οὐ κέρας ἀνεῖχε τὸ πρόσωπον. χαλινὰ κατέχειν οὐκ εἴα. οὐ γὰρ οἷος εὐθύνεσθαι, μᾶλλον δὲ χαλινοῦ τέχνην ἔδειξεν ἄπρακτον, καὶ τοῖς μὲν ἄλλοις οἷος μὴ κατεσχῆσθαι, Ἀλεξάνδρῳ δὲ χαλινῶν εὐπειθέστερος. 10. ὄμμα δὲ φοβερὸν καὶ μόνον οὐ φοβοῦν πρὸ

9 cf. p. 492, 6 sq. 17 Plut. Alex. 6

1 *χλανίδι BaPa* Walz 2 *ἀτιμότερον* scripsi cum Iacobsio ll. ll. App. Pors. 334 *ἑτοιμότερον BaPa* edd 3 *διηρμένω* scripsi *διῃρημένω BaPa* edd 4 *ὁ* (1) inserui om *BaPa* edd 5 *φέρετον Ba* *φέρει τὰ* All Re 7 *μάχην* scripsi *εἰρήνην BaPa* edd 10 *ἀπονένευκεν* All Re | *κίνδυνον* All Re 13 *ἵππον* All Re 14 *πάρεστι Pa* | punctum post *πάρεστιν BaPa* edd delevi 17 *οἵα* scripsi e *BaPa* *οἷα* All Re *οἵαν* Walz 18 *δὲ* inserui om *BaPa* edd | *τοῦ*] *τὰ Pa* 20 *οἷον* Walz 22 *κατεσχῆσθαι* scripsi *κατασχέσθαι BaPa* Walz *κατέχεσθαι* All Re 23 *μονονοὺ BaPa* edd

τοῦ βάλλοντος. ῥῖνες δέ οἱ διεγείρονται πνεύμασι, καὶ τὴν μὲν ὀργὴν ὁ θυμὸς κατεμήνυεν, ἐδήλου δὲ τὸν θυμὸν τὸ προκάλυμμα. δειρὴ δὲ ἐπὶ πλεῖστον οὐχ ἥκουσα, συνέστελλε γὰρ ἡ φύσις πρὸς τὴν ὁρμήν. 11. *καὶ οἱ πόδες οἱ πρόσθεν ἠρμένοι καὶ πρὸς ἀέρα μετέωροι καὶ χωρεῖν πρὸς τὸ πρόσθεν ἐπείγονται καὶ γῆς οὐκ ἐθέλουσιν ἅπτεσθαι τοῦ δημιουργοῦ καλῶς ἐκ τῆς γῆς ἀπαρτήσαντος. πεφύκασι γὰρ ἰθύειν ἑτοιμότατοι καὶ γῆς ἐπιβαίνειν καὶ δοκεῖν τῆς γῆς μὴ προσάπτεσθαι. οἱ δὲ τελευταῖοι πρὸς τὸ βάθρον ἐρείδονται καὶ δοκοῦσιν ἰσχὺν διδόναι τοῖς ἔμπροσθεν καὶ ὃ πρὸς γῆν ὑπομένουσι παθεῖν τοὺς λοιποὺς οὐ παρέχουσιν.* 12. *οὐρὰ δὲ οὔτε ὅλη καθεῖται οὔτε ἀφῃρέθη τοῦ μέτρου, ἀλλ' ἔσχε μὲν ὅσον κοσμηθῆναι τὴν φύσιν, παρείλατο δὲ ὅσον ἐμποδὼν μὴ γενέσθαι ταῖς μάχαις.*

13. *Ἀνέχει δὲ αὐτὸν ὑπὲρ γῆς βάθρον τέτρασιν ἐπικείμενον κίοσι. καὶ τὸ μὲν βάθρον ἐπικείμενον σημαίνει τὴν γῆν, αἱ δὲ κίονες τῶν τμημάτων ἕκαστον φέρουσιν ἐφ' ὅσα προῆλθεν Ἀλέξανδρος. πρὸς γὰρ* † *ἀνίσχοντα φέρουσιν ἥλιον καὶ ἐν ἄρκτῳ δηλοῦται τεταμένη πρὸς νότον ὁπόσα τῆς γῆς Ἀλέξανδρος ἔχει.*

14. *Καὶ λῆξαι τοῦ λέγειν περίεστιν, εἰ μή τις καὶ πλέον θαυμάσειεν.*

---

1 *δὲ οἱ* (*οἳ Pa*) *BaPa* All Re 3 *δειρὴ δὲ* scripsi *δειρή τε BaPa* edd 4 *συνέστελε Pa* 8 *ἰθύειν* scripsi *ἰθεῖς Ba Pa* edd *ἰθῦσαι* Iacobs Lect | comma post *ἑτοιμότατοι BaPa* All Re, colon Walz delevi 9 *μὴ* om *BaPa* inser All 12 *ὀργὴν Pa* Walz | *λοιπὸν Pa* 15 *παρείλατάι* All Re | *γενέσθαι* scripsi *γένηται BaPa* edd 17 *ὑπὲρ* scripsi *ὑπὸ BaPa* edd | *τέτταρσιν?* 19 *ἕκαστον* scripsi *ἑκάστῳ BaPa* All Re *ἑκάστη* Walz 21 locus labem contraxit | *φαίνουσιν?* | *τεταμένα?* 22 *'Αλέξανδρος* scripsi *ἀλέξανδρον BaPa* edd

κη'.

Ἐτεοκλέους καὶ Πολυνείκους. R IV 1119

1. Τὰ δὲ Θηβῶν ἀτυχήματα τεθέαται μὲν κατὰ μέσον Ἑλλάς, ὅλη δὲ παρὰ τὰς Ἀθήνας ἐπὶ τῆς σκηνῆς ἐθεάσατο γῆ. καὶ κατὰ μέρος αἱ πόλεις εἰλήφασι χαλκῷ τὸ πάθος μιμούμεναι. ἐγὼ δὲ τεθέαμαι, ὡς ἐν περιφανεῖ χώρῳ τοῦ ἄστεος ἀνέστηκε μετὰ Πολυνείκους Ἐτεοκλῆς ἐπὶ ταῖς Θήβαις τοιοῦτον πρὸς ἀγῶνα ἡτοιμασμένος, ὃν ἔξω Θηβῶν ἀγωνίζεται. 2. καὶ πρῶτον μὲν ἑκατέρων αἱ κεφαλαὶ περιβέβληνται κράνεσιν. εἶτα ἀλλήλοις πολεμοῦντες ἐκτρέπονται καὶ τὰ πρόσωπα ⟨καὶ⟩ βλέπειν ἀλλήλους οὐκ ἀνεχόμενοι δηλοῦσι τὴν φύσιν ἀδικουμένην παραλόγῳ τολμήματι. δειραὶ δὲ τοῖς προσώποις συναπονεύουσι. 3. καὶ τὸ ξίφος ὁ μὲν ἐπανέχει τῇ δεξιᾷ καὶ δηλοῖ τῇ πληγῇ ὅτι πάθος ἀλλότριον τῇ φύσει συνάπτεται, ὁ δὲ μιαιφονῶν καὶ βραδύτερος ἑστηκὼς καθέλκει τὸ ξίφος ὥσπερ ἔτι σκοπῶν εἰ νόμος ταῦτα παθεῖν τὴν συγγένειαν. καθεῖνται δὲ ἀμφοτέρων εὐώνυμοι. ἐξήρτηται δὲ καὶ θατέρου τὸ ξίφος ἔτι μένον παρὰ τὸν κουλεὸν ἐξηρτημένου τελαμῶνος ἐξ ὤμου. 4. τὰ δὲ στέρνα πρὸς ὄγκον ἔσχεν ἑκά-

---

2 Tatian. ad Graec. 54 11 cf. t. II 149, 11

---

3 *εὐτυχήματα* All Re 4 *μέσον Ba* sed *μέσ* delet. *τὰς Θήβας ἡ* All Re 6 *χαλκῶ Ba* sed *χαλκ* delet. *τῷ χαλκῷ* All Re 7 punctum post *ἄστεος BaPa* edd delevi 9 *ἡτοιμασμένος* scripsi *τιμώμενος BaPa* edd *ἐντυνόμενος* Iacobs Lect qui adnotat: „*τοιοῦτον an verum sit non definio*" 10 *κράνεσι Pa* 11 *ἀλλήλοις* scripsi coll l. l. *ἀλλήλους BaPa* edd | *ἐντρέπονται* All Re corr Iacobs Lect Anth. Pal. III 656 12 *καὶ* inserui om *BaPa* edd 15 *ὅτι Ba* sed *ὅτ* delet. | *πάσῃ* Walz 18 *καθεῖνται* scripsi *κάθηνται BaPa* edd 20 *ἐξηρτημένου Ba* sed *ρτημεν* delet. *ἐξήρτηται δὲ καὶ* All Re 21 num *ἔχει*?

τερος, ἐξοιδεῖται γὰρ καὶ ἀναπνεῖ πρὸς θυμόν. τῶν δὲ μηρῶν ὁ μὲν ἔχει τὸν δεξιὸν εἰς γόνυ καμπτόμενον καὶ πρὸς τὸν ἀνταγωνιστὴν ἐπικλίνοντα, ὁ δὲ τὸν λαιὸν ὁμοίως ἔκαμψεν ἐφ' ὁμοίου τοῦ σχήματος. οἱ δὲ λοιποὶ τῶν ποδῶν τὸ βάθρον ἐρείδουσι, καὶ συνάπτει τὸ βάθρον οὓς πρὸς ἀγῶνα καθεῖλκε δυσμένεια. διττοὶ δὲ τὸ βάθρον ἀνέχουσι κίονες ἑκάτεροι δηλοῦντες τῶν ἀγωνιζομένων τὸ μέτρον.

5. *Ταῦτα θαῦμα μὲν ὑπῆρχεν ἰδεῖν, ἀδίκημα δὲ σιωπῇ κατακρύπτεσθαι.*

κθ'.

R IV 1111 ## *πανηγύρεως.*

1. *Πανηγύρεων δὲ μελλουσῶν μὲν πόθος ἀνθρώποις, παρουσῶν δὲ ἡδονή, πεπαυμένων δὲ μνήμη. καὶ γὰρ αὖ τὸ μεμνῆσθαι καθίστησι τοὺς ἀνθρώπους ἐγγὺς τῶν ἔργων αὐτῶν. ἔχει δέ τινα καὶ ὠφέλειαν ἡ μνήμη. περὶ γὰρ πανηγύρεων λέγοντα καὶ περὶ θεῶν ἀνάγκη λέγειν, οἷς αὗται ποιεῖσθαι κατεδείχθησαν.* 2. *ὧν προσιουσῶν παρασκευάζονται μὲν μετ' εὐθυμίας ἄνθρωποι, παρασκευάζονται δὲ οἱ μὲν πολλοὶ ταῦτα ἀφ' ὧν* R IV 1112 *ἑστιάσονται λαμπρῶς,* | *οἱ δὲ δὴ ἀξιώτεροι ταῦτά τε καὶ οἷς θεραπεύσουσι τοὺς θεούς.* 3. *καὶ ἀγρόθεν*

9 sq. cf. p. 531, 12
13 Choric. Marc. I p. 83, 1 sq. ed. Boiss. 16 Chor. l. l. p. 82, 13 sq.

1 *ἐξοιδεῖται* scripsi coll p. 438 not 2 *ἐξοιδοῦται BaPa* edd 2 *ἔχει* scripsi cum Iacobsio Lect Ach T 636 *ἔσχε BaPa* edd | *καμπτόμενον Pa* sed *καμ* in ras *καὶ ἀπτόμενον Ba* All Re corr Iacobs Lect Ach App. Pors. 384 Meineke hist. crit. com. 407 4 *ἔκαμψεν* scripsi cum Meinekio *ἐκάλυψεν BaPa* edd 6 *καθεῖλκε δυσμένεια* paene delet. *Ba* in lac. om All Re 7 *δὲ* paene delet. *Ba* om All Re 9 *ὑπάρχει* All Re 17 *πανηγύρεων* scripsi *πανηγύρεως B* edd 18 *αὗται* scripsi *αὐτὰ B* edd 22 *θεραπεύσουσι* scripsi *θεραπεύουσι B* edd

ἄγεται βοσκήματα καὶ οἶνος καὶ τἄλλα ὅσα ἂν ἐξ ἀγροῦ γένοιτο, ἐσθῆτάς τε ἐκκαθαίρουσι καὶ σπεύδει ἕκαστος ὅπως ἂν διὰ πάντων ἑορτάσῃ. τοῖς δὲ ἐνδεεστέροις παρὰ τῶν εὐπόρων ἔστιν ἱμάτια χρησαμένοις κοσμεῖσθαι. 4. ἐπιστάσης δὲ τῆς κυρίας ἱερεῖς μὲν ἀνοίγουσι τὰ ἱερὰ καὶ ἀγαλμάτων ἐπιμελοῦνται καὶ οὐδὲν τῶν εἰς κοινὸν φερόντων ῥαθυμεῖται. μεσταὶ δὲ αἱ πόλεις ὄχλου τῶν ὁμόρων συρρεόντων ἐπὶ τὰ δρώμενα, τῶν μὲν πεζῇ, τῶν δὲ ναυσίν. 5. ἡλίου δὲ ἀνίσχοντος ἐν ἐσθήμασι λαμπροῖς ἐπὶ τὸν νεὼν φοιτῶσι θεραπεύσοντες θεὸν τοῦτον ᾧ τελεῖται ἡ πανήγυρις. ἡγεῖται μὲν οὖν ὁ δεσπότης φέρων λιβανωτόν, ἕπεται δὲ ὁ οἰκέτης ἱερεῖον κομίζων. καὶ πατράσι συνομαρτοῦσιν υἱεῖς, οἱ μὲν ἤδη αἰσθανόμενοι θεῶν ἰσχύος, οἱ δὲ κομιδῇ νέοι. 6. ὁ μέν τις ἄπεισι τεθυκώς, ὁ δὲ ἔρχεται τοῦτο δράσων. εὐχαὶ δὲ πολλαὶ πανταχοῦ καὶ πρὸς ἀλλήλους ῥήματα εὔφημα. γυναικῶν ἱερεῖα μὲν ἐν ἱεροῖς, ταῖς δὲ ἄλλαις ἀρκεῖ θεάσασθαι τὸν ὅμιλον τῶν ταῦτα ποιούντων. 7. ἐπειδὰν δὲ αὐτοῖς εὖ ἔχῃ τὰ πρὸς τοὺς δαίμονας, διαδέχονται τράπεζαι, ἐν αἷς ὕμνοι μὲν αὐτοῦ τοῦ τιμωμένου τῇ πανηγύρει θεοῦ, φιλοτησίαι δὲ καὶ ᾄσματα, σπουδαῖα μὲν τὰ τῶν σπουδαίων, εἰς δὲ γέλωτα πεποιημένα τὰ τῶν μὴ τοιούτων. 8. ἑστιῶνται δὲ οἱ μὲν ἐν τοῖς ἱεροῖς, οἱ δὲ οἴκοι. καὶ δέονται πολῖται ξένων παρὰ σφίσιν εὐωχεῖσθαι. καὶ ἐν τῷ πότῳ φιλίαι μὲν ἀρχαῖαι βεβαιοῦνται μειζόνως, αἱ δὲ ἀρχὴν

4 cf. p. 473, 3   8 Chor. l. l. p. 104, 1   10 cf. p. 474, 10

1 τ' ἄλλα *B* edd   2 ἐσθῆτά *B* All Re corr Patusa   12 ἱκέτης edd corr Iacobs Anth. Pal. III 38   19 ἔχοι *B* All Re corr Patusa Iacobs Lect 189   22 ἐς All Re

λαμβάνουσιν. ἐξανιστάμενοι δὲ οἱ μὲν τοὺς ξένους παραλαμβάνοντες δεικνύουσιν ὅ τι ἐν τῇ πόλει θέας ἄξιον, οἱ δὲ ἐν ἀγορᾷ συγκαθήμενοι διαλέγονται σὺν φαιδρότητι, κατηφὴς δὲ οὐδείς, ἀλλὰ ἀνεῖται πρὸς εὐφροσύνην τὰ πρόσωπα. 9. χρεῶν εἰσπράξεις ἠρεμοῦσι καὶ πᾶν ὅ τι λυπηρὸν ἐν δευτέρῳ γίνεται. γραφαὶ δὲ ἡσυχάζουσι καὶ δικαστὴς οὐ ψηφίζεται. τὰ δὲ ἡδονὴν ἔχοντα μόνα ἀνθεῖ καὶ οὐδὲ οἰκέταις πληγῶν φόβος, παιδαγωγοὶ δὲ τοῖς νέοις ἥμεροι. δειπνεῖν δὲ ἔνι τῆς ἑσπέρας λαμπρῶς. 10. ἔνθα δὴ πολλοὶ μὲν λαμπτῆρες

R IV 1113 ὡς | ἐμπεπλῆσθαι φωτὸς τὸ ἄστυ, πολλοὶ δὲ κωμασταὶ καὶ αὐλῶν εἴδη καὶ συρίγγων ⟨καὶ⟩ ἐν στενωποῖς ᾠδαὶ τῶν μὲν τὰ αὐτὰ ᾀδόντων, τῶν δὲ οὐ τὰ αὐτά. τότε καὶ εἰς μέθην πιεῖν οὐ πᾶν ὄνειδος. δοκεῖ γάρ πως καὶ τούτου τὴν αἰσχύνην ὁ καιρὸς ἀφαιρεῖν. 11. τῇ δὲ ὑστεραίᾳ τὸ μὲν θεῖον οὐκ ἀμελεῖται, βραχύτεροι δὲ οἱ τῇ προτεραίᾳ θεραπεύσαντες στείχουσιν ἐπὶ τὰ θεάματα, οἷς μέν εἰσι στίχων ἅμιλλαι, ἐπὶ ταῦτα, οἷς δὲ ἐν ταῖς σκηναῖς, ἐπ' ἐκεῖνα. 12. καὶ ἡ τρίτη δὲ οὐ πολὺ τούτων λείπεται, καὶ συνεκτείνονται τῷ χρόνῳ τῶν ἑορτῶν αἵ τε θυμηδίαι καὶ τὸ τῆς γνώμης φαιδρόν. ληγούσης δὲ πανηγύρεως εὐχὴ περὶ τοῦ μέλλοντος ἰδεῖν αὖθις τὴν πανήγυριν αὐτοὺς καὶ παῖδας καὶ ἐπιτηδείους. καὶ ἀπίασιν οἱ ξένοι καὶ πολῖται παραπέμπουσιν.

2 Chor. Marc. II p. 123, 4 sq. 10 Chor. Marc. I p. 101, 8
20 sq. Chor. Marc. I p. 82, 22

2 δεικνείουσιν B edd 8 οὔτε B edd 12 αὐτῶν Re αὐλῶν εἴδη] αὐλῳδίαι Iacobs Lect Anth. Pal. III 95 App Pors Adv 289 | καὶ inserui om B edd 14 ποιεῖν B 16 βραχύτερα δὲ ἢ τῇ Iacobs ll. ll. 17 στειχοῦσιν B All Re 19 ἐπέκεινα B edd

λ'.

Κάλλους. R IV 1069

1. Τήμερον εἶδον κόρην ἐκ θυρίδος προκύπτουσαν καὶ ἰδὼν ἑαλώκειν εὐθύς. ἔμπνουν γὰρ ἐδόκουν τὴν Σελήνην ὁρᾶν ἐπὶ γῆς ἢ μεταπεπλάσθαι τὴν Ἀφροδίτην εἰς ἄνθρωπον καὶ πείθειν εἶχον ἐμαυτὸν ὡς αὔλῳ κάλλει τὸ πρόσωπον ἰνδαλμάτισται. 2. Ἔρως γὰρ ἐκ τῶν ἐκείνης ὀμμάτων ἐτόξευε. καὶ προκατελάμβανε τὴν θέαν ἡ τόξευσις. καί πως ὀφθαλμοὶ μὲν τὸ κάλλος ἐθαύμαζον, ψυχὴ δὲ τῆς ὀδύνης ᾐσθάνετο καὶ βλέπειν ἐθέλων ἀπέθανον. καὶ τὸ μὲν κάλλος γλυκύ, ἡ δὲ τρῶσις πικρά. 3. καί πως γλυκύτερον ἦν τὸ λυπεῖν. τῶν γὰρ ὀφθαλμῶν λιχνευομένων εἰς ὅρασιν τὸ κάλλος εἰς τὴν ψυχὴν διωλίσθαινε καὶ πῦρ ἐρωτικὸν τὸ πᾶν ἐλυμαίνετο. τίς γὰρ ἂν ἐκείνης τὸ κάλλος ὑπογράψαιτο; τίς παραδοίη γραφῇ; τίς διαμορφώσειε τοῖς χρώμασι; 4. καλὸς Ἀπελλῆς καὶ λόγος τούτου πολύς, ἀλλὰ μέχρι

---

2 Ach. T. I 4 3 Ach. T. I 4, 4 4 Ach. T. I 4, 3 5 Nonn. Dion. XV 242; XVI 48 8 Ach. T. I 4, 4. Anacreont. 26 A 7. Soph. Achill. fr. 161 N² 17 cf. p. 529, 2

---

3 *θυρίδων Par 583* edd 7 *ἰνδαλμάτισται* scripsi auctore Re *ἰνδαλματῆσαι Par* edd 8 *ὀμμάτων* scripsi coll Ach T l. l. auctoribus Piersono Veris. 147 Re *δωμάτων Par* edd 9 *τὸ κάλλος* scripsi ut coni Re *τοῦ κάλλους Par* edd *τὰ τοῦ κάλλους* Iacobs Lect 183 11 *ἐπάνθανον Par γρ ἐπάνθανον· καὶ ἐλάνθανον* in marg Mor 12 *τρῶσι ἀπικρὰ Par τρῶσις πικρόν* edd sed *γρ πικρά* in marg Mor | *λυποῦν* Iacobs Lect 15 *ἐγγράψαιτο* (*ὑπ* ο supra) *Par ἐγγράψαιτο* edd 16 *διαμορφώσειε* scripsi auctore Re qui adnotat: „*reliqua perlegere haud iuvat, quae non intelligo. vix videtur Libanii esse.*“ Locum sanum esse perspexit Iahnius, Entfuehrung der Europa p. 32 not. 3 *διαμορφώσει Par* edd 17 *ἀπέλλης Par* edd

ταύτης καλός. καί πως ἐπιγραφέτω τῇ Τύχῃ καὶ χάριτας, ὅτι πρὸ ταύτης ἠρίστευσε καὶ τῆς ζωγραφικῆς ἐδείκνυ τὸ ἔντεχνον καὶ κάλλος οὐκ εἶχεν ὁρᾶν ὑπερ- R IV 1070 *νικῶν | χειρὸς ἔντεχνον μίμημα. ἀλλ' ἔσχεν ἂν κἀκεῖνος τῆς συμφορᾶς παρηγόρημα τὸ κάλλος ὁρᾶν ἐπὶ γῆς εὐτονοῦν καὶ τῶν ὀμμάτων τὴν δύναμιν καὶ ταὐτὸν ὑπομένειν τοῖς πειρωμένοις κάλλος ἡλίου παραδοῦναι τοῖς χρώμασι.* 5. *κάλλιστος οὖν ζωγράφος καλλίστης κόρης ἡ ἐμὴ ψυχή. ἀχρωματίστως γὰρ τὸ κάλλος ὁρᾷ παρ' ἑαυτῇ ⟨καὶ⟩ συμμεμόρφωται. καὶ νῦν ὁρᾶν τὴν εἰκόνα πεφάντασται. καὶ πολέμιον ὁ τεχνίτης ἔχει τὸ τέχνασμα. μεμψαίμην ⟨ἂν⟩ τοῖς ἐμοῖς ὀφθαλμοῖς, ἀλλ' οὐκ ἀμόρφου κόρης ἠράσθησαν, ἀλλὰ τῇ ψυχῇ, ὅτι πέπονθεν, ἀλλ' ἡδὺ τὸ πάθος καὶ τοῦ πάθους μᾶλλον ὁ θάνατος, ἵν' ἔχῃ στεφανηφορεῖσθαι τῷ Ἔρωτι τοιούτου γενόμενος κάλλους ἀγώνισμα.* 6. *ἔγωγε οὖν ἐξ εὐπορίας ἠπόρημαι καὶ λέγειν ἔχων πολλὰ ταῖς τῶν πολλῶν ὑπερβολαῖς ἀνακρούομαι καὶ τὴν εὐπορίαν τοῦ λόγου ἀπορία σιγῆς διαδέχεται. οἶδε τὸ πάθος ψυχὴ κἀκείνη σοφιστεύει τὸν ἔρωτα καὶ δι' ὧν ἐπεπόνθει δείξει τοῦ κάλλους τὴν δύναμιν.* 7. *δοκῶ τὴν κόρην*

4 cf. p. 543, 20. Paul. ep. ad. Rom. 8, 37 8 Albin. Plat. introd. 9. Cic. Or. 2, 9 | cf. t. I 442, 4 20 Heliod. Aeth. I 10

1 *καὶ* cancellandum? 3 *ἐδείκνυτο ἔντεχνον* edd corr Iacobs Lect App Pors 333 Lect. Stob. 33 *ἐδείκνυτο τὸ* Iahn 4 *ἔσχεν ἂν* scripsi auctore Iacobsio ll. ll. *ἔσχε μὲν Par* edd 6 *εὐτονοῦν* scripsi *ἀτονοῦν Par* edd sed *γρ ἄτονον* in marg Mor *οὐράνιον* Iacobs Lect, *ἄγαν οὐράνιον* Lect. Stob. 8 *καλλίστης* scripsi auctore Iacobsio Lect. Stob. *καὶ τῆς Par* edd 9 *ἐμή ἐστι?* 10 *ὁρᾷ* scripsi *ὁρᾶν Par* edd | *καὶ συμμεμόρφωται* scripsi *συμμεμόρφωτο Par* edd 11 *πολέμιον* scripsi ut coni Mor *πόλεμον Par* edd 12 *ἂν* inserui om *Par* edd 13 *τῇ ψυχῇ* scripsi cum Iacobsio Lect *τὴν ψυχὴν Par* edd 15 *ἔχει Par* 17 *εὐπορίας* scripsi cum Iacobsio Lect Anth. Pal. III 479 *ἀπορίας Par* edd 19 *ἀπορία σιγῆς* scripsi *ἀπορίας σιγὴ Par* edd

τὸν τῆς Ἀφροδίτης κεστὸν διαζώννυσθαι καὶ διὰ ταύτης τοὺς νέους θηρᾶν ἢ μεταπλασθῆναι τὴν ἄϋλον πρὸς παχύτητα σώματος, ἀλλ' οὐκ ἦν τὸ κάλλος ἐκεῖνο θεᾶς, κόρης ἦν καὶ καλῆς. 8. *ἐκεῖνό τις ἰδὼν ἐπεύξαιτο ἂν θανεῖν, εἰ προσψαύοιτο. ἐπηυξάμην τοῦτο κἀγώ, ἀλλ' ἀτέλεστος ἦν ἡ εὐχή. περὶ ἐκεῖνο τὸ πρόσωπον περιεχόρευον Χάριτες καὶ μεταρσίους τοὺς πόδας ἐκούφιζον, ἵνα μὴ τοῦ κάλλους προσψαύοιντο, καὶ πλέον αἱ παρειαὶ τοῦ συνήθους ἐφοινίσσοντο. αἱ Μοῦσαι περὶ τὴν κόρην ὡμάρτουν καί τι λέγειν τοῦ Κάλλους οὐκ εἶχον ἐπάξιον. Ἔρως εὐτύχει παρ' αὐτῇ τὰ τόξα τείνων καὶ πικρὸν ἐπαλείφων τοῖς βέλεσι φάρμακον καὶ ταῖς βολαῖς τῶν ἐκείνης ὀμμάτων ἐμπιστεύων τὴν τόξευσιν.* 9. *ἵστατο γοῦν ἡ κόρη μέσον Μουσῶν καὶ Χαρίτων καὶ Ἔρωτος ταῖς μὲν παγκάλως συμπαίζουσα, τοῦ δὲ τὴν βελοθήκην κενοῦσα ταῖς τῶν ὀμμάτων τοξεύσεσιν. ἔνθα γὰρ εἶδεν, ἐκεῖ τὸ βέλος πικρὸν προσεπήγνυτο, καὶ μάτην ἐδείκνυτο | Πάνδαρος* R IV 1071 *φιλοτίμῳ λόγῳ ἐπικεκλημένος ἀντίθεος. ἐκείνη γὰρ ὑπερενίκα τὰς Χάριτας καὶ Μοῦσα μᾶλλον ἦν τῶν Μουσῶν καὶ δέσμιον εἶχε τὸν Ἔρωτα.* 10. *δοκῶ πως κἀκεῖνον τὰς τοῦ Κάλλους μαρμαρυγὰς ἐκπληττόμενον.*

---

1 Il. ξ 214 7 Aristaen. ep. I 10. Luc. imag. 9 13 Aristaen. ep. I 1 18 sq. Il. ε 168 sq. 21 Meleag. Anth. Pal. XII 113 22 Ach. T. I 4, 5

---

1 *ταύτης* scripsi e *Par* *ταύτην* edd 4 *ἐκεῖνο τίς* edd | *ἐπεύξαιτο* scripsi *ἐπηύξατο Par* *ἐπηύξατ'* edd 5 *προσψαύοιτο* scripsi *προσψαύσοιτο Par* edd 6 *περὶ* scripsi *ἐπ' Par* edd 9 *ἐφοινίσσοντο* scripsi *φοινίσσωνται Par* edd *φοινίσσοιντο* Iacobs Lect Anth. Pal. III 292 10 *ὡμάρτουν* scripsi *ὡμήριζον Par* edd 11 *ἴσ. εὐστάχει* in marg Mor 16 *κενοῦσα* scripsi e *Par* ut coni Mor *κινοῦσα* edd 19 *ἐπικεκλημένος* scripsi *ἐπικεκλημένη Par* edd 20 *τῶν* reposui e *Par* cum Iacobsio Lect *τὸ* edd sed *ἴσ. ἢ τὸ* Mor

εἰ γὰρ οὑτωσὶ τὴν φύσιν οὐσίωτο ὥστε διολισθαίνειν μικρὸν πρὸς ἐμπάθειαν, ὅλος ἂν ἐκεῖνος τοῦ ἔρωτος καὶ ἔρως ἂν ἕτερος ἐγεγόνει τῷ Ἔρωτι.

11. Ἔγωγ' οὖν τὰς πλατείας διερχόμενος ἔφιππος μέχρις ἐκείνης εἶχον τὸ εὔτονον, τὸ πᾶν γὰρ ἐκεῖσε νενάρκωτο, καὶ τῆς ἡμιόνου τὸ ἄτακτον χεὶρ ἐπαφῶσα βιαίως ἐκόλαζε. κἀκείνη τὸν χαλινὸν ἐνδακοῦσα πρὸς ὕψος ἐκύρτου τὸν τράχηλον καί πως ἀτακτεῖν περὶ τὴν πάροδον ἤθελεν. 12. εἶδον γὰρ Κάλλους καλὸν ὄμμα προσμειδιῶν καὶ ταῖς διαλόξοις στροφαῖς χαριτούμενον, ὀφρῦν ἑλικοειδῆ τὴν ἀψῖδα περιτορνεύουσαν, παρειὰς τῷ συμμέτρῳ τῆς χροιᾶς καὶ μηλέας ὑπεραυγαζούσας τὸ φοίνιγμα, βόστρυχον πρὸς τὼ ὦτε περικλώμενον παρασύροντα τοὺς ἀνθέρικας κἀκείνους οὔλους καὶ χρυσοειδὲς ἐπαυγάζοντας. 13. τὸ δὲ τῆς κόμης ξάνθουλον ⟨ἐν⟩ ταῖς παρειαῖς εὐναζόμενον πρὸς μὲν τὸ συγγενὲς τοῦ φοινίγματος καί τι χρυσαυγίζον ἐμίγνυε, πρὸς δέ γε τὸ λευκόχρουν χρυσοειδῆ τὰ πάντα παρέτεινεν, ἐδέχετο δὲ καὶ αὐτὸ ἐκ τῆς τῶν ἐκεῖθεν

6 Mosch. I 50 7 Plat. Phaedr. p. 254 D. Ach. T. I 12, 3 11 Plat. Tim. p. 73 E 13 Ach. T. I 4, 3 14 Ach. T. I 19, 1 15 Ach. T. I 4, 3

1 οὑτοσὶ *Par* 6 ἐπαφῶσα scripsi ἐρῶσα *Par* edd 7 ἐκόλαζε scripsi cum Iacobsio Lect ἐκόμιζε *Par* edd | κἀκείνη scripsi κἂν ἐκείνη *Par* edd 9 γρ οἶδεν in marg Mor | κάλλους scripsi κάλλος *Par* edd 10 προσμειδιοῦν *Par* edd sed γρ προσμειδιῶν in marg Mor | χαριτούμενον scripsi χαριτούμενος *Par* edd 11 ἀψίδα *Par* edd 12 γρ παρειᾶς et θεᾶς περιαυγαζούσης in marg Mor | μηλέας scripsi coll p. 276, 6 τῆς θέας *Par* edd | ὑπεραυγαζούσας scripsi περιαυγαζούσας *Par* edd 13 περικλώμενον scripsi περικεκλωσμένον *Par* edd περικεκλασμένον Iacobs Lect Philostr. im. 348 15 κόμης ξάνθουλον scripsi cum Iacobsio Phil κόρης ξανθόουλον (κανθόουλον edd) *Par* edd 16 ⟨ἐν⟩ inserui om *Par* edd 17 συγκενὲς *Par* 18 τὰ πάντα scripsi e *Par* τε πάντα edd πετάσματα Iacobs l. l. 19 παρέστεινεν *Par* et γρ in marg Mor

χρωμάτων αὐγῆς καί πως ἀντέχρωζεν ἡδέως πρὸς ἕκαστα. 14. καὶ παράδεισος ἀνθέων ἐδόκει τὸ πρόσωπον. εἶδον καὶ χείλη καὶ νῦν λειποθυμῶ πρὸς τὴν ἔκφρασιν. γυρόθεν γὰρ ἡ λευκότης θαυμασίως πρὸς τὸ φοίνιγμα διετόρνευσε, μέσον δ' ἐκεῖνο καθαρῶς ἐφοινίττετο. καὶ ῥόδον εἶχον ὁρᾶν περιτετειχισμένον ταῖς κάλυξι μόνον μὴ φέρον τὴν ἄκανθαν. ἱκανὸν γὰρ ἡ ἐμὴ ψυχὴ προανήρπασε καὶ ἡ γνῶσις ἐξ ἀρχῆς προσεπέπηκτο. 15. ὅσον δὲ εἰκὸς ἦν ἐκ τῶν χειλέων τεκμαίρεσθαι, μαλθακὸν | ἂν εἶχον ἴσως τὸ φίλημα, R IV 1072 σίμβλον γὰρ ἦν μελισσῶν. καί πως εἰ ἔφθη μικρὸν ὑποφθέγξασθαι, εἶδον ἂν τάχει καὶ μέλι καταρρέον ἐκ στόματος καὶ γλῶσσαν περιλιχμαζομένην τὸ γλύκυσμα καὶ τὸ φοίνιγμα καθυγραίνουσαν.

16. Κάλλος οὖν τοιοῦτον ἰδὼν πόθου παντὸς διεστάλαξα δάκρυον, ᾤκτειρον γάρ μου τὸ πάθος καὶ οἱ ὀφθαλμοί. ἀλλ' οὐκ εἶδεν ἡ κόρη τὰ δάκρυα. εἰ γὰρ εἶδεν, ἠλέησεν ἂν τὸν διὰ τὸ κάλλος ἐκείνης δακρύσαντα. σοβαρὸν γὰρ οἷον πρὸς ἡμᾶς ἐνητένιζε. καὶ τὸ βλέμμα θάνατος ἦν. τὸ γὰρ ὄμμα πρὸς τὸν τῆς ἡμιόνου διαλοξεύσασα πάταγον ἕτερον εἰς τὴν ἐμὴν ψυχὴν ἐπέτεκε πάταγον. 17. ἤθελον οὖν ὁρᾶν τολμηρῶς καὶ ζόφος εἶχε τὸν ὀφθαλμόν, καὶ θέλων βλέπειν οὐκ ἔβλεπον. ἀντωθούμην γὰρ πρὸς ἔλεον, ἐβουλόμην ἀφι-

10 Ach. T. II 37, 6

1 *αὐδῆς Par* 2 *ἀνθ' ὧν Par* et γρ in marg Mor 7 *μόνον* scripsi *μόνην Par* edd 8 *ἐξαρχῆς Par* | *προσεπέπηκτο* scripsi ut est in marg Mor propter clausulam *προσπέπηκτο Par* edd 12 *τάχα* Iacobs Lect Anth. Pal. III 109 17 *οἶδεν Par* 21 *διαλοξεύσασα* scripsi coll p. 546, 8 cum Iacobsio Lect Anth. Pal. III 28 *διαλλαξεύσασα Par* edd | et 22 *πάτταγον Par* edd 22 *ἐνέτεκε*?

ἑναι φωνήν, ἀλλ' ἐπεῖχε ταύτην αἰδώς. καί ποτε τὸ πάθος ἐνίκησε καὶ τῇ γλώττῃ τόλμαν ἐνέθηκε. καί τι λιγυρὸν ἠβουλήθην προσφθέγξασθαι, ἀλλ' ἡ κόρη πρὸ τῆς φωνῆς, ὡς ὄρθιος ⟨φιλεῖ⟩ περικλασθῆναι κυπάριττος, λειποψυχεῖν με τὸν τολμηρὸν παρεσκεύασεν. 18. *ᾠκτείρησεν Ἔρως τὴν συμφορὰν καὶ παρὰ τῇ κόρῃ τὸ πτερὸν ἡδίστως ὑπέσεισε καί πως ἔρωτι τὰς παρειὰς ὑπηνέμωσε. τῆς δὲ σπασάσης καὶ λοξευσάσης τὸν ὀφθαλμὸν πρὸς τὸν Ἔρωτα τὸ πτερὸν διερρύη καὶ τῆς χειρὸς τὸ τόξον ἐκπεπτώκει καὶ δοῦλος κόρης καλῆς ὁ πολλῶν δεσπότης ἐδείκνυτο.* 19. *ἐγὼ δὲ τοσαῦτα κατιδὼν πεπονθότα τὸν Ἔρωτα δειλὸς ἀριστεὺς ἐγεγόνειν εὐθὺς καὶ καθορῶν τὸν δεσπότην δουλούμενον δρασμὸν αὐτὸς ἐβουλευόμην ὑπότρομος. μόλις οὖν ἐκεῖ καταλιπὼν τὴν ψυχὴν οἴκαδε τὸ σῶμα νεκρὸν ἀπεκόμισα.*

---

2 Pind. Ol. XIII 11 3 Od. *μ* 44. 183

---

2 *ἐνίκησε* scripsi cum Iacobsio Lect *ἐκίνησε* *Par* edd 3 *ἠβουλήθην* scripsi *ἠβουλήθη* *Par* edd 4 *φιλεῖ* inserui coll p. 563, 18 om *Par* edd | *περικλασθῆναι* scripsi *παρακλασθῆναι* *Par* edd sed *ἴσ. παρακλασθεῖσα* Mor 5 *παρεσκεύασε* edd 7 *ὑπέσεισε* scripsi *ὑπέσυρε* *Par* edd *ὑπέσειε* Iacobs Lect | *ὑπηνέμωσε* scripsi cum Passowio lex. s. v. *ὑπηνέμησε* *Par* edd 9 *τὸ* (1) inserui e *Par* om edd 10 *ἐκπεπτώκει* scripsi *ἐκπέπτωκε* *Par* edd 14 *ἐβουλευόμην* scripsi cum Iacobsio Lect Ach. T. 569 *ἐβουλόμην* *Par* edd

XIII.

Θέσεις.

Theses quidem tres Libanii feruntur, sed dubitari nequit quin prima inscripta *εἰ γαμητέον* sola genuina sit.

Atque hanc quidem hi 12 codices servaverunt:

1. Barberinus II 61 nunc Vaticanus Barb. 240 (= Ba) saec. XIII/XIV fol. 54ᵛ. Non solum valde lacer, sed etiam tincturis male tractatus est. Vide supra p. 1 sq. Contuli.

Ex hoc nondum mutilato descriptus est

2. Parisinus gr. 2918 (= Pa) saec. XV fol. 168ᵛ. Vide supra p. 5 sq. Contuli.

3. Barberinus II 41 nunc Vaticanus Barb. 220 (= B) saec. XV fol. 51. Vide t. I p. 24 sq. Contuli.

Ex hoc descriptus est

4. Escurialensis Ψ-IV-12 (482 in catalogo Milleriano) saec. XVI fol. 232. Vide t. I p. 326 sq.

Cum *B* cognati sunt

5. Escurialensis Φ-III-19 (235 in catalogo Milleriano) saec. XVI fol. 70ᵛ. Vide t. IV p. 325 sq. et supra p. 22.

et

6. Oxoniensis collegii Lincolniensis 25 saec. XV fol. 18ᵛ in quo thesis inscripta est *ἐγκώμιον γάμου*. Vide t. I p. 378 sq. et supra p. 9. Inspexi.

7. Parisinus gr. 3014 (= P) saec. XIV fol. 64. Vide t. II p. 375 sq. et supra p. 362. Contuli.

Ex hoc manu Henrici Stephani descriptus est

8. Leidensis Vossianus gr. qu. 18 fol. 67. Vide supra p. 330. Contuli.

Ex eodem quo *P* exemplari descriptus est

9. Laurentianus LVIII 2 (= L) saec. XV fol. 137v. Vide supra p. 7. Contuli.

E communi cum *PL* exemplari fluxit

10. Vindobonensis Phil. graec. CCLIX (= Vi) saec. XV fol. 244v. Vide supra p. 8 et 209. Contuli.

Ex hoc per editionem Barbati fluxit

11. Escurialensis T-II-9 (145 in catalogo Milleriano) saec. XVI. Vide t. I. p. 67 et supra p. 17.

Per se constat singularique pretio est

12. Laurentianus LVII 20 (= La) saec. XV fol. 94. Vide t. I p. 39 sq. et supra p. 156 et 213. Contuli.

Ex his quos in censum vocandos esse duxi septem codices in duas discedunt classes, quarum prior codicibus *BaPaBPLVi*, altera codice *La* continetur. Prior autem classis et ipsa in duas discedit familias, quarum prior codicibus *BaPa*, altera *BPLVi* continetur. Rationem quae inter singulos intercedit codices hoc tibi reddet stemma



Testimonia desunt.

Lucem primum vidit thesis editione Barbati p. 59—63 (= Barb), quae a Camerario p. 218—226 (= Cam) paucis mutatis repetita est.[1]) Camerarianam editionem pro fundamento quidem habuit sed multis locis e codice *Regio*, quem in 'Notatis' nominavit, id est Parisino gr. 3014 correxit Fed. Morellus Lib. opp. t. I p. 183—187 (= Mor). Reiskius codicum subsidiis privus nonnulla egregie emen-

1) Vide supra p. 25 sq.

davit, sed uxor quae editionem curavit t. IV 1058—1064 (= Re) in textu Morelliano typis repetendo emendationibusque mariti in notas ablegandis acquievit.

De reliquorum recentiorum textus emendandi conaminibus ad ea te delego quae p. 61 dixi, sed unius viri non solum de hac thesi sed etiam de aliis progymnasmatis emendandis merita seris quidem at sinceris laudibus efferenda sunt. Est is Iacobus ille Leopardi comes Recanatensis, qui non solum codicis Barberini (*Ba*) *descriptionem* fecit accuratissimam, cuius supra p. 1 mentionem inieci, sed etiam multos progymnasmatum locos egregie emendavit. Ex his quae Ludovico Sinnero mandata et ab hoc publici iuris facta sunt in Museo Rhenano anni 1835 tomo III p. 5 et 6[1]), ea quae ad hanc thesin et ethopoeias pertinent in apparatu critico attuli, reliqua Addendis et Corrigendis mandavi.

Duas reliquas theses inscriptas *εἰ τειχιστέον* et *εἰ πλευστέον*, quae a simplicitate gratiaque Libaniana toto caelo distant, nomine auctoris privas continent duo soli codices Barberinus (*Ba*) fol. 18 et Parisinus 2918 (*Pa*) fol. 152 ex hoc nondum mutilato descriptus.

Atque sub Libanii nomine eas e *Ba* primum edidit Allatius Excerptis variis Romae 1641 p. 382—392 (All), cuius textus Reiskiana editione t. IV p. 1134—1137 (Re) nihil nisi repetitus est, sub Nicolai[2]) nomine e *Pa* descriptas[3]) Walzius Rhet. gr. t. I p. 415—418. Utrumque codicem contuli sed vel sic larga messis emendationi relicta erat.

1) Sinneri excerpta ex schedis criticis Iacobi Leopardi manu descripta Eduardi Muralt Bernensis una cum impressis in bibliotheca Magliabecchiana hodie Nationali Florentina asservantur, in qua inspexi. Cf. ann. Fleckeis. 1876 p. 639.

2) De cuius nomine vide quae supra p. 443 dixi.

3) Sed maximam partem thesis secundae se *urgente tempore* ex editione Reiskiana descripsisse ipse p. 417 confessus est.

XIII.

Θέσεις.

α΄.

R IV 1058 ### *Εἰ γαμητέον.*

1. *Ἐπὶ πολλῶν μὲν καὶ ἄλλων δοκοῦσί μοι τῆς ὀρθῆς δόξης οἱ πολλοὶ τῶν ἀνθρώπων ἁμαρτάνειν, μάλιστα δὲ τοῦτο πεπόνθασιν οἱ τὸ γαμεῖν ὡς ἓν τῶν δεινοτάτων φεύγοντες. εἶτα μέγα φρονοῦσιν ὡς εὖ βεβουλευμένοι τὰ πάντων ἀσυμφορώτατα ᾑρημένοι. καὶ διὰ τοῦτο πολλοὺς αὐτῶν καθιστᾶσι μιμητὰς διχῇ βλάπτοντες τὸν ἀνθρώπινον βίον οἷς τε αὐτοὶ πράττουσι καὶ οἷς τοὺς ἄλλους παρακαλοῦσι.* 2. *παραδῶμεν δέ, εἰ δοκεῖ, τὸ πρᾶγμα λογισμοῖς καὶ τοὺς μέν, εἰ οἷόν τε, μεταστήσωμεν, τοὺς δὲ ποιεῖν ἃ ἀνδρός ἐστι νοῦν ἔχοντος ἀναγκάσωμεν.*

---

3 Hierocl. *περὶ γάμου* apud Stob. floril. 67, 21 (cf. Praechter, Hierokles p. 66 sq. et 143 sq.). Theophrast. *περὶ γάμου* et Sen. de matrimonio apud Hieronymum adv. Iovin. I p. 190 sq. (Fel. Bock, Aristoteles Theophrastus Seneca de matrimonio Lips. 1898 p. 60 sq.) Nicol. prog. ed. Felten p. 71, 20; 74, 15.
4 Stob. floril. 67. Apth. prog. 13 ed. Walz. Rhet. gr. I 108, 18 et 109, 15 sq. (= Spengel. t. II 49, 17 et 50, 5). Quintil. inst. II 4, 25

---

4 *μοι* om *L* 5 *ἀνθρώπων* delet. *Ba* 6 *ἑνὸς P*
8 *βεβουλευμένοις* Barb | *εἰρημένοι Pa* 9 *διατοῦτο BP* | *αὐτῶν PaBPL* Barb Cam Mor | *καθεστᾶσι Vi* Barb Cam Mor
11 *τοῖς BaPa* | *πολλοὺς BPLLa πολλοῖς BaPa* 12 *εἰ*(2) inserui e *BaPaBPLVi* cum Iacobsio Lect 181 Leopardio Sinteni om *La* edd 13 *μεταστήσομεν L* | *ἐστι* om *La*

3. *Δίκαιον δὲ θεοῖς ὁμογνώμονας εἶναι καὶ μὴ διεστάναι κατὰ τὴν κρίσιν μηδὲ στασιάζοντας φαίνεσθαι πρὸς τοὺς τῶν ὅλων κυρίους. πῶς οὖν ὁ Ζεὺς περὶ γάμου βεβούλευται καὶ πάντες οἱ τὸν οὐρανὸν ἔχοντες; οὐ τὴν μὲν Ἥραν αὐτὸς ἔγημε, τὴν δ' Ἀφροδίτην Ἥφαιστος καὶ ἄλλος ἄλλην καὶ πάντες πατέρες ἐκλήθησαν καὶ ἀδελφοί; 4. τί δέ; οὐ σεμνύνονται ταῖς ἀπὸ τοῦ πράγματος κλήσεσιν; οὐ γαμήλιος μὲν ὁ Ζεύς, ἡ δὲ Ἥρα συζυγία; ἡ δὲ Ἀφροδίτη πάντα ἀφεῖσα τὰ ἄλλα περὶ τοῦτο διατρίβει. γάμος ἔδειξεν Ἀπόλλω καὶ Ἄρτεμιν, γάμος τὸν Ἄρην, γάμος τὸν Ἡρακλέα, τὴν Ἑλένην, τοὺς Διοσκούρους. οὐ γὰρ μόνον θεοὶ θεαῖς ἠξίωσαν μίγνυσθαι, ἀλλὰ καὶ μέχρι γῆς ἦλθον τοὺς ἡμιθέους σπείροντες. 5. οἵ δὲ ἡμίθεοι | ζηλωταὶ* R IV 1059 *τῶν πατέρων καταστάντες ἐγένοντο καὶ αὐτοὶ πατέρες, οἵ μὲν καθ' ἡσυχίαν γαμοῦντες, οἱ δὲ καὶ πολέμους*

---

8 Sen. de matr. apud Hieron. l. l. (t. III 428, 46 ed. Haas. Bock l. l. p. 67, 10) 9 cf. p. 400, 7 13 Apthon. l. l. p. 50, 10 ed. Spengel.

---

2 *τὴν* om *L* | *κρίσιν* delet. *Ba* | *μὴ δὲ BPLVi* Barb Cam 3 *ὅλων* scripsi e *BLa* *οἴκων BaPaPLVi* Barb et *γρ* in marg Mor *ἁπάντων* Cam Mor Re | *δὲ κυρίως Pa* 4 *βεβούλευται Ba* sed *λευται* delet. 5 *ἔγημε B* sed *ε* (2) in ras m² *ἔγημεν Pa* | *δὲ B* edd 6 *πάντες* ante *πατέρες* inserui e *BaPa* qui habet *πάν* (superscr. *τ*), *BLa*, post *πατέρες PL* om *Vi* edd sed *γρ πάντες* in marg Mor 7 *δέ* scripsi e *La* *οὖν* reliqui libri edd | *σεμνύνουσι La* 9 *ἡ*] *οὐ Pa* | *συζυγία* scripsi e *BaB* *ζυγία PaLa* *σύζυγος PLVi* edd | signum interrogationis posui comma libri edd | *ἡ* om *BaPa* | *δ' PLVi* edd *καὶ BaPa* | *τὰ ἄλλα* inserui e *La* om reliqui libri edd 10 punctum posui signum interrogationis libri edd | *Ἀπόλλω καὶ Ἄρτεμιν* scripsi e *La* *ἀπόλλω καὶ τὴν ἄρτεμιν Ba* *ἀπόλλωνα καὶ τὴν ἄρτεμιν* reliqui libri edd 11 *τὸν* (1) inserui e *BaPaLa* om *BPLVi* edd | *γάμος* om *La* 12 *θεαῖς* scripsi e *BaPaB* *θεοῖς PL ViLa* edd 18 *ἠξιώθησαν PL* 14 *δ' Pa*

ὑπὲρ τῶν γυναικῶν ἀράμενοι. ἀκούομεν δὲ τοῦ Μίνω παῖδας καὶ Δαρδάνου καὶ Ταντάλου. 6. *εἰ δὲ τὸ γαμεῖν οὐ καλὸν ἦν, οὔτ' ἂν οἱ θεοί ποτε τοῦτο μετῆλθον τούς τε ἐξ αὐτῶν γεγονότας πάντως ἂν ἀπέτρεπον. νῦν δὲ ἔργῳ μεμαρτυρήκασι θείαν εἶναι τὴν ὑπὲρ παίδων μίξιν. οὔτε γὰρ μὴ τὸ βέλτιστον ἰδεῖν τοὺς θεοὺς ἔστιν εἰπεῖν οὔτ' εὖ εἰδότας ἐξεπίτηδες πρὸ τῶν ἀμεινόνων αἱρεῖσθαι τὰ χείρω.* 7. *ὅστις οὖν ταῦτα πεπεισμένος παρὰ τῶν θεῶν φεύγει τὸν γάμον, κατηγορεῖ τῶν θεῶν ὡς τὰ φαῦλα τετιμηκότων καὶ βούλεται δοκεῖν ἐκείνων εἶναι φρονιμώτερος ὡς τῶν μὲν τοῦ δέοντος ἐκπεπτωκότων, αὐτὸς δὲ τὸ κάλλιστον εὑρών.* 8. *ὅταν δὲ τοῦτο ποιῇ, περιφανῶς ἀσεβεῖ καὶ γίνεται τῶν τοὺς βωμοὺς ἀνασπώντων μιαρώτερος οὐ τιμῆς τινος ἀποστερῶν τοὺς κρείττονας, ἀλλὰ πονηροὺς οἷς ποιοῦσιν ἀποφαίνων τοὺς Ὀλυμπίους.*

---

1 *τῶν* inserui e *B* om reliqui libri edd | *ἀκούομεν δὲ* scripsi e *La* *ἀκήκοα καὶ* reliqui libri edd | *μίνω*[νος] *Ba* sed *νος* suprascr m² 2 *καὶ* (1 et 2) om *La* 3 *οἱ* inserui e *BaPaLa* om *BPLVi* edd | *ποτε τοῦτο μετῆλθον* scripsi e *BaPaPLVi* *τοῦτο μετῆλθον BLa* *τοῦτο μετῆλθον ποτὲ* edd 4 *αὐτῶν* libri edd | *πάντως* scripsi e *BaPaLa* cum Leopardio *πάντας BPLVi* edd 5 *δ' BaPa* edd | *τὰς ὑπὲρ παίδων μίξεις θείας εἶναι La* 6 *τῶν* ante *παίδων PLVi* edd delevi | *βέλτιστον* scripsi e *BaPaBLa* *βέλτιον PLVi* edd 7 *οὐδ' εὕδοντας BaPaBPLVi* 8 *οὖν ταῦτα* scripsi e *BaPaBLa* *ἀπ' αὐτοῦ* (*αὑτοῦ P*) *PLVi* edd sed „*fort. οὖν αὐτὸς ὑφ' αὑτοῦ*“ Re *οὖν* inserendum coni Leopardius 9 *περὶ BaPaB* 10 *τετολμηκότων B* 11 *εἶναι φρονιμώτερος*[ὡς] *Ba* sed *εἶναι φρ* et *ὡς* delet. 12 *ὡς* ante *τὸ* libri edd sed „*fort. δέ πως τὸ*“ Re delevi 13 *τοῦτο ποιῇ, περιφανῶς Ba* sed *τοῦτο* et *ανῶς* delet. | *ἀσεβῆ La* *ἀσθενεῖ L* 14 *γίγνεται La* | *μιαρώτερος, οὐ Ba* sed *τερος, οὐ* delet. 15 *τινος ἀποστερῶν* scripsi e *BaPaBPLLa* *ἀποστερῶν τινος Vi* edd 16 *τοὺς Ὀλυμπίους* scripsi e *BaPaBPLLa* *τοὺς πολεμίους Vi* *καὶ πολεμίους* edd sed *γρ*

9. Ἀλλ' ἐῶ ταῦτα. τῇ φύσει δὲ ὅστις μάχεται, πῶς ἂν σωφρονεῖν δοκοίη; τί οὖν τὸ βούλημα τῆς φύσεως εἶναι νομίζεις ἢ μίξεις καὶ γονὰς καὶ τόκους; τεκμήριον δέ, τὰ γὰρ μὴ μετέχοντα λογισμοῦ τῶν ζώων ταῖς ἐκείνης ἀνάγκαις ἕλκεται καὶ δείκνυσιν ἔγγονα. 10. καλῶς ἄρα παρὰ ταῖς ἀρίσταις τῶν Ἑλληνίδων πόλεων ἐν ἐγκλήματι τὸ μὴ γαμεῖν ἔκειτο. θαυμάζω δὲ εἰ τοῖς μὲν πατράσι χάριν εἰσόμεθα τοῦ γενέσθαι, μὴ νομιοῦμεν δὲ καὶ αὐτοὶ ταῖς πόλεσιν ὀφείλειν τοὺς ἀνθ' ἡμῶν ἐκείνας διαδεξομένους. ἢ χρήματα | R IV 1060
μὲν ὀφείλοντας μὴ θεῖναι δεινόν, σώματα δὲ ὀφείλον- 11
τας μὴ βουληθῆναι φυτεῦσαι μέτριον; 11. οὕτω τοίνυν ἀδικοῦσι περιφανῶς οἱ τὸν γάμον φεύγοντες καὶ

---

6 Ariston. apud Stob. floril. 67, 16. Plut. Lys. 30, 5

τοὺς ὀλυμπίους in marg Mor καὶ ἠλεμάτους *vel potius* κοαλέμους Iacobs Lect
1 ἀλλ' ἐῶ *Ba* sed ἀλλ' ἐ delet. | φύσει *Ba* sed φύ delet. | ὃς *BaPa* 3 νομίζεις ἢ om *La* | εἶναι νομίζεις *Ba* sed εἶναι νο delet. | γε post ἢ *Vi* edd delevi | τόκους scripsi e *La* τόκον reliqui libri edd 4 γὰρ inserui e *BaB* om reliqui libri edd | λογισμοῦ scripsi e *PaBPVi* cum Praechtero Hierokles 148 λογισμῶν *BaLLa* edd 5 ταῖς ἐκείνης ἀνάγκαις scripsi e *Ba* sed ταῖς et ἀγ et ι delet., *PaBLa* ut coni Re τῆς ἐκείνης ἀνάγκης *PLVi* edd τῇ ἐκείνης ἀνάγκῃ Iacobs Lect Anth. Pal. III 73 | ἕλκονται *BaB* | δεικνύουσιν *BaPa* | ἔκγονα *PaLa* Cam Mor Re 7 πόλεων delet. *Ba* | ἐγκλήματι scripsi e *Ba* sed γκ delet., *PaBLa* ἐγκλήμασι *PLVi* edd 8 ἀνδράσι *BPLVi* Barb et γρ in marg Mor 9 ὀφείλειν scripsi ut coni Re ὠφελεῖν *B* sed in ἀφελεῖν corr m² ἀφειδεῖν *Ba* sed εῖν delet., *PaPLVi* edd ἀμφιδεῖν *La* 10 ἐκείνας scripsi auctore Re ἐκεῖνα libri edd | διαδεξομένους *Ba* sed δεξο delet. διαλεξομένους *Pa* 11 ὀφείλοντας scripsi e *La* ὀφείλοντες *Pa* ὀφείλοντα reliqui libri edd | μὴ om *BaPa* | προσθεῖναι δέον *BaPa* | ὀφείλοντας scripsi ὀφείλον^τ *La* ὀφείλοντα reliqui libri edd 12 βουληθῆναι inserui e libris om edd sed γρ βουληθῆναι φ. in marg Mor
13 ἀδικοῦσι περιφανῶς scripsi ἀδικοῦντες περιφανῶς *BaPa BLa* ἀδικοῦσιν *PLVi* edd sed γρ περιφανῶς in marg Mor

τὰ μέγιστα καταβλάπτουσιν αὐτούς τε καὶ τὰς πόλεις καὶ συνταράττουσιν ἅπαντα τὰ ἐν τῇ γῇ καλά. ποῖαι μὲν γὰρ θυσίαι θεοῖς ἔτι; ποῖα δὲ βουλευτήρια; ποῖαι δὲ ἐκκλησίαι; ποῖαι δὲ στρατεῖαι κατὰ γῆν; τίνες ἀπόστολοι; 12. *τὰς δὲ πόλεις αὐτὰς ὅλως πῶς οἷόν τε μένειν, ἂν τοὺς ἐνοικοῦντας ἐξέλῃ τις; ἐρημωθεῖεν ἂν αἱ πόλεις, εἰ σταίη τὰ τῶν γάμων καὶ μὴ προβαίνοι. ὅταν γὰρ οἱ μὲν ὄντες ἀπίωσιν, οἱ δὲ ἀντ' ἐκείνων μὴ φαίνωνται, πῶς οὐκ ἀνάγκη τοῦτο ὅπερ ἔφην συμβαίνειν;*

13. *Καὶ μὴν οὐδ' ἐκεῖνό γε ἔστιν εἰπεῖν, ὡς κοινῇ μὲν ταῖς πόλεσι λυσιτελεῖ, τοὺς δὲ καθ' ἕκαστον οὐδὲν ὠφελεῖ. καὶ γὰρ ἐκείνοις πολλὰ ἂν ἐκ τοῦ πράγματος γένοιτο τὰ συμφέροντα. τῷ πλουσίῳ μὲν γὰρ ἡ περιουσία διπλασία καθίσταται, τῷ πένητι δὲ πολλάκις μὲν χρήματα προσεγένετο, πολλάκις δὲ ἀντ' ἐκείνων τῆς γυναικὸς ὁ τρόπος χρηστῆς τε οὔσης καὶ σώφρονος καὶ φιλεργοῦ.* 14. *ἐν μὲν τοῖς ἀγαθοῖς ὁ γεγαμη-*

---

1 *καλὰ* post *μέγιστα* *Vi* edd sed om *γρ* in marg Mor et „*recte omittunt codices nonnulli*" Re delevi | *αὐτούς* *Pa* 2 *συνταράσσουσιν* *BaBPLVi* edd *συνδράττουσιν* *La* 3 *ἔτι* om *B* 4 *δὲ*(2) om *La* | *γῆν* delet. *Ba* 5 *ὅλως* inserui e libris om edd sed *γρ* in marg Mor | *ἂν* post *πῶς* *La* 6 *ἐξέλῃ* scripsi e *PLViLa* *ἐξέλοι* *BaPaB* edd 7 *προβαίνοι* scripsi e *La* *προβαίνει* *B* *προβαί*[ν]' *BaPa* *προβαίνῃ* *PLVi* edd 8 *μένοντες* *La* | *οἳ δ'* *Pa* | *ἀντεκείνων* *Pa* 9 *οὐ* *BaB* | *φαίνονται* *PL* | *ἀνάξιον* *BaPa* | *τοῦθ'* *Vi* edd | *συμβαί*[ν]' *BaPa* 11 *οὐδὲ* *PaB* | *γε* om *BaPa* 12 *συντελεῖ* *BaPa* | *τοὺς* scripsi e *BaLViLa* *τοῖς* *PaP* edd *τὰ* *B* | *καθέκαστον* *BaPa* *PLViLa* edd 14 *γένοιτο τὰ συμφέροντα* scripsi e *BaPaB* *La* *τὰ συμφέροντα γένοιτο* *PLVi* edd | *τῷ* delet. *Ba* | *πλησίῳ* *Ba* sed *π* delet. *πλησίον* *Pa* | *γὰρ* inserui e *BaPaBLa* om *P* *LVi* edd 15 *ὕβρις* post *καθίσταται* *Vi* | *πολλὰ* *La* 16 *δ'* *Pa* 17 *οὔσης* om *La* 18 *φιλέργου* *La*

κὼς ἕξει τὴν συνησθησομένην, ἐν δὲ τοῖς ἑτέροις τὴν συναχθεσθησομένην. ὁ μὲν εἰργάσατο χρήματα διατρίβων ἐπὶ τῆς ἀγορᾶς, ἡ δὲ ἔνδον οὖσα λαβοῦσα ἐφύλαξεν, ἀλλ' οὐκ οἰκέται, διαφθείρουσι γὰρ μάταιον ποιοῦντες τῷ δεσπότῃ τὸν πόνον. ἔτι τοίνυν τράπεζαι τοῖς γεγαμηκόσιν ἡδίους, ὅταν ἐπανιὼν ἀπαγγέλλῃ πρὸς τὸ γύναιον τὴν ἔξω λαμπρότητα. 15. *καὶ μὴν ὅστις ἐπιθυμεῖ γῆν πολλὴν ἐπελθεῖν καὶ θάλατταν καὶ πόλεις γνῶναι καὶ τρόπους ἀνθρώπων ἐκμαθεῖν, οὗτος ὑπὲρ τῆς οἰκίας τεθαρρηκὼς καὶ πλεῖ καὶ βαδίζει. εἰ δ' αὐτὸς ἀναγκάζοιτο καὶ τἄνδον διοικεῖν καὶ τῶν κοινῶν ἐπιμελεῖσθαι, κακὸς ἂν εἴη καὶ πολιτευόμενος καὶ τῆς οἰκίας φύλαξ μεριζομένης αὐτῷ τῆς γνώμης εἰς ἑκατέραν φροντίδα καὶ διὰ τοῦτο μηδέτερον ἱκανῶς ἐπιτελούσης.* 16. *τὸ δὲ πάντων βαρύτατον ἀνθρώποις, ἀρρωστία καὶ νόσος, | μίαν ἔχει μεγίστην παρα-* R IV 1061 *μυθίαν γυναῖκα παρακαθημένην. κἂν πάντες κάμνωσι θεραπεύοντες, ἀδελφός, θεῖος, ἀνεψιός, οἱ λοιποὶ συγγενεῖς, ἐπιτήδειοι, φυλέται, μόνη καθάπερ ἀδαμαντίνη πρὸς τοὺς πόνους ἀρκεῖ δακρύουσα, τρέμουσα, περι-*

---

1 *συνησθησομένην Ba* sed *υνησ* delet. *γηθοσύνην La* | *ἐν — 2 συναχθεσθησομένην* inserui e *BaPa* sed in hoc suprascr, *BLa* om *PLVi* edd 2 *συναχθεσθησομένην* scripsi *συν-* *σῃ* *αχθεσομένην B* sed *ε*(1) ex *η* corr *συναχθησομένην BaPaLa* 3 *ἐπὶ τῆς* scripsi e *La* *ἐπ'* reliqui libri edd | *ἀγοραῖς Ba* | *δ' Pa* | *οὖσα* inserui e *BaPaBLa* om *PLVi* edd sed *τὰ ἔνδον λαβοῦσα* coni Re | *ἐφύλαξεν* reposui e libris *διεφύλαξεν* edd 4 *διαφθείρουσι γὰρ* inserui e *BaPaB* *διαφθείρουσι La* om *PLVi* edd 6 *ὅτε BaPa* | *ἀπαγγέλῃ LLa* *ἐπαγέ* (*λλ* suprascr.) *BaPa* 7 *ὃς BaPa* 8 *γνῶναι πόλεις La* 10 *πλεῖ καὶ*] *πλεῖον BaPa* | *βαδίζειν* Re 11 *δὲ BaLa* Cam Mor Re | *τὰ ἄνδον La* 12 *κακῶς La* 13 *αὐτῷ* edd 14 *διατοῦτο BP* 15 *ἀνθρώπων La* 18 *ἀδελφός* scripsi e *BaPaBL* *ἀδελφοὶ PViLa* edd | *συγγενεῖς οἱ λοιποὶ La*

τρέχουσα, τοὺς ἰατροὺς ἱκετεύουσα, τοῖς θεοῖς εὐχομένη τὸ κακὸν ἀπὸ τοῦ συνοικοῦντος ἐφ' αὐτὴν μεταστῆσαι. 17. τῶν γεγαμηκότων ἀνάγκη καὶ τοὺς οἰκέτας εἶναι κοσμιωτέρους. ἡ γὰρ πονεῖν ἀναγκάζουσα καὶ τρυφᾶν οὐκ ἐπιτρέπουσα καὶ τῶν δρωμένων ἕκαστον σκεπτομένη καὶ πανταχοῦ περιάγουσα τοὺς ὀφθαλμοὺς ἔνδον κάθηται. 18. εἰ δὲ τὸ φίλων πολλῶν εὐπορεῖν μέγα, τὸ γένει προσθεῖναι γένος πῶς οὐ χρησιμώτερον; οὐδὲν γὰρ ἄλλ' ἢ τεῖχος τῶν γεγαμηκότων γίνεται τὸ πλῆθος τῶν οἰκείων, οἳ κατηγοροῦντι μὲν συγκατηγοροῦσι, κρινομένῳ δὲ συναπολογοῦνται, ἀδικουμένῳ δὲ βοηθοῦσι, βουλευομένῳ δὲ συμπαραινοῦσι. διὰ τούτους πολλὰ μὲν ἔστιν ἰδεῖν, πολλὰ δὲ ἀκοῦσαι, πολλὰ δὲ προγνῶναι, πολλὰ δὲ μὴ παθεῖν.

19. Ὁ δὲ δὴ μέγιστος καὶ κάλλιστος καὶ χρησιμώτατος τοῦ γάμου καρπὸς οἱ παῖδες νῦν μὲν ὄντες ἔργων συλλήπτορες, νῦν δὲ γηροτρόφοι, μετὰ ταῦτα δὲ θάπτοντες, ἔπειτα κοσμοῦντες τοὺς τάφους ἐνιαυτῶν πληρουμένων. 20. εἰ δὲ δὴ καὶ οἱ παῖδες ἀγαθοὶ γέ-

1 τοὺς θεοὺς *BaPa* 2 ἐφ' αὐτὴν scripsi ἐπ' αὐτὴν libri Re ἐπ' αὐτῇ Barb Cam ἐπ' αὐτῇ Mor sed γρ αὐτὴν in marg 3 καὶ om *B* 4 ἡ] οὐ *B* 5 ἕκαστα *La* 6 σκεπτομένη scripsi e *BaPaBPL* σκεψομένη *La* ἐπισκεπτομένη *Vi* edd | „fort. πανταχοῖ" Re | περιάξουσα *BaPaLa* 7 εὐπορεῖν scripsi e *BaPaBLa* εὐμοιρεῖν *PLVi* edd 8 γε' *Pa* 9 ἀλλ' *PaBPViLa* | τὸ γένος post ἢ *La* | τῶν γεγαμηκότων τεῖχος *La* 10 γίγνεται *La* | τὸ πλῆθος τῶν οἰκείων om *La* | κατηγοροῦ *Ba* κατηγοροῦντες *Pa* 12 δὲ(1) — δὲ(2) om *La* | βουλομένω *Ba* 13 τούτους scripsi τοῦτο libri (διατοῦτο *PaBP*) edd τούτων Sintenis | δ' *Pa* 14 sq. θεῖν. ὁ δὲ δὴ μέ delet *Ba* 15 δὴ om *Pa* | κάλλιστος καὶ χρησιμώτατος scripsi e *BaPaBPL* sed in hoc χρησιμώτερος, *La* χρησιμώτερος καὶ κάλλιστος *Vi* edd sed χρησιμώτατος Re 16 γένους *ViLa* | τῶν ante ἔργων *Vi* edd delevi 17 ξυλλήπτορες *La* | πτορες, ν delet. *Ba* | δὴ ante γηροτρόφοι *La* | μεταταῦτα *BPVi* | δὲ om *BaPa*

νοιντο καί τινος ἀρετῆς μετειληφότες, πηλίκον ἂν εἴη τῷ πατρί; καὶ γὰρ ἂν μὴ τῶν λαμπρῶν ἐκεῖνος ᾖ καὶ τῶν ἀπὸ γενεᾶς τινος γνωριζομένων, τῆς ὧν ἐγέννησεν εὐκλείας κοινωνήσας ὀνομαστὸς κατέστη. ἔστι δὲ πρῶτον μὲν καὶ μέγιστον αὐτὸν ἀγαθὸν εἶναι, δεύτερον δὲ καὶ οὐ πολλῷ | τοῦ πρώτου λειπόμενον R IV 1062 *τοιούτους υἱεῖς παρέχεσθαι.* 21. *τί οὖν τῶν ποιούντων εὐδαιμονίαν παραβάλοι τις ἄν; ἢ ῥητορικὴν ἢ φιλοσοφίαν ἢ πρεσβείαν ἢ στρατείαν; ἀρκεῖ γὰρ εἰς ἅπασαν εὐδαιμονίαν τὰ τῶν ἐγγόνων τῷ γεγεννηκότι παρὰ πάντων ἔργα θαυμαζόμενα.* 22. *τὰ μὲν τοίνυν καλὰ λόγος εἶναι χαλεπά, τοῦτο δὲ ὃν ἡλίκον ἐδείξαμεν καὶ τῶν ῥᾳδίως ἐστὶ πραττομένων. ἐπειδὰν γάρ τις ὁρμήσῃ*

---

12 Plat. rep. IV p. 435 C; Hipp. mai. p. 304 E

---

2 *τοῦτο* ante *τῷ Pa* | *ᾗ καὶ τῶν* delet. *Ba* | *εἴη La*
3 *τινων La* | *τῆς ὧν* scripsi e *BaPaB* cum Mor Not et Iacobsio Lect *τῆς οὖν P* sed *ὧν* supra *οὖν* m rec (Stephani?), *LVi* *τῶν ὧν La* *ἧς οὖν* edd sed *γρ τῆς* in marg Mor, *οἷς γοῦν* coni Re
4 *ἔτι B* 5 *καὶ μέγιστον αὐτὸν* scripsi *μέγιστον αὐτὸν καὶ ἀγαθὸν BaPaLa* *μέγιστον καὶ ἀγαθὸν αὐτὸν BPLVi* edd „*fort. καὶ μέγιστον ἀγαθὸν*" Re | *δεύτερον δὲ καὶ οὐ πολλῷ* scripsi e *Ba B* sed in hoc *πολλοστῷ* supra *πολλῷ*, *La* *δεύτερον δὲ καὶ οὐ πολλοστῷ PaP* sed in hoc *δευτερ* et *καὶ οὐ* delet. et *δεύτερον* in marg m rec (Stephani?), *L* *οὕτως* cum lac 18—20 litt *Vi* edd sed *ἴσ. δεύτερον πολλοστῷ* in marg et *δεύτερον δὲ καὶ οὐ πολλοστῷ ἀεὶ* Not Mor 6 *τοῦ πρώτου* scripsi *τῷ ἀεὶ La* *ἀεὶ* reliqui libri edd 7 *υἱεῖς* scripsi e *BaPaBLa* *υἱοὺς PLVi* edd 8 *παραβάλοι* — 10 *εὐδαιμονίαν* om *L* | *παραβάλοι τις ἄν;* scripsi *παραβάλοι τίς ἂν· B* *παραβάλλοι τὶς ἂν Vi* edd sed *ἂν* om Barb Cam *παραλάβοι τις ἂν BaPa* *παραλάβεις τίς ἂν P* sed *λ* e *β* corr *παραλάβοι τις La* *παραβάλλοι ἄν τις* Sintenis | *ῥητορικῆς ἢ φιλοσοφίας La* | *οσοφίαν* delet. *Ba*
9 *πρεσβείας ἢ στρατείας BViLa* | „*fort. στρατηγίαν*" Re
10 *ἐκγόνων La* | *τῷ γεγεννηκότι* scripsi e *BaPaLa* *τοῖς γεννήσασι PLVi* edd *τοῖς γεννήμασι B* | *παραπάντων Pa* 11 *ἔργα* delet. *Ba* | *μὲν* inserui e *BaPaLa* om *BPLVi* edd 12 *ἡλίκον Ba* sed *ον* delet. 13 *ἔτι Vi* Barb Cam | *ἐπειδὴ* Re | *ὁρμῆσ' Pa* *ὁρμήσει PLVi*

γαμεῖν, προσῆλθε τοῖς τὰ τοιαῦτα πράττουσιν. εἶπεν ὅτου δέεται, προσέπεμψε τῷ τρέφοντι παρθένον. ὁ δὲ ἐλθὼν ἐπήνεσε τὸν νεανίσκον, τὸ γένος, τὴν φύσιν, τὴν σωφροσύνην, ἐμνήσθη που τοῦ τῆς οὐσίας μέτρου καὶ ἢ πείσας εὐθὺς ἀπῆλθεν ἢ εἰ μὴ τοῦτο, δευτέρα καὶ τρίτη πρόσοδος τὴν σπουδὴν ἐπλήρωσεν, ἄλλως θ' ὅταν καὶ πρὸς τὴν αὑτοῦ τύχην ἕκαστος μετίῃ τὴν κόρην, ὁ εὔπορος τὴν πολλὰ κεκτημένην, ὁ χρημάτων ἐνδεὴς τὴν οὐχ ὑπερβάλλουσαν τῷ κλήρῳ. καίτοι πένητας ἴσμεν ἀξιωθέντας γυναικὸς πλούτῳ νικώσης. 23. ἅμα δὲ τῷ γάμῳ καὶ δόξα βελτίων συνεισέρχεται. ὅ τε γὰρ πρότερον ἐπαινούμενος θαυμαστότερος γίνεται μᾶλλον δοκῶν σωφρονεῖν οἷς τέ τινες ἦσαν πρὸ τῶν γάμων αἰτίαι λύονται. καὶ ὅλως ἐλευθέρου σχήματος ἀντιποιουμένῳ πρέπον παρὰ μὲν γυναικὸς ἐπὶ τὰ κοινὰ προϊέναι, παρὰ δὲ γυναῖκα πάλιν ἀπὸ τῶν κοινῶν ἀναστρέφειν. 24. τῷ τοιούτῳ καὶ συμβουλεύοντι προσέχουσι καὶ πρεσβείαν ἐγχειρίζουσι καὶ δίαιταν ἐπιτρέπουσι. δοκεῖ γὰρ ὁ παῖδας τρέφων καὶ θεοὺς φοβεῖσθαι καὶ ἀνθρώπους αἰσχύνεσθαι καὶ δόξης ἐπιθυ-

---

7 sq. Anth. Pal. VII 89

---

1 „fort. τὰ αὐτὰ" Re 4 που om *BaPaB* ποῦ *L* in τοῦ corrigendum censuit Sintenis | τοῦ om *LVi* Re | μέτρου *Ba* sed με delet. 5 ἀπῆλθε *Pa* 6 πρόοδος *BPLVi* 7 αὐτοῦ *PaBPLLa* | μετείη *Pa* Barb Cam Mor 9 οὐχ om *B* 12 ὅτε *BaPaBPViLa* edd | θαυμαστὸς γίγνεται *La* 13 μᾶλλον δοκῶν scripsi e *BaPaBLa* καὶ μᾶλλον δοκεῖ *PLVi* edd 14 τῶν om *B* | λύονται scripsi e *BaPaBPLLa* λέλυνται *Vi* edd sed γρ λύονται in marg Mor | ἐλευθέ (ρ supra) *Pa* ἐλευθέραν *L* ἐλευθέρῳ *La* 15 παρὰ *La* sed e περ corr m² 16 περὶ *La* 17 τῷ τοιούτῳ reposui e libris cum Iacobsio Lect App. Pors. Adv. 283 τούτῳ edd sed γρ τῷ τοιούτῳ in marg Mor

μεῖν καὶ τὸ δίκαιον τιμᾶν. δόξα δὲ τῷ μὲν οὐ βουληθέντι γαμεῖν ἡ χείρων, τῷ δὲ ἑλομένῳ γυναικὶ συνοικεῖν ἡ βελτίων ἀναγκαίως ἕπεται. 25. *καὶ* | R IV 1063 *τοσοῦτον ἰσχύει τούτων ἑκάτερον ὥσθ' ὁ μὲν ἄγαμος, κἂν σωφρονῇ, τὴν ἐναντίαν φήμην ἐφέλκεται, ὁ δ' αὖ γεγαμηκώς, κἂν εἰς ἡδονὰς ἐκφέρηται, συκοφαντεῖσθαι δοκεῖ· πολλὴν γὰρ ἔχει ἀνάγκην εἰς τὸ σωφρονεῖν τὸ γύναιον.*

26. *Ἐξελεγχόμενοι τοίνυν ὑπὸ τῶν εἰρημένων ὅτι τῶν καλλίστων αὐτοὺς ἀποστεροῦσιν οἱ φεύγοντες τὸν γάμον τὰς μοιχείας φασὶ δεδοίκαμεν καὶ βαρὺ τὰς τῶν παίδων ἀποβολὰς ἡγούμεθα, ὥσπερ ταῦτα πάντως ἀκολουθοῦντα τῷ γάμῳ. καίτοι τίς οὐκ οἶδεν ὡς αἱ μοιχεῖαι μὲν ὀλίγαι, τὸ δὲ σωφρονεῖν ἐν τοῖς πλείοσι; καὶ περὶ τῶν παίδων ἴσον λέγω· πλείους ἴσμεν σωθέντας ἢ τεθνεῶτας.*

27. *Πάντων οὖν ἀτοπώτατον, εἰ τῶν παραδειγμάτων πειθόντων ὅτι μᾶλλον ἔστιν ἀπολαῦσαι τῶν χρηστῶν ἢ περιπεσεῖν ταῖς συμφοραῖς δείσομεν τὸ πρᾶγμα μᾶλλον ἢ ζητήσομεν, καὶ ταῦτα πολλῆς βοηθείας εἰς ἀμφότερα ταῦτα προφαινομένης. οὐ γὰρ ὀλίγον εἰς*

6 Apthon. l. l. p. 50, 21 sq. ed. Speng. 8 Apthon. l. l. p. 50, 29 sq. 10 Nicol. prog. p. 75, 6 ed. Felten

8 *ἀντίθεσις PLVi*

1 *καὶ τὸ δίκαιον τιμᾶν* om *Vi* Barb Cam | *δὲ* inserui e *B La* *μὲν BaPa* om *PLVi* edd 2 *γυναικὶ* inserui e *La* om reliqui libri edd 5 *φήμην* scripsi e *La* *τύχην* reliqui libri edd *δόξαν* Leopardi | *αὖ* reposui e libris *οὖν* edd 6 *οὐ* ante *συκοφαντεῖσθαι La* 9 *ἐξελεγχόμενος BaPa* 10 *αὐτοὺς PaP* 11 *φησὶ BaLa* 13 *πάντως* scripsi e *PaB* cum Leopardio *πάντα* reliqui libri edd 14 *ὀλίγαι* scripsi e *La* *ὀλίγοις* reliqui libri edd *ἐν ὀλίγαις* coni Re 15 *παιδίων PVi* edd | ⟨*τὸ*⟩ *ἴσον*? | *ἴσον Ba* | *λέ* (γ superscr.) *Pa* 16 *μὲν* ante *ἴσμεν Vi* edd delevi 17 *ἀτοπώτερον BaPaB*

σωφροσύνην γυναικῶν αἱ συμβουλίαι δύνανται καὶ τὸ φυλάττειν οὐδέ γε εἰς σωτηρίαν παίδων θυσίαι καὶ τὰ ἀναθήματα. 28. *ὅλως δὲ εἴ τις ἄνθρωπος ὢν ζητεῖ τινα πρᾶξιν καθαρὰν δυσκόλων, οὐκ οἶδε ζητῶν ἃ θεῶν ἐστι μόνων. ἐπεὶ τίνι τῶν πάντων οὐ συνέζευκται λυπηρά; οὐκ ἀκούεις τῶν γεωργῶν αἰτιωμένων νῦν μὲν αὐχμούς, νῦν δ' ὄμβρων ὑπερβολάς; οὐ τῶν κατὰ θάλατταν ἐμπόρων τὰ τῆς θαλάττης κακά, τοὺς σκηπτούς, τὰ κύματα, τοὺς λῃστάς, ἕτερα μυρία;* 29. *οὐ σήμερον μὲν ὁ ῥήτωρ θαυμάζεται, τῆς δ' ὑστεραίας ἐν γραφαῖς ἐστι καὶ κινδύνοις; ἀθλητὴς δὲ παγκρατιάζων ἤδη που τὸν ὀφθαλμὸν ἐξεκόπη. ἀλλ' οὐκ ἀφίστησιν αὐτοὺς τῶν ἔργων ὁ φόβος.* 30. *εἰ δέ, ὥσπερ* R IV 1064 *ὑμεῖς οὐ | γαμεῖτε διὰ τὰς μοιχείας, οὕτως ἐκείνων οἱ μὲν τὸ γεωργεῖν, οἱ δὲ τὸ πλεῖν, οἱ δὲ τὸ*

---

6 sq. Apthon. l. l. p. 51, 10 sq. Theodor. Metoch. misc. phil. 76 p. 510, 5 sq. ed. Mueller-Kießling. Nicol. prog. p. 75, 8 ed. Felten

---

1 *γυναικὸς B* | *συμβουλαὶ LaP* 3 *τὰ* om *Vi* Barb Cam | *ζητοίη La* 4 *δυσκόλων* scripsi e *BaPaB* *δυσκό* (λ supra) *La* *δυσκολίας PLVi* edd 6 *τὰ* ante *λυπηρά La* | *λυπηρὸν BaPa* | *οὐκ* om *BVi* Barb Cam 7 *τοὺς* ante *αὐχμοὺς PLVi* edd delevi | *δ' ὄμβρων ὑπερβολάς* scripsi e *BaPaBPLLa* *δὲ τὴν τῶν ὄμβρων ὑπερβολήν Vi* edd 8 *θάλασσαν* et *θαλάσσης* edd | *τῆς* om *Vi* Barb Cam 9 *ληστὰς B* 10 *μὲν* om *Vi* Barb Cam | *θαυμάζεται* scripsi e *BaPaBPLLa* *σώζεται Vi* edd sed *γρ θαυμάζεται* in marg Mor et praeferendum censuit Re | *τῆς δ' ὑστεραίας* scripsi e *BaBPLa* sed in hoc *δὲ* *τῇ δ' ὑστεραίας PaL* *τῇ δ' ὑστεραίᾳ Vi* edd 11 *δὲ* om *La* 12 *ἤδη που* om *La* | *ὀφθαλμὸν* scripsi e *BaPaBPLLa* *ὦμον Vi* edd sed *γρ ὀφθαλμὸν* in marg Mor 13 *ἀφίστησιν* reposui e libris sed *ἀ* et *στ* delet. *Ba* *ἀφίησιν* edd sed *γρ ἀφίστησιν* in marg Mor et praeferendum censuit Re | *ἔργων ὁ Ba* sed *ν ὁ* delet. | *δ' PaB* 15 *γεωργεῖν, οἱ* delet. *Ba*

πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἔφευγον, κατελέλυτο ἂν πάντα τὰ κοσμοῦντα τοῖς ἀνθρώποις τὸν βίον.

31. *Τί οὖν ἐγώ φημι; δεῖν ἐκεῖνα μᾶλλον ἐννοεῖν, ὑμέναιον, κρότον, τοὺς παραπέμποντας, τοὺς δαιτυμόνας, δᾷδας, εὐωχίας, παίδων ἐλπίδας, αὐτοὺς τοὺς παῖδας, ὧν οὐδὲν ἥδιον τοῖς εὖ φρονοῦσι τῶν ἀνθρώπων.*

β'.

Εἰ τειχιστέον. R IV 1134

1. *Ὁ τὴν φυλακὴν τοῦ βίου ζητῶν αἱρείσθω τὰ τείχη. πᾶν γὰρ ὃ ταῖς πόλεσι σώζεται, φρουρεῖται τοῖς τείχεσι. τειχίζει μὲν γὰρ οὐρανὸς τοὺς θεούς, τὰ δὲ θνητῶν διατηροῦσι περίβολοι, καὶ ὅ τοῖς θεοῖς οὐρανός, τὰ τείχη θνητοῖς.* 2. *καὶ ἔγωγε τοὺς ποιητὰς ἄγαμαι τειχιστὰς τοὺς θεοὺς πεποιηκότας τῆς Τροίας. οὕτως καὶ ὅσοι τειχῶν οὐ δεδέηνται, τεῖχος κατεσκευάσαντο καὶ τιμᾶται καὶ παρ' αὐτοῖς οὐκ ἐν χρείᾳ καθεστηκόσιν ἡ τέχνη.* 3. *σοφώτεροι μὲν γὰρ ἐκ τειχῶν ἄνθρωποι γίνονται, καὶ κατ' ἐξουσίαν ἐκκλησιάζειν*

---

5 sq. Apthon. l. l. p. 53, 3 sq.
15 Il. η 452 sq.; υ 144 sq.; φ 446 sq.

---

1 *καὶ* om *BaPa* | *κατελέλυτο* scripsi *κατελέλυντο PaLa* sed in hoc ε(1) in ras, edd *κατελέλυντ' Ba* *καταλέλυντο BPLVi* 2 *κοσμοῦντα* delet. *Ba* 3 signum interrogationis post *φημι* inserui e *B* om reliqui libri edd sed *τί οὖν ἐγώ; φημὶ δεῖν* coni Re | *ἐκεῖνα* scripsi e *La* *ἐκεῖνο* reliqui libri edd 4 *κρότον* scripsi e *BaPaBLa* *κρότους PLVi* edd 5 *αὐτοὺς τοὺς παῖδας* inserui e *La* om reliqui libri edd 6 *εὐφρονοῦσι BaL* Cam Mor Re qui *σωφρονοῦσι aut saltim εὖ φρονοῦσι* scribendum coni

9 *Εἰ τειχιστέον*] *θέσις Ba* *θέσις εἰ τειχιστέον Pa* *τὰς πόλεις* post *τειχιστέον* edd delevi 14 *ἔγωγε Ba* sed ε(2) delet. *ἐγὼ μὲν* All Re | *τοὺς* delet. *Ba* om *Pa* Walz 16 *τειχῶν οὐ δεδέηνται* scripsi *θεῶν οὐ δεδύνηνται BaPa* edd

τείχη δεδώκασιν. ἔπειτα πρὸς μάχης ἐπαίρει παρασκευήν, καὶ κατασκευὰς τῶν ὅπλων ἑστηκότες περίβολοι νέμουσι. 4. καὶ μὴν τὰ τείχη σωφροσύνην διατηρεῖ· παθεῖν γὰρ οὐκ ἐῶσι γυναῖκας ὅσα γυναιξὶν οἱ πόλεμοι φέρουσι. καὶ δικαστηρίων σωζομένων ἐκ τείχους ἐντεῦθεν ἄνθρωποι καθεστήκασι δίκαιοι. 5. εἰ δὲ διὰ τείχους ἐρρωμένοι γεγόναμεν καὶ περὶ τῶν δεόντων βουλευόμεθα καὶ τὰ δίκαια σώζεται τείχεσι καὶ μετὰ τούτων τὸ σωφρονεῖν, πῶς οὐκ εἰς ὅσον οἷόντε τιμητέον τὰ τείχη;

6. *Ναί, φησίν, ἀλλὰ δειλίας τὰ τείχη γίνεται πρόφασις. δειλίαν ὀνομάζεις τὴν πρόνοιαν καὶ τὰ κάλλιστα τῶν ἔργων αἰσχίστοις περιβάλλεις ὀνόμασι. καὶ δι' ὧν ἐρεῖς οὐκ ἐᾷς περιβάλλεσθαι, ἀλλὰ καθίστασαι τῆς ἀσφαλείας κατήγορος ὄκνον ὀνομάζων τὴν φυλακήν. 7. τοὐναντίον, ἄνθρωπε, θαρρεῖν τὸ τεῖχος, οὐ δεδιέναι παρέχεται. καὶ γὰρ ὅπλων ἀποσοβῆσαι παρασκευὴν καὶ ξίφος ἀπαμύναι ἐχθρῶν καὶ κατ' ἐξουσίαν πορίσασθαι νίκην τοῖς μαχομένοις μόνη τῶν τειχῶν παρέσχεν ἡ τέχνη. 8. πῶς οὖν ἔτι δειλίαν ἐρεῖς τὰ μόνα δειλίαν ἀνῃρηκότα καθάπαξ; τοὐναντίον γὰρ ἔγωγε ἔγνωκα τοῖς πολεμίοις ἐκ τῶν περιβόλων ἐγγί-*
R IV 1135 *νεσθαι τὸ δέος. καὶ γὰρ τί πάθωσιν | οἱ ἄνωθεν*

---

1 *μάχ* (*η* supra) *Ba* | *ἐπαίρουσι?* | *παρασκευήν* scripsi coll Thuc. V 56, 4 *κατασκευήν BaPa* edd 2 *νέμουσιν Pa* All Re 4 *οἱ* om Walz | *πόλεμοι* scripsi cum Sinteni *πολέμιοι BaPa* edd 5 *φέρουσιν* All Re 7 *τάχους BaPa* Walz corr All 8 *βουλευόμεθα* scripsi cum Sinteni *ἐβουλευόμεθα BaPa* edd | *μετὰ* delet. *Ba* *εἰ διὰ* All Re et „*melius*“ esse censet Walz 9 *τιμητέον* scripsi coll p. 565, 12 sq. *ποιητέον BaPa* edd 11 *γίνεται* delet. *Ba* *καθεστήκασι* All Re 12 *δειλίαν* scripsi cum Iacobsio Lect 192 *δεινὸν BaPa* edd 13 *περιβάλλειν Pa* | *ὀνόμασι Ba* sed *σι* delet. *ὀνόμασιν* All Re 16 *ἄνθρωπε* om Walz 18 *ἀπαμῦναι?* 23 *γὰρ* e parte delet. *Ba* *μὴν* All Re | *οἳ Pa*

πολεμοῦντες; μὴ δεδοίκασιν; ὥστε εἰ μὲν τὸ δέος τῶν πολεμίων ἐρεῖς, ὁμολογεῖς καὶ τὸ τεῖχος· εἰ δὲ τῶν πολιτῶν, ἀπὸ τῶν ἔργων θήσω τὴν τόλμαν. ἄφες οὖν ταύτης τῆς αἰτίας τὸ τεῖχος.

9. *Ναί, φησίν, ἀλλὰ δαπανηρὰ τοῖς κτωμένοις τὰ τείχη.* τείχη τὸν ὄντα πόρον ἀνάλωσε. καὶ πόθεν ὁ τῶν ἀνθρώπων τετήρηται πλοῦτος; τὴν περιουσίαν φρουροῦσι περίβολοι καὶ μετὰ τῶν χρωμένων τηροῦσι τὰ χρήματα καὶ κοινὴ φυλακὴ περιουσίας εἰσὶ καὶ τῶν πολιτῶν, ὥστε τὰ τείχη τοῖς κατοικοῦσιν οὐ δαπάνην ἐπήγαγεν, ἀλλὰ τὸν ὄντα τετήρηκε πλοῦτον. 10. καὶ διχόθεν εἰσὶν αἱ περιουσίαι δι' αὐτῶν τῶν τειχῶν. τὸν μὲν γὰρ οὐκ ὄντα πλοῦτον συλλέγειν ἑστηκότες περίβολοι νέμουσι, τὸν δὲ γεγενημένον ἐκ τῆς τῶν τειχῶν φυλακῆς ὑπάρχει διατηρεῖν. ὥστε οὐ τὸ τεῖχος δαπανηρόν, ἀλλὰ τὴν οὖσαν ἐπέσχε δαπάνην. 11. φέρε γάρ, πρὸς θεῶν, εἰ πολέμιοι τοῖς κατοικοῦσι προσβάλοιεν, καὶ πάντα φιλεῖ κατεργάσασθαι πόλεμος, τήν τε τῆς πόλεως περιουσίαν ὑφαρπάσαι πειρώμενοι καὶ μηδένα λοιπὸν τοῖς κατοικοῦσι πόρον καταλιπεῖν, εἰ ταῦτα πράττειν οἱ πολέμιοι σπεύδοιεν, τί τοῦ μὴ παθεῖν καταστήσεται κώλυμα; ἢ δηλονότι τὸ μὴ παραι-

1 signum interrogationis(1) om *BaPa* 8 *χρημάτων* All Re 10 *τῶν χρημάτων* ante *τοῖς* All Re | *τοῖς Ba* sed *ῖς* delet. | *κατοικοῦσιν* scripsi *κατοικήσασιν BaPa* edd 11 *ἐπήγαγε Pa* 12 *εἰσὶ* All Re | *αἱ περιουσίαι* delet. *Ba* *φυλακαὶ* All Re 14 *τὸν δὲ* delet. *Ba* 16 *ἐπέσχε* delet. *Ba* *ἀφαιρεῖται* All Re *τὴν τῆς οὐσίας ἀφαιρεῖται* Iacobs Lect 17 *κατοικοῦσι* scripsi *οἰκοῦσι BaPa* edd 18 *προσβάλλοιεν* Walz | *φιλεῖ* scripsi auctore Sinteni *ἀφελῇ BaPa* edd | *κατεργάσασθαι* scripsi *κατεργάσαιτο Ba* sed *αιτο* delet., *Pa* Walz *κατεργάσεται* All Re *κατεργάζεσθαι* Sintenis 20 *πόρον* scripsi auctore Sinteni *πόνον BaPa* edd 22 *τὸ* scripsi *τοῦ BaPa* edd | *παραιρεῖσθαι* scripsi auctore Sinteni *παραρρεῖσθαι BaPa* edd

ρεῖσθαι τὸν ἔνδοθεν πλοῦτον φιλοτιμεῖται τῶν περιβόλων ἡ τέχνη; πῶς οὖν οὐκ ἄλογον πολεμίους μὲν πάντα καταλαβεῖν ὑπὸ τῶν περιβόλων κωλύεσθαι, κατηγορεῖν δὲ τειχῶν ὡς δαπάνης αἰτίων; 12. μέγα τὰ τείχη καὶ περίβολοι τοῖς χρωμένοις σωτήριον. καὶ ἡ τύχη τοῖς κτωμένοις ἀσφάλειαν τὴν περὶ τὰ τείχη πεποίηται τέχνην, ὅτιπερ οὐκ ἔστιν εἶναι τοὺς ἀγνοοῦντας τειχίζεσθαι. 13. καὶ τοίνυν, εἰ νόμοι μὲν κρατοῦσιν ὑπὸ τειχῶν, διὰ δὲ περιβόλων πολιτεύεται δίκαια καὶ συνοίσουσιν οἷς ἂν εἶεν ταῦτα γινόμενα, καὶ τειχίσαι πᾶσι τιμητέον τὰ τείχη τιμᾶν εἰδότα καὶ πολιτείαν καὶ βίον.

γ'.

R IV 1135 *Εἰ πλευστέον.*

1. Οὐκ οἶδα εἰ τὴν ἐμπορίαν ⟨ἂν⟩ ἠτίμασεν ὁ θεῶν εἰδὼς γεγονότα τὸν πλοῦν. προῆλθε μὲν γὰρ τὸ χρῆμα
R IV 1136 τῆς Ἀθηνᾶς, | καὶ σοφῆς θεοῦ γεγονὸς πάντως που τῷ βίῳ καταφανὲς πρὸς ὄνησιν. τὸ γὰρ ἐξ ἀγαθῶν καὶ ταῦτα θεῶν τοῖς λαβοῦσιν ὠφέλιμον. 2. δρῶσα γὰρ ἡ θεὸς ἀνόνητα τὰ τῆς γῆς τοῖς ἀνθρώποις τυγχάνοντα μὴ προσόντος τοῦ πλεῖν οὕτως ἐργάζεσθαι

---

14 [Aristid.] rhet. t. II 121, 11 sq. ed. Dind. 20 Schol. Lyc. 359. Hyg. fab. 277

---

1 τὸν *Ba* sed τὸ delet. 3 ὑπὸ scripsi ἀπὸ *BaPa* edd 4 μέγα scripsi auctore Sinteni μετὰ *BaPa* edd 7 ἔστιν εἶναι τοὺς ἀγνοοῦντας *Ba* sed στιν ἶναι τοὺς ἀγν delet. θαρροῦντας All Re 8 εἰ νόμοι μὲν κρατοῦσιν in lac om All Re 9 περιβόλων scripsi cum Walzio περιβόλου *BaPa* All Re | πολιτεύονται Walz 10 εἶεν ταῦτα γινό in lac om All Re | ταῦτα delet. *Ba*
14 θέσις εἰ πλευστέον *Pa* 15 τὴν scripsi cum Sinteni τις *BaPa* All Re τι Walz | ⟨ἂν⟩ inserui om *BaPa* edd 20 θεὰ All Re | τὰ om All Re | τῆς om *Pa*

δέδωκε θάλατταν ὡς παρέσχε πονεῖν ἡ φύσις τὴν ἤπειρον, καὶ τὸ μὴ ῥάδιον ὁπωσοῦν διελθεῖν ἑτοιμότερον παρέσχε πορίζεσθαι. 3. *καὶ πρῶτον ἀνθρώπους σοφωτέρους εἶναι παρέσχεν ὁ πλοῦς, οἷς ἄλλην ἐξ ἄλλης καταλαμβάνουσι γῆν, εἶτα ἀνδρείους ἀποτελεῖ τολμῶντας δρᾶν τὰ πρὸς τὴν θάλατταν καὶ τοῖς πνεύμασιν ἀνταγωνίζεσθαι σπεύδοντας, εἶτα δικαίους ἐπιβάντας νεώς. οἷς γὰρ δέονται πρὸς τὸ μή τι παθεῖν τῶν θεῶν, καὶ παντός εἰσι δικαιότεροι. καὶ μὴν τὸ σωφρονεῖν ἡ τῆς γῆς ἀλλοτρίωσις δίδωσιν. οἷς γὰρ οὐχ δρῶσιν ⟨αἷς⟩ πλησιάζωσι, καὶ σωφροσύνην ἐπιτηδεύουσιν.* 4. *εἰ δὴ οὖν προῆλθε θεῶν καὶ πᾶσαν ἀρετὴν παρέσχεν ἀσκεῖν, εἰς ὅσον οἷόν τε τιμητέον τὸν πλοῦν.*

5. *Ναί, φησίν, ἀλλ' ἐπὶ κακίᾳ τῶν ἀνθρώπων παρεσκεύασται πλοῦς. καὶ τί ἂν ἕτερον φυλάξαι τὸ δίκαιον, εἰ τὸν πλοῦν ⟨τις⟩ ἀφαιρήσεται; ἄλλην ἐξ ἄλλης καταλαμβάνουσι γῆν καὶ τὰ παρὰ πᾶσιν ἐκμανθάνοντες νόμιμα τηροῦσι τὰ δίκαια. καὶ τοσοῦτον αὐτοῖς τοῦ δικαίου περίεστιν ὥστε παρενθήκην αὐτοῦ εὑρεῖν τοῖς ὅθεν ἀπαίρουσιν. ἃ γὰρ ἑτέρωθεν ἔμαθον, τοῖς οἰκείοις εἰσήγαγον, καὶ γίνεται νομοθέτης δικαίων ἐξ ἑτέρων νομοθετούμενος.* 6. *καὶ μὴν δεδοικότες μή τι πάθωσι πλέοντες δικαιότεροι γίνονται καὶ καθίσταται τῶν δικαίων φύλαξ ὁ φόβος. εἰ ⟨δὲ⟩ δεδοικότες μένουσι*

5 sq. Hor. c. I 3, 17 sq. 10 [Dem.] Neaer. § 19. 20. 41

2 *ῥάδιον* scripsi *ῥᾷον BaPa* edd 5 *δρᾶν* scripsi auctore Sinteni *ῥᾷον BaPa* edd 6 *τὴν* inser *Pa*[2] 10 *δρῶσιν ⟨αἷς⟩ πλησιάζωσι* scripsi *δρῶσι πλησιάζουσι BaPa* edd 11 *ἐπιτηδεύουσι Pa* 14 *κακία Ba* sed *κα* delet. 15 *παρεσκευάσθαι Pa* | *φυλάξῃ BaPa* edd 16 *τις* inserui cum Sinteni om *Ba Pa* edd | *ἄλλην ἐξ Ba* sed *λην ἐ* delet. 19 *αὐτοῦ* scripsi e *Ba Pa* ut coni Walz *αὐτοὺς* edd 23 *καθίσταται* scripsi coll p. 571, 3 *καθιστᾷ BaPa* edd 24 punctum posui comma *Ba Pa* edd | *δὲ* inserui om *BaPa* edd

δίκαιοι καὶ καλοῦντες θεοὺς εἰσιν ὁσιώτεροι καὶ τὰ παρὰ πᾶσιν ἐκμανθάνοντες δίκαια δικαιοσύνην ἐπιτηδεύουσι, πῶς ἂν τις αἰτιῷτο τὸν πλοῦν ἐπεισφέροντα τοῖς πλέουσιν ἄδικα;

7. *Ναί, φησίν, ἀλλὰ τὸ πλεῖν ἐστι σφαλερώτατον. οὐκοῦν μέγιστον, εἰ παρ' αὐτὸ κινδυνεύουσιν ἄνθρωποι; μεγάλα δὲ μεγάλοις κατορθοῦται τοῖς πόνοις. ἃ δὲ πονεῖν οὐκ ἐᾷ τοὺς χρωμένους, οὐκ ὤνησεν.* 8. *ὁρᾷς τὰς μάχας εἰς οἷον πόνον τοῖς χρωμένοις ἐκβαίνουσιν. ἀλλ' εἰ καὶ τὸ πολεμεῖν ἐπικίνδυνον, τὸ κατορθοῦν ἐνδοξότερον, καὶ οὐ τὰς μάχας ἀποδιδρά-*
R IV 1137 *σκουσιν ἄνθρωποι τοὺς κινδύνους σκοποῦντες, | ἀλλ' αὐτοὺς ἑκουσίως ὑφίστανται τὸ νικᾶν λογιζόμενοι. καὶ ἀφαιροῦνται τῶν κινδύνων τὴν αἴσθησιν αἱ τῆς νίκης λαμπρότητες.*

9. *Ὅθεν μετὰ τοῦ πλεῖν καὶ τὸ κτῆμα θεῶν πορισθὲν ὅλοις ὄνησις γεγένηται πλείστη. τετίμηνται μὲν γὰρ οἱ πορίσαντες, ἠσπάσαντο δὲ οἱ καθάπαξ ἀσκήσαντες. καὶ τὴν ἴσην ὁ πλοῦς κομιεῖ πᾶσιν ὄνησιν, θεοῖς μὲν τὴν τιμήν, ἀνθρώποις δὲ πόρον οὐ μέτριον.*

---

1 *θεῶν BaPa* corr All   3 *ἐπιτηδεύουσιν* edd | comma posui punctum *BaPa* edd   8 *ὤνησεν* scripsi cum Iacobsio Lect Sinteni *ὤκνησαν BaPa* edd   16 *τοῦ* scripsi *τὸ BaPa* edd   17 *γεγένηται* scripsi *γίνεται Ba* sed *γ* et *ε* delet., edd *εὕρηται Pa* | *πλείστη* scripsi *σι Ba* sed antea 5 litt delet. *γένε*^{σ} *Pa* *πλέουσι* edd   19 *ἴσην ὁ πλοῦς* scripsi e *Ba* sed *ἴσην ὁ πλο* delet., *Pa* *εἰς ἀνθρώπους* edd | *κομιῇ Pa* | *πᾶσιν* scripsi *πᾶσαν BaPa* edd

XIV.

Συνηγορία[1])

νόμου τοῦ κελεύοντος τὰς τῶν ἀδελφῶν γαμετὰς μὴ γαμεῖν quae in codicibus Barberino (*Ba*) fol. 18^v et Parisino (*Pa*) fol. 152^v post theses secundam tertiamque exstat, non Libanii, sed eiusdem atque illae auctoris est. Utrumque codicem contuli.

Sub Libanii nomine e *Ba* primus edidit Allatius Excerptis variis p. 392—397 (= All), cuius textus editione Reiskiana t. IV p. 1137—1138 (= Re) repetitus est, sub Nicolai nomine non e *Pa* sed e Reiskiana editione descriptam exhibet Walzius Rhet. gr. t. I p. 419—420.

---

1) De defensione (*συνηγορίᾳ*), non accusatione (*κατηγορίᾳ*) (ut est in editionibus) agi ex argumento ipso apparet.

XIV.

R IV 1137

Συνηγορία
νόμου τοῦ κελεύοντος τὰς τῶν ἀδελφῶν γαμετὰς μὴ γαμεῖν.

1. Ἔφθασε μὲν ἡ φύσις τὸν νόμον καὶ τοὺς ἅμα γεγονότας εἰς ὑμέναιον οὐκ ἐᾷ συνελθεῖν, βεβαιοῖ δὲ ὅμως τὴν φύσιν ὁ νόμος καὶ δι' ἑκατέρων ἄμφω προῆλθε, φύσις μὲν νόμῳ καταβάλλουσα γένεσιν, νόμος δὲ βεβαιῶν ἃ τῇ φύσει δοκεῖ. δεῖ δ' ἐπὶ τῷ νόμῳ βραχέα φιλοσοφῆσαι.

A recentissimis vero editionibus, quae sunt Blassii, Butcheri, Fuhrii, mea recedit editio cum singulis lectionibus tum ratione orthographica. Nam et formas *δωρειά*, *ἐπιμειξία*, *Τεισίας*, *ἐκτεισθῇ*, *σῴζειν* alias et elisiones illas syllabarum brevium crasesque quas vel ad scripturam vetustam Atticam restaurandam vel ad concursum vocalium eliminandum Blassio auctore illi non solum Demosthenis, sed etiam Libanii textui ingesserunt, removi utpote quae et ab usu Libanii in ceteris operibus conspicuo et a codicibus huius opusculi abhorreant. Quod notatum esse volo propterea quod periculum est ne e Fuhrii silentio has formas atque elisiones libris contineri colligas. Hunc ipsum nunc eas fere improbare ex eius litteris novi. Has vero lectionum ab illorum editionibus discrepantias nisi ubi necessarium visum est, non adnotavi.

1) Ingram Bywater, qua est erga me benevolentia, suum exemplar utendum mihi misit.

Ὑποθέσεις τῶν λόγων Δημοσθένους.

R 1 1. Ἐπειδή, κράτιστε ἀνθυπάτων Μόντιε, κατὰ τὸν Ὁμηρικὸν Ἀστεροπαῖον περιδέξιος τὰ εἰς λόγους ὢν πρωτεύεις μὲν ἐν τῇ Ῥωμαίων φωνῇ καὶ τῆς παρ' ἐκείνοις παιδείας ὁμολογουμένως τὸ πρεσβεῖον ἀνῄρησαι, ἀμελεῖς δὲ οὐδὲ τῆς Ἑλληνικῆς ἅτε καὶ ἐν αὐτῇ διὰ τὸ τῆς φύσεως μέγεθος ὑπερέχειν δυνάμενος, ἀλλὰ περί τε τοὺς ἄλλους διατρίβεις καὶ περὶ τὸν τελεώτατον τῶν Ἑλληνικῶν ῥητόρων τὸν Δημοσθένην καὶ δὴ καὶ ἡμᾶς ἐβουλήθης τὰς ὑποθέσεις τῶν τούτου λόγων ἀναγράψασθαί σοι, δεχόμεθα μὲν ἄσμενοι τὸ πρόσταγμα, ἴσμεν γὰρ ὅτι πλείω τὴν τιμὴν ἢ πόνον ἔχει, ἀρξόμεθα δὲ τοῦ συντάγματος ἀπὸ τοῦ βίου τοῦ ῥήτορος
R 2 οὐχ ὅλον αὐτὸν διεξιόντες, | περιττὸν γὰρ τοῦτο, ἀλλὰ τοσούτων μνημονεύοντες ὅσα δοκεῖ καὶ πρὸς κατάληψιν ἀκριβεστέραν τῶν λόγων συντελεῖν.

2. Δημοσθένει τοίνυν τῷ ῥήτορι πατὴρ ἦν Δημο-

---

2 cf. Sievers, Leben des Libanios p. 214, 6   3 Il. φ 163   8 cf. Bielski, De aetatis Demosthenicae studiis Libanianis p. 1 not. 1

---

1 Ὑποθέσεις — Δημοσθένους] *Λιβανίου ὑπόθεσις τῶν λόγων δημοσθένους F Λιβανίου σοφιστοῦ πρὸς ἀνθύπατον μόντιον ἀξιώσαντα αὐτὸν γράψαι οἱ τόν τε δημοσθένους βίον καὶ τὰς ἁπάντων τῶν λόγων αὐτοῦ ὑποθέσεις* libri recc. (Salmant. Barocc. 72. Vat. 1367. Par. 2994. Harl. 5728) Ald   6 *ταύτῃ?*   8 *τὸ O*   9 *ῥημάτων F* sed *γρ ῥητόρων* in marg m[2] | *τὸν* om *m*   12 *ἀρξώμεθα u*   15 *τοσοῦτον FO τοσαῦτα m* | *μνημονεύσαντες m* | *ὅσω O*   16 *συντελῇ u*

σθένης ἀνεπίληπτος τῷ γένει δοκῶν, ὡς καὶ Αἰσχίνης ἐχθρὸς ὢν μαρτυρεῖ. εἴρηται γοῦν οὕτως αὐτοῖς ῥήμασι· τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, ἀνὴρ ἐλεύθερος, οὐ γὰρ δεῖ ψεύδεσθαι. ἐργαστήριον δὲ οἰκετῶν μαχαιροποιῶν κεκτημένος ἐντεῦθεν τὴν τοῦ μαχαιροποιοῦ κλῆσιν ἔλαβε. 3. τὸ μέντοι μητρῷον γένος τοῦ ῥήτορος οὐκ ἦν, ὥς φασι, καθαρῶς Ἀττικὸν Γύλωνος τοῦ πάππου τοῦ Δημοσθένους φυγόντος μὲν ἐξ Ἀθηνῶν ἐπὶ προδοσίας ἐγκλήματι, οἰκήσαντος δὲ περὶ τὸν Πόντον κἀκεῖ γυναῖκα ἀγαγομένου Σκύθιν τὸ γένος, ἐξ ἧς ἦν τοῦ Δημοσθένους ἡ μήτηρ Κλεοβούλη. εἰς τοῦτο γοῦν ἄλλοι τε λελοιδορήκασι καὶ Αἰσχίνης εἰπὼν ὡς ἄρα εἴη Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ.

4. Περὶ μὲν οὖν τοῦ γένους αὐτοῦ τοσαῦτα εἰρήσθω· ὀρφανὸς δὲ καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς κομιδῇ νέος ἦν μέν, ὥς φασιν, ἀσθενὴς τῷ σώματι καὶ

3 sq. Aeschin. Ctes. § 171 p. 78, 12   6 Aeschin. fals. leg. § 93 p. 40, 29   7 sq. Aeschin. Ctes. § 171 p. 78, 13 sq. Plut. Dem. 4, 1   12 cf. p. 648, 16   13 Aeschin. Ctes. § 172 p. 78, 24. Din. c. Dem. § 15   15 Isocr. or. XXI § 16

8 *τῶν Παιανιέων διττοὶ δῆμοι τῆς Πανδιονίδος φυλῆς εἰσι· καὶ ὁ μῖος*(?) (corr. *Διόδωρος* ex Harpocr. Suid. s. v.) *ἑκατέρου τοῦ δήμου τὸν δημότην καλεῖσθαί φησι Παιανιέα* in marg *F*²

1 *ὅπερ Ou* | *καὶ*] *ἐστι u*   2 *γ' οὖν F* (constanter)   4 *ψεύσασθαι mOu* Ald cf. Aeschin. l. l.   7 *φησι FO*   10 *ἀγομένου* libri Ald corr Wolf   12 *τε* om libri inser Ald   15 *οὖν* om *u*   17 *ἦν* — 602, 9 *ἐκάλουν* libere exscripsit Photius bibl. cod. 265 (*Δημοσθένους λόγοι*) p. 495, 34 *ἕτεροι δέ φασιν, οἷς καὶ Λιβάνιος ὁ σοφιστὴς ἠκολούθησεν, ὡς νέος ὢν ἀσθενῶς διέκειτο τῷ σώματι καὶ νοσώδης ἦν· διὸ μηδὲ φοιτᾶν εἰς παλαίστραν, ὡς πάντες οἱ τῶν Ἀθηναίων παῖδες εἰώθεσαν. διὰ τοῦτο καὶ ἀνδρωθεὶς εἰς μαλακίαν ὑπὸ τῶν ἐχθρῶν ἐσκώπτετο καὶ Βάταλος ἐπωνομάζετο. ἱστόρηται γάρ τις Ἐφέσιος Βάταλος αὐλητὴς γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς ἐχρήσατο καὶ μέλεσι κατεαγόσι καὶ ὅλως τὴν τέχνην ἐμαλάκισεν· ἀφ' οὗ τοὺς ἐκλύτους καὶ ἀνάνδρους Βατάλους ἐπονομάζουσιν.*

νοσώδης ὥστε μηδὲ εἰς παλαίστραν φοιτῆσαι, καθάπερ πάντες οἱ τῶν Ἀθηναίων παῖδες εἰώθεσαν. 5. ὅθεν καὶ ἀνδρωθεὶς ὑπὸ τῶν ἐχθρῶν εἰς μαλακίαν ἐσκώπτετο καὶ Βάταλος ἐπωνυμίαν ἔσχεν. ἱστόρηται γάρ τινα Βάταλον Ἐφέσιον αὐλητὴν γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς ἐχρήσατο καὶ μέλεσι κατεαγόσι καὶ ὅλως τὴν τέχνην ἐμάλθαξεν. ἀπὸ τούτου δὲ τοὺς ἐκλύτους καὶ ἀνάνδρους Βατάλους ἐκάλουν.

6. Λέγεται δὲ τὸν Δημοσθένην τὴν πολλὴν καὶ σφοδρὰν ἐπὶ λόγους ὁρμὴν ἐντεῦθεν σχεῖν. Καλλίστρατος ἦν Ἀθηναῖος ῥήτωρ ἔνδοξος. οὗτος ἔμελλε δημοσίαν τινὰ | δίκην ἀγωνίζεσθαι, φασίν, οἶμαι, τὴν
R 3
περὶ Ὠρωποῦ. ὁ τοίνυν Δημοσθένης παῖς ὢν ἐδεῖτο τοῦ ἐφεστῶτος οἰκέτου συγχωρῆσαι παραβαλεῖν αὐτῷ τῇ δίκῃ, καὶ ὃς ἐπέτρεψεν. ἀκούσας δὲ οὕτω διετέθη ὥστε ἀπ' ἐκείνης τῆς ὥρας πάντα πάρεργα πρὸς τοὺς λόγους θέσθαι. 7. διδασκάλῳ δὲ χρησάμενος Ἰσαίῳ, μάλα δεινῷ ῥήτορι, εἰς ἄνδρας ἐγγραφεὶς εὐθὺς ἀγῶνα κατὰ τῶν ἐπιτρόπων ἐνεστήσατο κακῶς διῳκηκότων τὴν οὐσίαν αὐτοῦ. καὶ εἷλε μὲν αὐτούς, οὐ μὴν ἠδυνήθη πάντα ἀπολαβεῖν ὅσα ἀπολωλέκει. 8. τοὺς δὲ

4 Aeschin. Tim. § 126. 131; fals. leg. § 99 Dem. cor. § 180 p. 288, 17. [Plut.] vit. X or. p. 847 E. cf. ad t. VI 417, 17 et Bielski l. l. p. 8 sq. 10 sq. Plut. Dem. 5, 1 sq. cf. Bielski p. 9 18 Plut. Dem. 5, 4. cf. Bielski p. 9 19 Plut. Dem. 6, 1. cf. Bielski p. 11

18 ὅτι Ἰσαῖος ὁ Δημοσθένους διδάσκαλος μαθητὴς ἦν τοῦ Ἰσοκράτους in marg infer *F* cf. Harpocr. Suid. s. v.

4 Βάτταλος Dind | τὴν ante ἐπωνυμίαν *O* 5 Βάτταλον Dind 6 ἐχρήσατο ἐπὶ τῆς σκηνῆς *O* 9 ὠνόμασαν *m* 12 ἔμελλεν *F* Fuhr 14 περιορωπου *F* | ὀρώπου *m* 15 παραλαβεῖν *O* | αὐτῷ libri αὐτὸν Voemel corr Turic 20 ἀνεστήσατο *F* 21 εἷλεν *F* Fuhr 22 ἀπολώλεκε(ν *F*) libri corr Bekker

λόγους τοὺς ἐπιτροπικούς εἰσιν οἵ φασιν Ἰσαίου καὶ οὐ Δημοσθένους εἶναι διὰ τὴν ἡλικίαν τοῦ ῥήτορος ἀπιστοῦντες, ὀκτωκαίδεκα γὰρ ἐτῶν ἦν, ὅτε πρὸς τούτους ἠγωνίζετο, καὶ ὅτι δοκοῦσιν οἱ λόγοι τὸ τοῦ Ἰσαίου πως ἐπιφαίνειν εἶδος. ἕτεροι δὲ νομίζουσι συντετάχθαι μὲν ὑπὸ Δημοσθένους, διωρθῶσθαι δὲ ὑπὸ τοῦ Ἰσαίου. οὐδὲν δὲ θαυμαστὸν εἰ ὁ Δημοσθένης ἐδύνατο μὲν καὶ ἐπ' ἐκείνης τῆς ἡλικίας συγγράφειν τοιούτους λόγους, ἡ γὰρ ὕστερον ὑπεροχὴ καὶ τοῦτο πιστοῦται, ἀπὸ δὲ νεαρᾶς ἔτι τῆς ἀσκήσεως τῆς ὑπὸ τῷ διδασκάλῳ τὸν ἐκείνου χαρακτῆρα πολλαχῇ μεμίμηται. 9. μετὰ μέντοι τούτους τοὺς ἀγῶνας βραχὺ τῇ ἡλικίᾳ προελθὼν σοφιστεύειν ἐνεχείρησεν. εἶτα ἀπαλλαγεὶς τούτου συνηγόρησεν ἐν δικαστηρίῳ. τούτοις δὲ ὥσπερ γυμνασίοις χρησάμενος ἐπὶ τὸ δημαγωγεῖν καὶ τὰ τῆς πόλεως πράττειν ἦλθεν.

10. Ἔτι κἀκείνων μνημονευτέον, ὅτι τραυλὸς μὲν ἦν τὴν γλῶτταν ἐκ φύσεως, τὸ δὲ πνεῦμα ἀτονώτερος. ἐξ ὧν ἀμφοτέρων συνέβαινε φαυλοτάτην αὐτὸν τὴν ὑπόκρισιν παρεχόμενον οὐκ εὐδοκιμεῖν τὸ κατ' ἀρχὰς ἐπὶ τοῖς λόγοις. διὸ καὶ πρὸς τὸν ἐρωτήσαντα τί ἐστι ῥητορική; ἀπεκρίνατο ὅτι ὑπόκρισις δυσχεραίνων ὅτι διὰ ταύτην τῶν χειρόνων | ἥττων ἐφαίνετο. R 4

1 cf. p. 651, 8 sq. Caecil. Cal. fr. 125 a ed. Ofenl. cf. Bielski p. 11 13 Aeschin. Tim. § 117. 171. 175. Anon. vit. Dem. p. 304, 55 W. Zosim. p. 300, 93 sq. cf. Bielski p. 12

2 οὐ om *O* 4 τὸ om libri inser Ald 6 διορθοῦσθαι libri Ald corr Wolf 7 οὐδὲ *u* | δὲ om *m O* 8 καὶ ἀπ' libri corr Sauppius κἀπ' Dindorf Blass Butcher Fuhr 12 κατὰ μέντοι τοῦτον τὸν ἀγῶνα *O* | τοὺς ἀγῶνας τούτους *P* 13 ἐνεχείρισεν *Ou* 17 κακεῖνο e κακείνω corr *O*[2] 18 ἀτονώτερον *F m* 19 ἐξῶν *F* 20 καταρχὰς *F* 23 ἡττον *F*

11. ἀλλὰ καὶ ταῦτα μελέτῃ κατώρθωσε καὶ ὅσα ἄλλα αὐτῷ πρὸς δημαγωγίαν ὑπῆν ἐλαττώματα. καὶ γὰρ δειλὸς ἦν τὸ πρῶτον πρὸς τοὺς τοῦ δήμου θορύβους καὶ εὐκατάπληκτος ὥστε εὐθὺς ἐξίστασθαι. διὰ δὲ τοῦτό φασιν αὐτὸν ἄνεμον ῥαγδαῖον τηροῦντα καὶ κινουμένην σφοδρῶς τὴν θάλατταν παρὰ τοὺς αἰγιαλοὺς βαδίζοντα λέγειν καὶ τῷ τῆς θαλάττης ἤχῳ συνεθίζεσθαι φέρειν τὰς τοῦ δήμου καταβοάς. 12. μνημονεύονται δὲ αὐτοῦ καὶ οἰκήσεις κατάγειοι καὶ ξυρήσεις ἀπρεπεῖς, ἵνα δι' αἰσχύνην μὴ προΐοι τοῦ τῆς οἰκίας δωματίου, καὶ ὡς οὐδὲ τὰς νύκτας ἐκάθευδεν, ἀλλὰ διεπονεῖτο πρὸς φῶς περὶ λόγους. ὅθεν καὶ Πυθέας σκώπτων ἔφη τοὺς λόγους τοῦ Δημοσθένους λύχνων ἀπόζειν. πρὸς ὃν ὁ Δημοσθένης ἀστείως ἅμα καὶ πικρῶς οἶδα, εἶπεν, ὅτι σε λυπῶ λύχνον καίων. διεβέβλητο γὰρ ὡς λωποδυτῶν νύκτωρ ὁ Πυθέας. 13. καὶ μὴν ὅτι γε ὕδωρ ἐπετήδευε πίνειν, ἵνα ἐγρηγορυῖαν μᾶλλον παρέχηται τὴν διάνοιαν, ἅπασιν ὡμολόγηται. παρειλήφαμεν δὲ κἀκεῖνο, ὡς καὶ ξίφος ποτὲ ἐκ τῆς

3 Plut. Dem. 6, 3 5 Phot. lex. s. v. ῥαγδαῖον p. 480, 3 9 Plut. Dem. 7, 3. cf. Bielski p. 13 12 Plut. Dem. 8, 3 14 Plut. Dem. 11, 5 17 cf. p. 94, 1; t. VI 283, 7; 418, 3. Dem. Phil. II § 30 p. 73, 3; fals. leg. § 46 p. 355, 25. cf. Bielski p. 13 19 [Plut.] vit. X or. p. 844 E. Zosim. p. 299, 65 et 79 W. cf. Bielski p. 14

1 κατώρθωσεν *F* 2 αὐτῷ om *m* 3 καὶ εὐκατάπληκτος πρὸς τοὺς τοῦ δήμου θορύβους *P* 9 κατάγοι *u* | ξυρήσεις — 11 δωματίου] cf. Zosim. p. 300, 86 W αὐτόν φασιν ἄγοντα ἡλικίαν ξυρῶντά ποτε τοῦ πώγωνος τὸ ἥμισυ, ὅπως μὴ προΐοι δι' αἰσχύνην, οἴκαδε καθείρξαντα ἑαυτὸν ἀσκεῖσθαι de quo vide p. 598 not. 1 10 προΐῃ *m* | τοῦ et 11 δωματίου om *P* | τῆς οἰκίας cancellandum? 12 προσφῶσ περιλόγουσ *F* | τοὺς ante λόγους *P* cf. p. 220, 4; 629, 11 | πυθίας *Ou* 15 εἶπεν om *m* 17 γε *P* Schaefer τε *FmOu* | ἐπετήδευεν *F* Fuhr ἐπετήδευσε *P* 18 παρέχηται μᾶλλον *m* | ἀνωμολόγηται *P*

ὀροφῆς ἀπῄρτησε καὶ ἱστάμενος ὑπὸ τοῦτο ἔλεγεν. ἐποίει δὲ τοῦτο δι' αἰτίαν τοιαύτην· ἐν τῷ λέγειν ἀπρεπῶς τὸν ὦμον εἰώθει κινεῖν. ὑπερεκρέμασεν οὖν τοῦ ὤμου τὸ ξίφος ἐν χρῷ καὶ οὕτω τῷ δέει τῆς πληγῆς ἠδυνήθη κατασχεῖν ἑαυτὸν ἐπὶ τοῦ πρέποντος σχήματος.

14. *Ἀναγκαῖον δὲ διηγήσασθαι καὶ ὅπως εἶχε τά τε τῶν Ἑλλήνων καὶ τῶν Ἀθηναίων πράγματα, ὅτε ἐπὶ τὸ δημαγωγεῖν ἦλθε Δημοσθένης.*

15. *Θηβαῖοι Λακεδαιμονίους ἄρχοντας τῶν Ἑλλήνων καὶ μεγίστην δύναμιν ἔχοντας ἐν Λεύκτροις τῆς Βοιωτίας μάχῃ νικήσαντες αὐτοὶ προῆλθον εἰς ἰσχὺν καὶ μετ' ὀλίγον πρὸς Φωκέας πόλεμον ἐξήνεγκαν. ἦσαν δὲ οἱ Φωκεῖς ἔθνος ὅμορον τῇ | Βοιωτίᾳ, πόλεις ἔχον* R 5
δύο καὶ εἴκοσιν. οὗτοι δὲ καταλαβόντες τὸν τοῦ Πυθίου ναὸν πλησίον ὄντα ἐσύλησαν, ἀνθ' ὅτου καὶ οἱ Θηβαῖοι πόλεμον ἐξήνεγκαν πρὸς αὐτούς. 16. *ἐπολέμουν δὲ καὶ Ἀθηναῖοι τὸν συμμαχικὸν κληθέντα πόλεμον. Χῖοι γὰρ καὶ Ῥόδιοι καὶ Βυζάντιοι πάλαι ποτὲ ὄντες ὑπήκοοι τῶν Ἀθηναίων τότε μετ' ἀλλήλων συστάντες καὶ συμμαχίαν ποιησάμενοι πρὸς αὐτοὺς ἐπολέμουν.* 17. *καὶ οὕτω μὲν ἡ Ἑλλὰς εἰς πολλὰ μέρη διήρητο Ἀθηναίων πολεμούντων πρὸς τοὺς προειρημένους*

---

7 Plut. Dem. 12, 1 sq. 15 cf. p. 346, 5. Dem. fals. leg. § 123 p. 379, 9 19 Dem. Rhod. lib. § 3 p. 191, 12 sq.

---

1 *ἀπήρτηται m* 3 *εἰώθει τὸν ὦμον m* 4 *οὕτως FP* Fuhr 5 *ἐδυνήθη* Ald 9 *τῷ Ou* 11 *λέκτροις F* | *τοῖς O* 12 *μάχην O* | *αὐτοῖς Fm αὐτοὺς Ou* Ald corr Felicianus | *παρῆλθον* libri Ald corr marg Mor cf. p. 608, 4; 627, 21; 628, 6 | *εἰς* om *O* 14 *εὔβοιαι* libri Ald corr Wolf 15 *δὲ* inserui e *Fmu* om *O* edd 20 *τῶν* e *m* inser Fuhr om reliqui libri | *ὑπήκοοι ἀθηναίων* Blass | *συστάντες μετ' ἀλλήλων O* 23 *εἰρημένους O* (et *Genev*)

καὶ Θηβαίων πρὸς Φωκέας καὶ Λακεδαιμονίων πρὸς Πελοποννησίους, κατὰ δὲ τοῦτον τὸν καιρὸν Φίλιππος ὁ Ἀμύντου παῖς εἰς τὴν Μακεδόνων βασιλείαν παρῆλθεν. 18. Ἀμύντᾳ γὰρ τῷ Μακεδονίας βασιλεῖ τρεῖς ἐγένοντο παῖδες ἐξ Εὐρυδίκης τῆς Ἰλλυρίδος, Ἀλέξανδρος, Περδίκκας, Φίλιππος. τούτων ὁ μὲν πρεσβύτατος Ἀλέξανδρος δολοφονηθεὶς ἐτελεύτησεν, ὁ δὲ Περδίκκας πρὸς Ἰλλυριοὺς μαχόμενος, Φίλιππος δὲ ὁ νεώτατος ἐτύγχανε μὲν ἐν Θήβαις ὁμηρεύων, ὡς δὲ ἐπύθετο τὸν Περδίκκου θάνατον, ὑπεξελθὼν λάθρα καὶ ὀξέως εἰς Μακεδονίαν ἀφικόμενος κατέσχε τὴν ἀρχήν. 19. Ἀθηναῖοι δὲ ἄρ' ἕτερόν τινα γένους μὲν ὄντα τοῦ βασιλικοῦ, φυγάδα δὲ ἐκ Μακεδονίας, ἐπὶ βασιλείαν κατῆγον μετὰ πολλοῦ πλήθους στρατιωτῶν. τούτοις ὁ Φίλιππος ἐπιθέμενος ἐνίκησε μάχῃ. καὶ ὅσους συνέλαβεν αἰχμαλώτους τῶν Ἀθηναίων, ἀφῆκεν ἄνευ λύτρων, οὐ κατ' εὔνοιαν τῆς πόλεως οὐδὲ δι' ἐπιείκειαν τρόπου, ⟨ἀλλὰ ....

R 6 20. | Τῆς ῥητορικῆς μέρη τρία, ἐπιδεικτικόν, δικα-

---

7 Diod. Sic. XVI 2, 4. cf. Bielski p. 28 9 cf. p. 297, 7. Diod. S. XVI 2, 2. cf. Bielski p. 20 12 Argaeum cf. t. II 136, 7; 431, 15. Dem. Aristocr. § 121 p. 660, 13. Diod. S. XVI 2, 6. cf. Bielski p. 29 15 cf. t. II 136, 9; 431, 15. Diod. S. XVI 3, 6. Polyb. IX 28, 4. cf. Bielski p. 29

---

6 περδίκας *Ou* | πρεσβύτερος libri corr Schaefer 10 λάθραι *F* 12 γένος *F* 13 βασιλέα libri corr Ald 14 μεταπολλοῦ *F* 17 δι' om *Ou* | τοῦ ante τρόπου *O* 18 alterum membrum huius enuntiationis deesse sensit Augerus, quod nisus loco a Voemelio indicato Libanii t. II 431, 5 in hunc modum supplendum coniecit Fuhrius: ἀλλὰ δι' ἀσθένειαν αὐτοῦ τὸ μηδὲν παρ' Ἀθηναίων ὕστερον παθεῖν ὠνούμενος, sed non solum hoc membrum sed etiam totus finis vitae initiumque partis sequentis periisse videntur 19 ΠΕΡΙ ΤΩΝ ΜΕΡΩΝ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ inscribunt *O* edd recc περὶ τῆς ῥητορικῆς διαιρέσεως *u* delevit Fuhrius

νικόν, συμβουλευτικόν. τοῖν μὲν οὖν δυοῖν ἄκρος ἀγωνιστὴς γέγονε, τοῦ τε δικανικοῦ καὶ τοῦ συμβουλευτικοῦ, ἐπιδεικτικοὺς δὲ οὐκ ἔχομεν αὐτοῦ λόγους. τοὺς γὰρ φερομένους οὐ πιστευτέον εἶναι Δημοσθένους, τὸν ἐπιτάφιον καὶ τὸν ἐρωτικόν. πολὺ γὰρ τῆς ἐκείνου δυνάμεως ἀπολείπονται. καὶ οὐχ ἡμετέραν γνώμην λέγομεν, ἀλλὰ καὶ Διονυσίῳ τῷ Ἁλικαρνασεῖ τοῦτο συνδοκεῖ. ὅτι μὲν γὰρ εἶπεν ἐπιτάφιον λόγον Δημοσθένης ὡμολόγηται, οὐ μὴν τοῦτον εἰκὸς εἶναι τὸν ὑπ' ἐκείνου ῥηθέντα πάνυ φαύλως καὶ ἀσθενῶς ἔχοντα. 21. *τῶν δὲ συμβουλευτικῶν αὐτοῦ λόγων οἱ μὲν αὐτὸ τοῦτο ἔχουσιν ἐπίγραμμα συμβουλευτικοί, οἱ δὲ οὐδὲν μὲν ἧττόν εἰσι συμβουλευτικοί, Φιλιππικοὶ δὲ ἐπιγράφονται ἐκ τοῦ περὶ τῶν ⟨Φιλίππου⟩ πραγμάτων εἰρῆσθαι τὴν κλῆσιν λαβόντες. καὶ τῶν Φιλιππικῶν ἕκαστος ἰδίαν τινὰ ἐπιγραφὴν ἔχει κατὰ τὴν τῶν πραγμάτων ἑκάστων ἰδιότητα.*

α'.

ὑπόθεσις τοῦ α' Ὀλυνθιακοῦ λόγου.

1. *Ὄλυνθος ἦν πόλις ἐπὶ Θρᾴκης, Ἑλληνικὸν δὲ ταύτῃ τῶν ἐνοικούντων τὸ γένος, ἀπὸ Χαλκίδος τῆς*

---

1 *συμβουλευτικὸν καὶ δικανικὸν O* edd vett corr Voemel | *τοῖς O* | *οὖν* om libri inser Mor 2 *τοῦ*(2) om libri inser Dind 3 *λόγους αὐτοῦ O* 5 *τῆς* om *m* 7 *καὶ* om *O* | *ἁλικαρνασεῖ F* 12 *συμβουλευτικὸς O* 14 *οἵδε* (*οἶδε F*) post *δὲ* libri delevit Sauppius | *Φιλίππου* inserui om libri *τοῦ Φιλίππου* inser Mor Lambin 15 *λαβόντες* scripsi coll p. 601, 6 *λαχόντες* libri edd 17 *τῶν* om *O*

19 *ὑπόθεσις — λόγου* scripsi *ὑπόθεσις λόγου ὀλυνθιακοῦ ᾱ F αἱ ὑποθέσεις τῶν λόγων δημοσθένους: ὑπόθεσις τοῦ ᾱ ὀλυνθιακοῦ Y προθεωρία τοῦ πρώτου λόγου O προθεωρία u Λιβανίου ὑπόθεσις τοῦ ὀλυνθιακοῦ πρώτου λόγου* Ald 20 *θράικην F* 21 *ταύτην F* | *ἀποχαλκίδος F*

R 7 *ἐν Εὐβοίᾳ, ἡ δὲ Χαλκὶς Ἀθηναίων ἄποικος. 2. | πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου. Ἀθηναίοις τε γὰρ ἐπολέμησεν ἄρχουσι τῶν Ἑλλήνων τὸ παλαιὸν καὶ αὖθις Λακεδαιμονίοις. χρόνῳ δὲ εἰς δύναμιν προῆλθε μεγάλην καὶ τῶν συγγενῶν πόλεων ὑπερεῖχεν· ἦν γὰρ ἐπὶ Θρᾴκης πολύ τι γένος Χαλκιδικόν. 3. Φιλίππῳ δὲ τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς Ἀθηναίους τὸ κατ' ἀρχάς, καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τοῦ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ Ποτίδαιαν, ἣν Ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν, ὕστερον δὲ ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. 4. ἀποδημοῦντα δὲ τηρήσαντες αὐτὸν πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον· συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους κἂν ἄλλο τι δόξῃ, κοινῇ σπείσασθαι. 5. ὁ δὲ Φίλιππος πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβὼν ὡς τὰς συνθήκας παραβεβηκόσι καὶ πρὸς*

1 sq. cf. Bielski p. 43 5 Suid. s. v. *Κάρανος*. cf. Bielski p. 31
9 cf. t. VI 282, 17 11 Diod. S. XVI 8, 5. cf. Bielski p. 32

3 *ἐπολέμησαν F* 4 *δὲ* scripsi cum Baitero *τε* libri edd 5 *ὑπερεῖχεν Y* sed *ἔσχεν* in marg m[4] *ἐπῆρχεν F* edd recc cf. Suid. l. l. *ὧν ἐπρώτευον Ὀλύνθιοι* 6 *τι* om *YU* 9 *κατ-αρχὰς FY* 11 *καὶ* ante *μακεδόσι Ouv* 13 *δὲ* inserui ex *Y* sed *ὕστερον ὑποπτεύειν* in marg m[4], *U* om *FmOuv* (et *Genev*) edd 15 *δὲ*(2)] *οὖν* supra versum inser *Y* 18 *παρα-τὰσ F* | *τὰς*(2) om *O* | *συνετέθειτο Ouv* 22 *ταῦτα u* | *μὲν* post *τὰς Y* sed *τὰς συνθήκας* in marg m[4] | *παραβεβηκόσιν Y*

τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις πόλεμον ἐπήνεγκεν. οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας. οἷς ὁ Δημοσθένης συναγορεύει βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. 6. *καί φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν εἶναι τῶν Ἀθηναίων· σωζομένων γὰρ τῶν Ὀλυνθίων οὐδέποτε ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν κἀκεῖ ποιεῖσθαι | τὸν πόλεμον·* R 8 *εἰ δὲ ὑπὸ Φιλίππῳ γένοιτο ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τὰς Ἀθήνας ὁδὸν τῷ βασιλεῖ. φησὶ δὲ δύσμαχον εἶναι τὸν Φίλιππον οὐχ ὡς ὑπείληπται, θαρσύνων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους.* 7. *διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων συμβουλεύων αὐτὰ ποιῆσαι στρατιωτικὰ ἀντὶ θεωρικῶν. καὶ τὸ ἔθος οὐ πρόδηλον ὂν ᾧ ἐχρῶντο οἱ Ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι.* 8. *οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἰκρίων καὶ πάντων καταλαμβάνειν τόπον σπευδόντων πληγαί τε ἐγίνοντο καί που καὶ τραύματα. τοῦτο κωλύσαι βουληθέντες οἱ προεστῶτες τῶν Ἀθηναίων ὠνητοὺς ἐποι-*

10 cf. p. 611, 5. Dem. Ol. I § 4   12 cf. p. 611, 6 sq.

5 *τῶν Ἀθηναίων εἶναι Fm* Ald Fuhr | *τῶν*] *αὐτῶν m* 6 *γὰρ*] *δὲ F*   9 *γένοιτο F* sed *το* inser, *Y* sed *οιτο* in ras corr m[4] *γένηται OvuU*   10 *τοὺσ ἀθηναίουσ* libri sed *ασ* et *νασ* suprascr *Y*[4] corr Voemel | *φησὶ δ' οὐ* Lambin *φησὶ δ' οὐδὲ* Blass   11 *δυσμάχητον Y* Ald | *οὐχ ὡς*] *οὕτως* libri Ald corr Felicianus Wolf *οὕτως ὡς* Blass   13 *πραγμάτων Y* sed ·*χρη*· suprascr m[2]   14 *αὐτὰ ποιῆσαι* ex *Y* Blass *ποιῆσαι αὐτὰ* reliqui libri edd   15 *πρόσδηλον u* | *ὂν* om *Y* | *ᾧ Y* sed ex *δ* corr m[4] | *οὖν* post *ἀνάγκη* inser *Y*[4] | *ταῦτα* post *σαφηνίσαι Y* sed *τοῦτο* suprascr m[4]   18 *τὸν* ante *τόπον YU* | *ἐγίγνοντο m*   19 *κωλυσαι F* *κωλῦσαι* edd recc at cf. ad t. I 272, 5 | *βουλόμενοι O*   20 *τῶν* om *YU*

ἤσαντο τοὺς τόπους καὶ ἕκαστον ἔδει διδόναι δύο ὀβολοὺς καὶ καταβαλόντα θέαν ἔχειν. ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες τῷ ἀναλώματι λυπεῖσθαι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύο ὀβολούς. 9. *ἐντεῦθεν μὲν οὖν τὸ ἔθος ἤρξατο, προῆλθε δὲ εἰς τοσοῦτον ὥστε οὐκ εἰς τοὺς τόπους μόνον ἐλάμβανον, ἀλλ' ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. πάλαι μὲν γὰρ στρατευόμενοι μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον, τότε δὲ ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες διενέμοντο τὰ χρήματα.* 10. *οὐκ ἔτι οὖν ἤθελον ἐξιέναι καὶ κινδυνεύειν, ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων θάνατον ἀπειλοῦντα τῷ γράψαντι μετατεθῆναι ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν καὶ γενέσθαι στρατιωτικά.* 11. *διὸ ὁ Δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς καὶ ὑπερωτήσας ἑαυτὸν ὅτι σὺ γράφεις ταῦ-*
R 9 *τα εἶναι | στρατιωτικά; ἐπιφέρει μὰ Δί', οὐκ ἔγωγε. τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν.*

12. *Διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως ἀξιῶν αὐτοὺς στρατεύεσθαι καὶ μὴ διὰ ξένων, ὥσπερ εἰώθεσαν, ποιεῖσθαι τὴν βοήθειαν. τοῦτο γὰρ αἴτιον εἶναί φησι τοῦ τὰ πράγματα ἀπόλλυσθαι.*

---

17 sq. Dem. Ol. I § 19 sq. 20 sq. Dem. Ol. I § 28

---

1 *διδόναι* cancellavit et 2 *καὶ* delevit Fuhrius 2 *καταβαλόντα Genev* Felicianus *βάλλοντα F* *βαλόντα* reliqui libri Ald 3 *λυπεῖσθαι τῷ ἀναλώματι YU* Dind Blass 6 *τοσοῦτον* scripsi cum Ald *τοῦτο* libri edd reliquae | *τοὺς τόπους*] *τοῦτο FmO uv* 10 *καὶ*] *καὶ ἐν YU* *ἢ m* 12 *καὶ*(2) om *F* 14 *τε* ante *ταῦτα* (*αὐτὰ YU*) *Fmu YU* Fuhr 15 *διὸ*] *διατοῦτο YU* *διὰ τοῦθ'* Blass | *ὁ* del Fuhr 17 *ὑπηρώτησεν Y* sed *η*(1) ex *ε*(?) in ras corr m[4] 18 *καὶ* ante *ἐπιφέρει YU* 19 *ταῦτα FmOv* Ald Fuhr 23 *ἔφη Fm* Ald

β'.

ὑπόθεσις τοῦ β' Ὀλυνθιακοῦ λόγου.

Προσήκαντο μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων R 17 οἱ Ἀθηναῖοι καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι, μέλλουσι δὲ περὶ τὴν ἔξοδον καὶ δεδιόσιν ὡς ⟨ὄντος⟩ δυσπολεμήτου τοῦ Φιλίππου παρελθὼν ὁ Δημοσθένης πειρᾶται θαρσύνειν τὸν δῆμον ἐπιδεικνὺς ὡς ἀσθενεῖ τὰ τοῦ Μακεδόνος πράγματα. καὶ γὰρ τοῖς συμμάχοις ὕποπτον αὐτὸν εἶναί φησι καὶ κατὰ τὴν ἰδίαν δύναμιν οὐκ ἰσχυρόν. τοὺς γὰρ Μακεδόνας ἀσθενεῖς εἶναι καθ' ἑαυτούς.

γ'.

ὑπόθεσις τοῦ γ' Ὀλυνθιακοῦ λόγου. R 27

1. Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι καί τι κατορθοῦν ἔδοξαν δι' αὐτῆς. καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο, ὅ τε δῆμος περιχαρὴς οἵ τε ῥήτορες παρακαλοῦντες ἐπὶ τιμωρίαν Φιλίππου. 2. δέδοικε τοίνυν ὁ Δημοσθένης μὴ θαρρήσαντες ὡς τὰ πάντα νε-

---

2 cf. Bielski p. 44 5 Dem. Phil. I p. 41, 8; Phil. ep. p. 156, 9 8 sq. Dem. Ol. II § 13 p. 21, 28 sq. 10 Dem. Ol. II § 14 p. 22, 2 sq.
13 sq. cf. Bielski p. 44

---

2 τοῦ] λόγου *F* | β' — λόγου] ὀλυνθιακοῦ β̄ *FY* 3 μὲν om *O* 6 ὄντος inserui post ὡς, post δυσπολεμήτου Ald om libri edd reliquae 7 ἀσθενεῖ scripsi ex *Ov YU* ἀσθενῆ *Fm* edd 8 αὐτὸν ὕποπτον *Y* 9 οἰκείαν *Y* e Dem. Ol. II p. 22, 1
13 τοῦ] λόγου *F* | γ' — λόγου] ὀλυνθιακοῦ γ̄ *FY* 15 καὶ] ὡς Sauppe | ἅμα ante ταῦτα et ἦν post περιχαρὴς inserendum videtur 16 τε (1) scripsi ex *YA*ʳ δὲ *FmU* edd | οἵ τε] καὶ οἱ *A*ʳ 17 παρακαλοῦσιν *mYUA*ʳ | τιμωρία *F* | τοῦ ante φιλίππου *Y U* | δέδοικε τοίνυν ὁ Δημοσθένης] ὁ δὲ δημοσθένης δεδοικὼς *F* Ald Re Voemel Fuhr 18 θαρσήσαντες *FY* Ald Fuhr corr Voemel

νικηκότες καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ὀλυνθίοις τῶν λοιπῶν ὀλιγωρήσωσι. διὰ τοῦτο παρελθὼν ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν καὶ πρὸς εὐλάβειαν σώφρονα τὴν γνώμην μεθίστησι λέγων οὐ περὶ τῆς Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας. 3. οἶδε γὰρ ὅτι
R 28 | καὶ Ἀθηναῖοι καὶ ἄλλοι πού τινες τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι ποιοῦνται φροντίδα, περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν.

4. Ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους τοὺς ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικά, ἵν' ἀδεὲς ᾖ τὸ συμβουλεύειν τὰ βέλτιστα. 5. παραινεῖ δὲ καὶ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι καὶ στρατεύεσθαι σώμασιν οἰκείοις καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου τε ὡς ἐκλελυμένου καὶ τῶν δημαγωγῶν ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

---

4 sq. Dem. Ol. III § 2 p. 28, 13 sq. 10 sq. Dem. Ol. III § 11 p. 31, 13 sq. 11 cf. p. 610, 16 14 sq. Dem. Ol. III § 14 p. 32, 8 sq. § 21 p. 34, 16 sq.

---

2 *ὀλιγωρήσουσι FA*[r] *ὀλιγωρήσουσιν Y* | *διατοῦτο F* 3 *ἐπισκώπτει Ouv* 4 *τὴν — λέγων* om *F* 5 *νῦν* om *A*[r] 6 *οἶδεν FY* Fuhr 7 *πού* om *m* | *μὴ* om *U* 8 *ποιεῖσθαι m* | *τοῦ UA*[r] 10 *περὶ τῆς τῶν m A*[r] (*Genev*) 12 *ἐπιτεθέντας F ἐπιθέντας m* 13 *ἵνα δεήσηι F ἵνα δειχθῇ m O vuY* (*Genev*) Ald *ἵνα δυνηθῇ U ἵνα ἄδεια ᾖ* Re corr Bekker 16 *πολλῇ* om *F* 17 *τε ὡς*] *τε U τέως* reliqui libri corr Bekker 18 *ὡς* om *m*

δ'.

ὑπόθεσις τοῦ α' κατὰ Φιλίππου λόγου.

1. *Κακῶς ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ* R 39 *Ἀθηναῖοι φερόμενοι συνεληλύθασιν εἰς ἐκκλησίαν ἀθυμοῦντες.* 2. *ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν λέγων οὐδὲν εἶναι θαυμαστὸν εἰ ῥαθυμοῦντες κεκράτηνται, καὶ εἰσηγεῖται πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν.* 3. *κελεύει δὲ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω πολιτικήν, ἥτις οἴκοι μένουσα πρὸς τὰς ἐπὶ καιρῶν χρείας ἕτοιμος ὑπάρξει, ἑτέραν δὲ ἐλάττονα ξένων ὄντων τῶν στρατευομένων, παραμεμιγμένων δὲ* <*καὶ πολιτῶν*>. 4. <*ταύτην δὲ*> *κελεύει τὴν δύναμιν μὴ Ἀθήνησι μένειν μηδὲ ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας, ἀλλὰ περὶ τὴν Μακε-*

2 sq. cf. Bielski p. 44 sq. 8 Dem. Phil. I § 16 sq. 13 Dem. Phil. I § 21

2 *τοῦ — λόγου* om *S*ʳ | *α'* et *λόγου* om *Y* | *κατὰ λόγου οὗ ἡ ἀρχή: Εἰ μὲν περὶ καινοῦ τινὸς ὦ ἄνδρες προυτίθετο λέγειν F* 3 *Κακῶς* — 614, 6 *ὑπάρχῃ* praemissis verbis *ἡ δὲ ὑπόθεσις τοῦ λόγου τούτου αὕτη* libere exscripit Gregorius Cor. in Hermog. de vi meth. 103 ed. Walz. Rhet. gr. VII 1207, 22 sq. | *κακῶς Ἀθηναῖοι ἐν τῷ πρὸς Φίλιππον πολέμῳ φερόμενοι εἰς ἐκκλησίαν ἀθυμοῦντες συνεληλύθασιν* Greg 5 *τε* om Greg | *παύειν πειρώμενος* Greg 6 *οὐδὲν εἶναι λέγων θαυμαστὸν* Greg | *λέγων* om *u* 7 *τῷ πολέμῳ χρήσονται ἄριστα* Greg 8 *δὴ YS*ʳ | *δύο* om *FOvu* 10 *τὰς ἐπὶ καιρῶν* scripsi ex *Y* sed in *ἐπικαίρων* corr, *U* coll Aeschin. Ctes. § 220 p. 85, 20 et Dem. fals. leg. § 258 p. 424, 1 *τῶν ἐπικαίρων FmOvu* Greg Ald Re Fuhr *κατὰ καιρὸν* (e *καιροῦ* corr) *S*ʳ Voemel Dind Blass | *ἕτοιμος F* sed *μος* in marg inser | *ὑπάρξειεν* Greg 11 *ἐλάττω S*ʳ | *τῶν* om *u* 12 *καὶ πολιτῶν* inserui cum Dindorfio om libri Greg | *ταύτην δὲ* inserui cum Sauppio om libri edd 13 *καὶ* ante *κελεύει mOvuY*, post *κελεύει* Greg | *μένῃ Ἀθήνησιν* Greg | *ἀθήνῃσι FS*ʳ | *μὴ δὲ FS*ʳ 14 *μακεδοῦ̓* (α superscr.) *S*ʳ

δονίαν ἀναστρέφεσθαι πολεμοῦσαν ἀδιαλείπτως, ἵνα μὴ τοὺς ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος ἢ καὶ τὸν χειμῶνα, ἡνίκα Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν οὐ δυνατόν, ἐπιχειρῇ τοῖς πράγμασι καὶ παρὰ τὴν ἀπουσίαν τὴν τῶν Ἀθηναίων ἁπάντων κρατῇ, ἀλλ' ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιταξομένη δύναμις ὑπάρχῃ.

ε'.

R 55 *ὑπόθεσις τοῦ περὶ τῆς εἰρήνης λόγου.*

1. *Μηκυνομένου τοῦ πολέμου τοῦ περὶ Ἀμφιπόλεως εἰρήνης ἐπεθύμησαν ὅ τε Φίλιππος καὶ οἱ Ἀθηναῖοι, οἱ μὲν Ἀθηναῖοι κακῶς ἐν τῷ πολέμῳ φερόμενοι, ὁ δὲ Φίλιππος βουλόμενος ἃ ὑπέσχετο Θετταλοῖς τε καὶ Θηβαίοις ἐπιτελέσαι.* 2. *ὑπέσχετο δὲ τοῖς μὲν Θηβαίοις Ὀρχομενὸν παραδώσειν καὶ Κορώνειαν, πόλεις Βοιωτίας, ἀμφοτέροις δὲ τὸν Φωκικὸν καταλύσειν πόλεμον. τοῦτο δὲ ἦν ἀδύνατον αὐτῷ πολεμίων ὄντων Ἀθηναίων. καὶ γὰρ πρότερον βουληθεὶς εἰσβαλεῖν εἰς τὴν Φωκίδα τῶν Ἀθηναίων περιπλευσάντων ταῖς ναυσὶν*

1 Dem. Phil. I § 31 p. 48, 26
8 sq. cf. Bielski p. 45 sq.

1 *πολεμοῦσαν διηνεκῶς ἀναστρέφεσθαι* Greg 2 *ἐπιτηρήσας ὁ Φίλιππος πνέοντας* Greg 2 *πλέοντας* S^r | *ἢ καὶ τὸν χειμῶνα* om Greg 3 *μακεδόν* S^r | *πλεῖν οὐ δυνατὸν εἰς Μακεδονίαν Ἀθήνηθεν ἐπιχειρήσῃ* Greg 4 *πράγμασιν* Fuhr | *περὶ τὰς ἀπουσίας τῶν* Greg 5 *κρατήσῃ* *U* *ἐπικρατήσειεν* Greg 6 *ἀντιταξαμένη ἔσεται δύναμις* Greg | *πρὸς αὐτὸν* post *δύναμις* iterant *FmOvuYU* Ald | *ὑπάρ^χ* *F*
8 *λόγου* ante *τοῦ* *F* om *Y* 9 *τοῦ* om *O* 11 *οἱ μὲν Ἀθηναῖοι* om *F* 12 *ὑπέθετο* *F* 13 *μὲν* om *U* 14 *παραδώσειν* om *m* 15 *τοῖς δὲ Θετταλοῖς τὴν πυλαίαν ἀποδώσειν καὶ Μαγνησίαν* ante *ἀμφοτέροις* excidisse coni Fuhr 16 *ταῦτα* *m*

εἰς τὰς καλουμένας Πύλας, ὑπ' ἐνίων δὲ Θερμοπύλας, ἀπεκρούσθη τῆς εἰσόδου. 3. νῦν τοίνυν εἰρήνην ποιησάμενος πρὸς τοὺς Ἀθηναίους μηδενὸς κωλύοντος παρελθὼν εἴσω Πυλῶν τὸ Φωκέων ἔθνος ἀνάστατον πεποίηκε καὶ τὴν Φωκέων ἐν τοῖς Ἀμφικτύοσι χώραν καὶ τὰς ἐκείνων ἐν τῷ συνεδρίῳ ψήφους παρὰ τῶν ἄλλων Ἑλλήνων | εἴληφε. 4. πέπομφε δὲ καὶ πρὸς R 56 Ἀθηναίους πρέσβεις ἀξιῶν καὶ αὐτοὺς ταῦτα συγχωρεῖν. καὶ ὁ Δημοσθένης παραινεῖ συγχωρεῖν οὐ τῷ πράγματι συνιστάμενος ὡς ὀρθῶς ἔχοντι οὐδὲ δίκαιον εἶναι λέγων μετέχειν Ἑλληνικοῦ συνεδρίου τὸν Μακεδόνα, ἀλλὰ δεδιέναι φάσκων μὴ καταναγκασθῶσι κοινὸν πόλεμον πρὸς ἅπαντας τοὺς Ἕλληνας ἔχειν. 5. προσκεκρουκέναι γὰρ λέγει τοῖς Ἀθηναίοις ἄλλους δι' ἄλλας τινὰς αἰτίας. τούτους δὴ κοινῇ πολεμήσειν αὐτοῖς, εἰ δώσομεν, φησί, κοινὴν αἰτίαν ταύτην καθ' ἡμῶν, ὅτι μόνοι τοῖς τῶν Ἀμφικτυόνων ἐνιστάμεθα δόγμασιν. ὥστε κάλλιον τὴν εἰρήνην τηρεῖν καὶ ταῦτα Φιλίππου παρεληλυθότος εἴσω Πυλῶν καὶ ἐπελθεῖν δυναμένου τὴν Ἀττικὴν ἢ περὶ μικροῦ τηλικοῦτον κίνδυνον ἄρασθαι.

6. Οὗτος δὲ ὁ λόγος παρεσκευάσθαι μέν, οὐ μὴν

15 cf. Dem. pac. § 19

1 ὑπ' — Θερμοπύλας om *m* 2 ἀπεκωλύθη *F m O u v* 3 κωλύσαντος *F m O v u* corr Blass 4 τὸ] τῶν *F* 5 πεποίηκεν *Y* ἐποίησε *m* | ἀμφικτυόσι *F* sed ´ supra υ eras, *O* 7 εἴληφεν *F Y* Fuhr 9 οὐ om *F U* 11 ἀντέχειν *F* 15 δὲ *F O v u U* sed in hoc δεῖ suprascr | αὐτοὺς libri Ald corr Wolf 16 εἰ om *F O v u U Y* inser Ald 19 παρελθόντος *O* | καὶ om *O u* 20 τὴν Ἀττικὴν scripsi e *F* τῇ ἀττικῇ reliqui libri edd | ἢ om *F Y U* | τηλικούτου τὸν *F* 22 Οὗτος — 616, 11 ἀδωροδόκητον respexit Photius bibl. cod. 265 p. 492, 14 sq. ὁ δὲ περὶ τῆς εἰρήνης

εἰρῆσθαί μοι δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου καὶ τοῦτο μετὰ τῶν ἄλλων αὐτοῦ διαβάλλει ὅτι συνεβούλευε Φίλιππον Ἀμφικτύονα εἶναι ψηφίσασθαι μηδενὸς ἄλλου τολμῶντος τοῦτο εἰσηγήσασθαι, μηδὲ Φιλοκράτους τοῦ πάντων ἀναιδεστάτου. 7. οὐκ ἂν οὖν αὐτὸς περὶ τούτων συμβεβουλευκὼς τὸν Αἰσχίνην ἐπ' αὐτοῖς διέβαλλεν, ἀλλὰ δηλονότι τὴν ὑπόνοιαν ἔδεισε μὴ δόξῃ φιλιππίζειν καὶ χρήμασιν ὑπὸ τοῦ βασιλέως πεισθεὶς τοιαύτην γνώμην ἀποφήνασθαι, ἐπεὶ καὶ ἐν τῷ λόγῳ πρὸς τοιαύτην τινὰ ὑπόνοιαν ἱστάμενος φαίνεται συνιστὰς ἑαυτὸν ὡς εὔνουν τῇ πόλει καὶ ἀδωροδόκητον.

ϛ'.

R 64 ὑπόθεσις τοῦ β' κατὰ Φιλίππου λόγου.

1. Παραινεῖ διὰ τούτου τοῦ λόγου τοῖς Ἀθηναίοις ὁ ῥήτωρ πολέμιον ὑποπτεύειν τὸν Φίλιππον καὶ τῇ εἰρήνῃ μὴ πάνυ πιστεύειν, ἀλλὰ ἐγείρεσθαι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασι καὶ εὐτρεπίζεσθαι πρὸς

1 Dem. fals. leg. § 111 5 Dem. fals. leg. § 118 p. 375, 17
14 Dem. Phil. II § 6. cf. Bielski p. 46

λόγος καὶ ἄλλοις μέν, μάλιστα δὲ Λιβανίῳ τῷ σοφιστῇ παρεσκευάσθαι μέν, οὐ μὴν εἰρῆσθαι δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου οὐδὲν ἔλαττον αὐτὸν καὶ ἐπὶ τούτῳ αἰτιᾶται, ὅτι συνεβούλευσεν Ἀθηναίοις Ἀμφικτύονα εἶναι ψηφίσασθαι Φίλιππον. ἐν ᾧ οὖν ἐκεῖνον πικρῶς διέβαλλε, πῶς ἂν αὐτὸς ἐθάρρησε γενέσθαι σύμβουλος; καὶ γὰρ ὁ περὶ τῆς εἰρήνης λόγος δῆλον ὅτι τὸν Φίλιππον Ἀμφικτύονα εἶναι συμβουλεύει. | παρεσκευάσθη *FmY* Ald
2 συνεβούλευσε *O* 3 ἀμφικτυόνα *F* 4 μὴ δὲ *Y*
6 αὐτὸν^σ ὁ περὶ *Y* 7 διέβαλεν Schaefer | δηλονοτι *F* δῆλον ὅτι *Y* | ἐδήλωσε *F*
14 τοῦ β' κατὰ Φιλίππου] τοῦ κατὰ φιλίππου β̄ *Y* λόγου οὗ ἡ ἀρχή: Ὅταν ὦ ἄνδρες ἀθηναῖοι λόγοι γένωνται *F* | λόγου om *FY* 18 πράγμασιν *F* Fuhr | πρὸς om *m* εἰς *F* Ald Re

πόλεμον. ἐπιβουλεύειν γὰρ αἰτιᾶται καὶ τοῖς Ἀθηναίοις καὶ πᾶσι τοῖς Ἕλλησι τὸν Φίλιππον καὶ τοῦτο αὐτοῦ καταμαρτυρεῖν τὰς πράξεις φησίν. 2. *ἐπαγγέλλεται δὲ καὶ ἀποκρίσεις δώσειν πρός τινας πρέσβεις ἥκοντας ἀπορούντων τῶν Ἀθηναίων ὅ τι ποτὲ ἀποκρίνασθαι δεῖ. πόθεν δὲ οὗτοι καὶ περὶ τίνων ἥκουσιν, ἐν τῷ λόγῳ μὲν οὐ δηλοῦται, ἐκ δὲ τῶν Φιλιππικῶν ἱστοριῶν μαθεῖν δυνατόν.* 3. *κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους αἰτιώμενος ὅτι διαβάλλουσιν αὐτὸν μάτην πρὸς τοὺς Ἕλληνας ὡς ἐπαγγειλάμενον αὐτοῖς πολλὰ καὶ μεγάλα, ψευσάμενον δέ. οὐδὲν γὰρ ὑπεσχῆσθαί φησιν οὐδὲ ἐψεῦσθαι καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ.* 4. *ἔπεμψαν δὲ μετὰ Φιλίππου καὶ Ἀργεῖοι καὶ Μεσσήνιοι πρέσβεις εἰς Ἀθήνας αἰτιώμενοι καὶ οὗτοι τὸν δῆμον ὅτι Λακεδαιμονίοις καταδουλουμένοις τὴν Πελοπόννησον εὔνους τέ ἐστι καὶ συγκροτεῖ, αὐτοῖς δὲ περὶ ἐλευθερίας πολεμοῦσιν ἐναντιοῦται.* 5. *ἀποροῦσιν οὖν οἱ Ἀθηναῖοι καὶ πρὸς τὸν Φίλιππον ἀποκρίσεως καὶ πρὸς τὰς πόλεις· <πρὸς μὲν τὰς πόλεις>, ὅτι εὖνοι μέν εἰσι Λακεδαιμονίοις καὶ τὴν τῶν Ἀργείων καὶ Μεσση-*

3 Dem. Phil. II § 4 p. 66, 19   7 cf. Bielski p. 3 sq.

1 *τὸν* ante *πόλεμον m*   2 *τὸν Φίλιππον* om *m*
3 *καταμαρτυροῦντος πράξειν* libri corr Wolf | *δὲ* om *v*
4 *ἥκοντας* — 6 *οὗτοι* om *F*   5 *τῶν* om *U* | *ὁπότε mOvuY ὅπως ὁπότε U* corr Ald *ὅπως* vel *τί ποτε* coni Bekker
6 *παρὰ Y* sed *γρ περὶ* in marg m²   11 *ἐπαγγελλόμενον F* Ald Re *ἐπαγγείλας καὶ m* | *αὑτοῖς* libri corr Bekker Voemel | *μὲν* post *πολλὰ m*   12 *ψευδόμενον FmOvuU* Ald Re | *ὑπισχνεῖσθαι Fm* Ald Re   15 *πρὸς ἀθηναίους m*   17 *ἐστὶν F* Fuhr | *αὑτοῖς* libri corr Voemel | *περιελευθερίασ F*   20 <*πρὸς μὲν τὰς πόλεις*> om libri inser in marg Ald Lessingii (Voemel cont. 197)

νίων μετὰ Φιλίππου σύστασιν καὶ μισοῦσι καὶ ὑποπτεύ- R 65 *ουσιν, οὐ μὴν ἀπο|φήνασθαι δύνανται δίκαια πράττειν τοὺς Λακεδαιμονίους· πρὸς δὲ τὸν Φίλιππον, ⟨ὅτι⟩ διημαρτήκασι μὲν ὧν ἤλπισαν, οὐ μὴν ὑπ' ἐκείνου γε αὐτοῦ δοκοῦσιν ἐξηπατῆσθαι.* 6. *οὔτε γὰρ ταῖς ἐπιστολαῖς ἐνέγραψεν ὁ Φίλιππος ἐπαγγελίαν οὐδεμίαν οὔτε διὰ τῶν ἰδίων πρέσβεων ἐποιήσατό τινα ὑπόσχεσιν, ἀλλὰ Ἀθηναίων τινὲς ἦσαν οἱ τὸν δῆμον εἰς ἐλπίδα καταστήσαντες ὡς Φίλιππος Φωκέας σώσει καὶ τὴν Θηβαίων ὕβριν καταλύσει.* 7. *διὰ τοῦτο ὁ Δημοσθένης τῶν ἀποκρίσεων μνησθεὶς ἐπαγγέλλεται μὲν αὐτὰς δώσειν, φησὶ δὲ ὅτι δίκαιον ἦν τοὺς τὴν δυσχέρειαν πεποιηκότας ἐκείνους καὶ τὰς ἀποκρίσεις ἀπαιτεῖσθαι, τοὺς ἀπατήσαντας, φησί, τὸν δῆμον καὶ ἀνοίξαντας Φιλίππῳ Πύλας.* 8. *ταῦτα δὲ εἰς τὸν Αἰσχίνην αἰνίττεται προκατασκευαζόμενος, ὥς φασι, τὴν κατ' αὐτοῦ κατηγορίαν τῆς παραπρεσβείας, ἣν ὕστερον ἐνεστήσατο, καὶ προδιαβάλλων αὐτὸν πρὸς τοὺς Ἀθηναίους.*

ζ'.

R 75 *ὑπόθεσις τοῦ περὶ Ἁλοννήσου λόγου.*

1. *Οὗτος ὁ λόγος ἐπιγράφεται μὲν περὶ Ἁλοννήσου, τάχα δὲ ὀρθότερον ἐπιγράφειν· πρὸς τὴν ἐπι-*

9 Dem. Phil. II § 30 15 Dem. Phil. II § 29 sq. 21 sq. Bielski p. 47 23 Dion. Hal. de Dem. 13 p. 994

4 ⟨*ὅτι*⟩ om libri in marg inser Ald Lessingii 7 *οὔτε δὲ διὰ OvuY* | *πρεσβειῶν F* (*πρεσβιῶν Olom*) 9 *σώζει m* 10 *ἀθηναίων ὕβριν καταστήσει F* | *διατοῦτο Y* 11 *ἀπαγγέλλεται O* 13 *αἰτεῖσθαι m* 15 *τὰς* ante *πύλας O* 17 *τὴν Y* (et *Olom*) *τὴν τῆς m* 17 *παρὰ πρεσβείασ F* 18 *προδιαβαλὼν F* 21 *τοῦ περὶ Ἁλοννήσου*] *λόγου οὗ ἡ ἀρχή· Ὦ ἄνδρες ἀθηναῖοι οὐκ ἔστιν ὅπως αἱ αἰτίαι F* | *αλοννήσου Y* | *λόγου* om *FY*
22 *ἀλοννήσου F ἀλονήσου Y* (ν supra scr.)

στολὴν τὴν Φιλίππου. 2. *πέπομφε γὰρ πρὸς τοὺς Ἀθηναίους ἐπιστολὴν περὶ πολλῶν διαλεγόμενος, ὧν ἕν ἐστι καὶ τὸ κατὰ τὴν Ἁλόννησον, ἥτις ἦν μὲν τῶν Ἀθηναίων ἀρχαῖον κτῆμα, κατὰ δὲ τοὺς Φιλίππου καιροὺς ὑπὸ λῃστῶν κατείχετο, οὓς ἐκβαλὼν ὁ Φίλιππος ἀπαιτοῦσι μὲν τοῖς Ἀθηναίοις τὴν νῆσον οὐκ ἀποδίδωσιν, ἑαυτοῦ γὰρ εἶναί φησιν, αἰτοῦσι δὲ ὑπισχνεῖται δώσειν.* 3. *ὁ δὲ λόγος οὐ δοκεῖ μοι Δημοσθένους εἶναι. δηλοῖ δὲ ἡ φράσις καὶ ἡ τῆς συνθέσεως ἁρμονία πολὺ τὸν Δημοσθενικὸν πεφευγυῖα τύπον ἀνειμένη τε καὶ διαλελυμένη παρὰ τὴν ἰδέαν τούτου τοῦ ῥήτορος.* 4. *καὶ μὴν καὶ τὸ ἐπὶ τέλει ῥηθὲν οὐ μικρὸν μαρτύριον τοῦ νόθον εἶναι τὸν λόγον· εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε. ὁ μὲν γὰρ Δημοσθένης εἴωθε παρρησίᾳ χρῆσθαι, τοῦτο δὲ ὕβρις ἐστὶ καὶ λοιδορία μέτρον οὐκ ἔχουσα, εὐτέλεια δὲ αὐτῷ δεινὴ πρόσεστι κατὰ τὴν ἑρμηνείαν. πρὸς δὲ*

8 Caecil. Cal. fr. 139 ed. Ofenl. 13 sq. [Dem.] Hal. § 45 p. 87, 29 sq.

1 *τοῦ O* 2 *περιπολλῶν F* | *ὧν* — 3 *τὸ*] *τῶν FU* 3 *ἀλλόνησον F* sed *λ*(2) delet. *ἀλόνησον* (superscr. *ν*) *Y* 6 *ἀποδίδωσι F* 7 *ἀποῦσι F* 8 *ὁ δὲ* — 620, 9 *ἐνστησάμενος* respexit Photius bibl. 265 p. 491a 2 *τινὲς μὲν οὖν τὸν περὶ Ἁλοννήσου λόγον, ὃς καὶ κατὰ Φιλίππου ἐπιγράφεται δεύτερος, καὶ γὰρ πρὸς τὴν ἐπιστολὴν ὁ ῥήτωρ ἀνταγωνίζεται τοῦ Φιλίππου, τοῦτον οὔ φασιν εἶναι γνήσιον Δημοσθένους καὶ τεκμηριοῦσθαι τὴν δόξαν αὐτῶν ἐπιχειροῦσι τοῖς ῥήμασί τε καὶ ὀνόμασι καὶ τῇ τῆς συνθέσεως ἁρμονίᾳ· πολὺ γὰρ ταῦτα λείπεσθαι τοῦ Δημοσθενικοῦ τύπου· ἀνειμένην τε γὰρ εἶναι ταύτην καὶ λελυμένην καὶ τῆς τοῦ ῥήτορος περὶ ταῦτα δυνάμεως ἐλαττουμένην τὴν φράσιν. καὶ οἵ γε αὐτὸν ἀφαιρούμενοι τοῦ Δημοσθένους εἰς Ἡγήσιππον ἀναφέρουσιν κτλ.* 9 *καὶ* ante *ἡ*(1) *vu* 10 *ἀνειμένον* et 11 *διαλελυμένον F* 11 *τούτου* delendum censet Fuhr 12 *ἐπιτέλει F* 16 *εἴωθεν F* Fuhr 17 sq. *εὐτέλεια δὲ* scripsi *εὐτέλειά τε* libri edd

τούτοις καὶ εὔηθες τὸ νομίζειν ἐν τοῖς κροτάφοις ἔχειν τοὺς ἀνθρώπους τὸν ἐγκέφαλον. 5. ὑπώπτευσαν δὲ καὶ οἱ πρεσβύτεροι τὸν λόγον ὡς οὐ τοῦ ῥήτορος, καὶ πεφωράκασί γέ τινες ὄντα Ἡγησίππου καὶ ἀπὸ τῆς ἰδέας R 76 τῶν λόγων, τοιαύτῃ γὰρ κέχρηται, καὶ ἀπὸ τῶν | πραγμάτων. κατὰ Καλλίππου γὰρ τοῦ Παιανιέως φησὶν ὁ τὸν λόγον γεγραφὼς ἀπενηνοχέναι γραφὴν παρανόμων, φαίνεται δὲ οὐχ ὁ Δημοσθένης, ἀλλ' ὁ Ἡγήσιππος τὴν κατὰ τοῦ Καλλίππου γραφὴν ἐνστησάμενος. 6. Νὴ Δία, ἀλλ' ὁ λόγος συμβουλεύει περὶ τῆς Ἁλοννήσου τοῖς Ἀθηναίοις μὴ λαμβάνειν αὐτήν, ἀλλὰ ἀπολαμβάνειν καὶ διαφέρεται περὶ τῶν ὀνομάτων, ταῦτα δὲ Αἰσχίνης φησὶ τὸν Δημοσθένην συμβεβουλευκέναι τοῖς Ἀθηναίοις. 7. εἶτα τί τοῦτο; δύναται γὰρ τὴν αὐτὴν πεποιῆσθαι συμβουλὴν καὶ Δημοσθένης καὶ Ἡγήσιππος, ἐπεὶ καὶ τἄλλα τῆς αὐτῆς ἦσαν ἐν τῇ πολιτείᾳ προαιρέσεως καὶ τοῖς φιλιππίζουσι τῶν ῥητόρων ἀντέλεγον, καὶ μέμνηται καὶ ὁ Δημοσθένης τοῦ Ἡγησίππου ὡς καὶ πρεσβεύσαντος μεθ' ἑαυτοῦ καὶ ἀντιταχθέντος τῷ Μακεδόνι. 8. δῆλον οὖν ὅτι ὁ μὲν τοῦ Δημοσθένους λόγος ὁ περὶ τῆς Ἁλοννήσου ῥηθεὶς οὐ σώζεται, ἐκείνου δὲ οὐκ ὄντος τὸν εὑρεθέντα προσέθεσαν αὐτῷ ἀφορμὴν ἔχοντες τὸ περὶ Ἁλοννήσου λόγον εἰρῆσθαι τῷ ῥήτορι, οὐκέτι δὲ ἐξετάζοντες εἰ τοῦτον εἰκὸς εἶναι τὸν ἐκείνου.

10 [Dem.] Hal. § 6 sq. 13 Aeschin. Ctes. § 83 18 Dem. Phil. III § 72

1 τὸ νομίζειν] τι νομίζεται τὸ (τὸν *O*) *FOvuU* corr Voemel 6 et 9 καλίππου *Y* 11 ἀλλοννήσου *F* ἀλοˇνήσου *Y* 12 τούτοις *F* 13 δημοσθένη *F* Fuhr 16 καὶ ἐπεὶ καὶ τὰ ἄλλα *F* 19 μετ' αὐτοῦ *Y* 23 τὸν *FO* sed in hoc in τὸ corr m², *YU* | αλοννήσου *F*

η'.

ὑπόθεσις τοῦ περὶ τῶν ἐν Χερρονήσῳ λόγου. R 88

1. Ὁ λόγος οὗτος ὑπὲρ Διοπείθους εἴρηται καὶ ὧν ἐκεῖνος παρὰ Ἀθηναίοις κατηγόρητο. ἦν μὲν γὰρ Χερρόνησος ἡ πρὸς Θράκην τῶν Ἀθηναίων κτῆμα ἀρχαῖον, εἰς δὲ ταύτην ἀπέστειλαν κατὰ τοὺς Φιλίππου καιροὺς κληρούχους ἑαυτῶν. 2. ἔθος δὲ ἦν τοῦτο παλαιὸν τοῖς Ἀθηναίοις, ὅσοι πένητες ἦσαν αὐτῶν καὶ ἀκτήμονες οἶκοι, τούτους πέμπειν ἐποίκους εἰς τὰς ἔξω πόλεις τὰς ἑαυτῶν, καὶ ἐλάμβανον πεμπόμενοι ὅπλα τε ἐκ τοῦ δημοσίου καὶ ἐφόδιον. 3. καὶ νῦν τοίνυν τοῦτο γέγονε καὶ πεπόμφασιν ἐποίκους εἰς τὴν Χερρόνησον στρατηγὸν αὐτοῖς δόντες Διοπείθη. οἱ μὲν οὖν ἄλλοι

2 cf. Bielski p. 48

3 Οὗτος ὁ Διοπείθης πατὴρ ἦν Μενάνδρου τοῦ κωμικοῦ, ὁ δὲ Μένανδρος φίλος ἦν Δημοσθένους, δι' ὃν ὑπὲρ Διοπείθους βουλεύεται F^2Y 7 κληρούχους (om Y)· γεωργούς· παροίκους. κληροῦχοι γὰρ καλοῦνται καὶ οἱ ἀποστελλόμενοι πάροικοι καὶ ὁ κληρουχῶν καὶ μερίζων αὐτοῖς τὴν γῆν F^2Y

2 τοῦ om *F* | λόγου om *FY* | hypothesin Libanio non nominato codice familiae *Y* usus libere exscripsit Gregorius Cor. de Hermog. meth. dic. 81 ed. Walz. Rhet. gr. t. VII 1194, 8 3 Ὁ λόγος — 4 κατηγόρητο] ἔστι δὲ ἡ ὑπόθεσις τοῦ ὑπὲρ Διοπείθους λόγου αὕτη· Greg | ὃν *Y* 4 κατηγορεῖται *Y* sed γρ κατηγόρητο in marg m² | ἦν — 7 ἑαυτῶν] τῶν Ἀθηναίων ἀρχαῖον κτῆμα ἡ πρὸς Θράκην ἐπεφύκει Χερρόνησος· εἰς ταύτην οὖν κατὰ τοὺς τοῦ Φιλίππου καιροὺς κληρούχους ἀπέστειλαν Greg 7 ἦν om et ἐτύγχανεν post Ἀθηναίοις Greg 9 οἶκοι om Greg | τούτους εἰς τὰς ἔξω πόλεις ἀπέπεμπον καὶ ἐλάμβανον Greg | ἔξω om *Y* sed γρ in marg m² 10 ὅπλα τε καὶ ἐφόδιον οὗτοι παρὰ τοῦ δημοσίου πεμπόμενοι Greg 11 καὶ τοίνυν οὕτω καὶ τότε ἐγένετο καὶ πρὸς τὴν Χερρόνησον ἐποίκους πεπόμφασι Greg 12 γέγονεν *FY* Fuhr 13 στρατηγὸν Διοπείθην αὐτοῖς ἐγχειρήσαντες Greg | διοπείθην *O* Dind

Χερρονησῖται τοὺς ἐπελθόντας ἐδέξαντο καὶ μετέδωκαν αὐτοῖς καὶ οἰκιῶν καὶ γῆς, Καρδιανοὶ δὲ οὐκ ἐδέξαντο λέγοντες ἰδίαν χώραν οἰκεῖν καὶ οὐκ Ἀθηναίων. 4. *ἐντεῦθεν οὖν Διοπείθης ἐπολέμησε Καρδιανοῖς, οἱ δὲ παρὰ Φίλιππον καταφεύγουσι, καὶ ὃς ἐπιστέλλει τοῖς Ἀθηναίοις μὴ βιάζεσθαι Καρδιανοὺς ὡς αὐτῷ προσ-*
R 89 *ήκοντας, ἀλλὰ διαδικάσασθαι πρὸς αὐτούς, εἴ | τί φασιν ἠδικῆσθαι.* 5. *ὡς δὲ οὐκ ἤκουον τούτων οἱ Ἀθηναῖοι, βοήθειαν τοῖς Καρδιανοῖς ἔπεμψεν. ἐφ' οἷς ἀγανακτήσας ὁ Διοπείθης τοῦ Φιλίππου περὶ τὴν μεσόγειαν, τὴν ἄνω Θρᾴκην, πολεμοῦντος πρὸς τὸν Ὀδρυσῶν βασιλέα τὴν παράλιον Θρᾴκην ὑπήκοον οὖσαν τοῦ Μακεδόνος κατέδραμε καὶ ἐπόρθησε καὶ ἔφθη πρὶν Φίλιππον ἐπανελθεῖν ἀναχωρήσας εἰς τὴν Χερρόνησον καὶ ἐν ἀσφαλείᾳ γενόμενος.* 6. *διόπερ ὁ Φίλιππος οὐ*

7 Dem. Hal. § 7; Chers. § 57. cf. t. VI 313, 11

---

1 *χερρονησεῖται* Greg | *ἀπελθόντας* Greg | *καὶ* — 2 *ἐδέξαντο* in marg add *F*² | *κατοικίας σφίσι μετέδωκαν* Greg 2 *δὲ σφᾶς οὐκ* Greg 3 *λέγοντες* om sed *αὐτοῖς προβαλλόμενοι* post *Ἀθηναίων* Greg 4 *οὖν* om Greg | *ἐπολέμει* *F* et *γρ* in marg *Y*² Ald Re Dind Fuhr | *Καρδιανοῖς ἐπολέμησεν* Greg 5 *ὃς καὶ* *Y* sed *γρ καὶ ὃς* in marg m² | *τοῖς Ἀθηναίοις ἐπέστελλεν ὡς αὐτῷ προσήκοντας Καρδιανοὺς μὴ βιάζεσθαι* Greg 6 *καρδιανοῖς* *F* | *αὐτῷ* libri edd corr Voemel 7 *ἀλλὰ πρὸς αὐτοὺς εἴ τι φασιν ἀδικεῖσθαι, δικάσασθαι* Greg | *δικάσασθαι* libri Greg Ald corr Voemel | *εἴ τι*] *εἴγε* *Y* Voemel 8 *ἀδικεῖσθαι* *Y* Greg | *ὡς δὲ τοῦτο Ἀθηναῖοι οὐκ ἤκουον, τοῖς Καρδιανοῖς βοήθειαν ἔπεμψεν* Greg | *τοῦτον* *Ovu* 10 *ὁ Διοπείθης ἀγανακτήσας* Greg | *ὁ* om *Y* | *πολεμοῦντος* post *Φιλίππου* Greg | *τὴν* — 12 *βασιλέα* om Greg | *μεσογείαν* *FY* Re 11 *πολεμοῦντος* — 12 *Θρᾴκην* in marg add *F*² | *ὀδρυσσῶν* *U* 13 *κατέδραμεν* *FY* Greg Fuhr | *καὶ πρὶν Φίλιππον ἐπελθεῖν πορθήσας αἰφνίδιον εἰς Χερρόνησον ἀνεχώρησε* Greg | *ἐπόρθησεν* *FY* Fuhr | *αἰφνίδιον* *F* sed *γρ καὶ ἔφθη* in marg, *OvuU* 15 *ἀσφαλείᾳ* scripsi e *FOvuU* *ἀσφαλεῖ* *Y* Greg edd

δυνηθεὶς ὅπλοις αὐτὸν ἀμύνασθαι πέπομφεν ἐπιστολὴν πρὸς τοὺς Ἀθηναίους κατηγορῶν τοῦ στρατηγοῦ καὶ λέγων αὐτὸν παραβεβηκέναι τὴν εἰρήνην ἄντικρυς. καὶ οἱ φιλιππίζοντες τῶν ῥητόρων κατατρέχουσι τοῦ Διοπείθους καὶ κολάζειν ἀξιοῦσιν αὐτόν. 7. *πρὸς οὓς ὁ Δημοσθένης ἐναντιούμενος διχῇ ὑπὲρ τοῦ Διοπείθους ἵσταται. οὔτε γὰρ ἄδικά φησιν αὐτὸν πεποιηκέναι, Φιλίππου γὰρ πολὺ πρότερον παραβάντος τὴν εἰρήνην καὶ ἀδικοῦντος τὴν τῶν Ἀθηναίων πόλιν εἰκότως καὶ τοῦτον ἔργα πολέμου διαπράττεσθαι, οὔτε συμφέρειν λέγει τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγὸν καὶ διαλῦσαι τὴν ὑπ' ἐκείνῳ δύναμιν, ἥτις νῦν ἀποκρούεται Χερρονήσου Φίλιππον.* 8. *τὸ δὲ ὅλον ἐπὶ πόλεμον παρακαλεῖ καὶ τοῦ Φιλίππου πολλὴν ποιεῖται κατηγορίαν ὡς ἀδίκου καὶ παρασπόνδου καὶ τοῖς Ἀθηναίοις καὶ τοῖς Ἕλλησιν ἐπιβουλεύοντος.*

3 sq. Dem. Phil. III § 8 p. 112, 27

1 *ἀμύνασθαι κατηγορῶν τοῦ στρατηγοῦ πρὸς Ἀθηναίους ἀπέστειλε παραβεβηκέναι τὰς συνθήκας λέγων αὐτοῖς καὶ τοῦ Διοπείθους τῶν ῥητόρων οἱ φιλιππίζοντες κατατρέχουσιν* Greg 4 *οἱ* — 12 *δύναμιν*] excerpsit Io. Doxap. schol. in Hermog. id. II 7 t. VI p. 362 ed. Walz. *ἐνταῦθα οἱ φιλιππίζοντες τῶν ῥητόρων τοῦ τε Διοπείθους ὡς μάτην προσκεκρουκότος τῷ Φιλίππῳ κατηγόρουν καὶ τὴν ὑπ' αὐτῶν* (corr *αὐτῷ*) *δύναμιν καταλυθῆναι ἠξίουν* 5 *οἷς ὁ Δημοσθένης ἐναντιούμενος ὑπὲρ Διοπείθους ἀπολογίαν πεποίηται* Greg 6 *διχῆ* *Y* | *τοῦ* om *FOvuU* 7 *οὐδὲ* Greg | *αὐτὸν φησὶ* *Y* | *ποιεῖν* Greg 8 *Φιλίππου* — 10 *διαπράττεσθαι*] *ἐπειδὴ τὴν εἰρήνην παραβὰς ὁ Φίλιππος εὕρηται* Greg | *προτέρου* *Y* 10 *πολεμίου* *Y* Voemel | *οὔτε* — 12 *δύναμιν*] *διὰ δὴ τοῦτο καὶ τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγὸν οὐ συμφέρον ἐστὶ καὶ τὴν ὑπ' ἐκεῖνον δύναμιν διαλῦσαι* Greg 12 *ἐκείνου* *FvuYU* Voemel *ἐκεῖνον* Greg *αὐτῶν* Dox 13 *Χερρονήσου Φίλιππον ἀποκρούεται* Greg | *παρακαλεῖ τοὺς Ἀθηναίους εἰς πόλεμον* Greg 14 *καὶ πολλὴν Φιλίππου οἷα δὴ παρασπονδοῦντος κατηγορίαν πεποίηται* Greg | *ποιεῖται πολλὴν* *Ovu*

θ'.

R 109 ὑπόθεσις τοῦ γ' κατὰ Φιλίππου λόγου.

Ἁπλῆ τοῦ λόγου τούτου ἡ ὑπόθεσις. Φιλίππου γὰρ λόγῳ μὲν εἰρήνην ἄγοντος, ἔργῳ δὲ πολλὰ ἀδικοῦντος συμβουλεύει τοῖς Ἀθηναίοις ὁ ῥήτωρ ἀναστῆναι καὶ ἀμύνασθαι τὸν βασιλέα ὡς κινδύνου μεγάλου καὶ αὐτοῖς ἐπικρεμαμένου καὶ πᾶσι κοινῇ τοῖς Ἕλλησιν.

ι'.

R 130 ὑπόθεσις τοῦ δ' κατὰ Φιλίππου λόγου.

1. Καὶ οὗτος ὁ λόγος τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ φθάνοντι καὶ πλέον οὐδὲν οὐδὲ ἴδιον πλὴν τὸ περὶ τῆς ὁμονοίας πολίτευμα. 2. διαφερομένων γὰρ τῶν πλουσίων πρὸς τοὺς πένητας ὁ Δημοσθένης καταπαύ-
R 131 ειν πειρᾶται τὴν | στάσιν τῷ μὲν δήμῳ παραινῶν μὴ δημεύειν τὰς τῶν πλουσίων οὐσίας, τοῖς δὲ πλουσίοις μὴ φθονεῖν τοῖς ἀπόροις τοῦ δημοσίου λήμματος. πείθει δὲ τοὺς Ἀθηναίους καὶ πρὸς τὸν Περσῶν βασιλέα περὶ συμμαχίας πρεσβεύεσθαι.

---

2 et 9 sq. cf. Bielski p. 48

---

2 τοῦ γ' κατὰ Φιλίππου] τοῦ κατὰ φιλίππου γ̄ *Y* λόγου οὗ ἡ ἀρχή: Πολλῶν ὦ ἀθηναῖοι λόγων γενομένων ὀλίγου δεῖν *F* | λόγου om *FY* 3 ἡ om *Y* (et *Olom Rehd*) 6 ἀμύνεσθαι *U*

9 τοῦ δ' κατὰ Φιλίππου] τοῦ κατὰ φιλίππου δ̄ *Y* λόγου οὗ ἡ ἀρχή· Καὶ σπουδαῖα νομίζω ὦ ἀθηναῖοι *F* | λόγου om *FY* 10 ὁ λόγος om *F* inser Fuhr 11 οὐδὲ] οὔτε *Fm YU* 13 παύειν *m* 17 τῶν *FU* (et *Olom*) cf. p. 626, 3

ια'.

ὑπόθεσις τοῦ πρὸς τὴν Φιλίππου ἐπιστολὴν R 152
λόγου.

Ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους πέπομφεν ἐπιστολὴν κατηγορῶν αὐτῶν καὶ πόλεμον προκηρύττων ἄντικρυς. οὐκ ἔτι οὖν ὁ ῥήτωρ πείθει τοὺς Ἀθηναίους πολεμεῖν, ἀνάγκη γάρ, ἀλλὰ θαρσύνει πρὸς τὸν κίνδυνον εὐκαθαίρετον λέγων τὸν Μακεδόνα.

ιβ'.

ὑπόθεσις τοῦ περὶ τῆς συντάξεως λόγου. R 165

Ὁ λόγος οὗτος οὐκ ἔτι Φιλιππικός ἐστιν, ἀλλ' ἁπλῶς συμβουλευτικός. ἐκκλησίαν γὰρ ἀγόντων τῶν Ἀθηναίων περὶ τῶν θεωρικῶν χρημάτων | παρελθὼν R 166 *ὁ Δημοσθένης πείθει συνταχθῆναί τε αὐτοὺς καὶ τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα στρατευομένους καὶ τῶν Ἑλλήνων προκινδυνεύοντας καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τῶν προγόνων πολὺ φαυλότερα καὶ ταπεινότερα τῶν παλαιῶν δεικνύς.*

2 et 9 sq. cf. Bielski p. 49
8 Thuc. VII 18, 2   11 cf. p. 607, 13 sq.   14 sq. Dem. Ol. II p. 25, 6

2 *λόγου* ante *τοῦ F* | *πρὸς φιλίππου· ἐπιστολή F*   3 *λόγου* om *FY*   4 *πέπομφε F* | *ἐπιστολὴν* om *F* cf. Phil. ep. § 1 et 12   6 *οὐκέτ' Y οὐκέτ'* edd   7 *θαρσύνων U*

10 *Συμβουλευτικοί:* ante *ὑπόθεσις Y* | *λόγου* ante *τοῦ F* | *λόγου* om *Y*   11 *οὐκέτι* edd   12 *δὲ F*   13 *πείθει παρελθὼν ὁ δημοσθένης Y*   14 *τε* om *F*   16 *ἑλλήνων* ex *ἑλληνικῶν* corr *Y*   18 *τὰ παρὰ τῶν παλαιῶν Y* (*Rehd*)

ιγ'.

R 177 ὑπόθεσις τοῦ περὶ τῶν συμμοριῶν λόγου.

1. Φήμης γενομένης τὸν Περσῶν βασιλέα παρασκευάζεσθαι στρατεύειν ἐπὶ τοὺς Ἕλληνας ὁ μὲν τῶν Ἀθηναίων δῆμος κεκίνηται καὶ συγκαλεῖν ὥρμηται τοὺς Ἕλληνας καὶ τὸν πόλεμον ἐκφέρειν ἤδη, ὁ δὲ Δημοσθένης συμβουλεύει μὴ προεξανίστασθαι, ἀλλὰ ἀναμένειν τὸν βασιλέα νεωτερίσαι. 2. νῦν μὲν γάρ, φησίν, οὐ πείσομεν τοὺς Ἕλληνας συμμαχεῖν ἡμῖν ἐπ' ἀδείας εἶναι δοκοῦντας, τότε δὲ αὐτοὺς ὁ κίνδυνος αὐτὸς συστήσει. παραινεῖ τοίνυν ἡσυχάζοντας συντάξασθαι καὶ πρὸς τὸν πόλεμον παρασκευάσασθαι καὶ δὴ καὶ διέξεισιν ὃν τρόπον ἂν συνταχθεῖεν. 3. ὅθεν καὶ περὶ συμμοριῶν ὁ λόγος ἐπιγράφεται. συμμορία γὰρ παρὰ τοῖς Ἀττικοῖς τὸ τῶν λειτουργούντων σύνταγμα.

ιδ'.

R 190 ὑπόθεσις τοῦ ὑπὲρ τῆς Ῥοδίων ἐλευθερίας λόγου.

1. Τὸν συμμαχικὸν κληθέντα πόλεμον πρὸς Ἀθηναίους ⟨ἤραντο⟩ Χῖοι καὶ Ῥόδιοι καὶ Βυζάντιοι πρότερον μὲν αὐτῶν ὑπήκοοι γεγονότες, τότε δὲ ἀλλήλοις

2 et 17 sq. cf. Bielski p. 49 7 Dem. symm. § 10 sq. 41

2 λόγου ante τοῦ F | τῶν om Y | λόγου om FY 5 καὶ κεκίνηται καὶ Y 6 καὶ] εἰς F καὶ εἰς mv 7 ἀλλ' Y 11 συνστήσει Y sed ν delet. συστήσεται Fmv Voemel Dind Fuhr 13 συνταχθ εἶεν F sed ˜ e ˋ corr m rec 15 λειτουργιῶν Y sed ούντων subscr m²
17 τοῦ ὑπὲρ om F 18 λόγου om FY 20 ἤραντο post Ἀθηναίους inserui permotus signo ⸪ supra ἀθηναίους in Y posito ad quod lectio in margine posita post ἀθηναίους legi iam non potest, post πόλεμον edd auctore Feliciano, post πεποιημένοι Ald Lessingii om libri Ald

συμμαχίαν πεποιημένοι κατὰ τῶν Ἀθηναίων. 2. γείτονες δὲ ὄντες οἱ Ῥόδιοι τῇ Καρίᾳ πρὸς τὸν ταύτης ὕπαρχον Μαύσωλον οἰκείως ἔχειν ἐδόκουν. ὁ δὲ κατ' ὀλίγον πιστευθεὶς ὑπ' αὐτῶν ἐπιβουλὴν κατὰ τοῦ δήμου συνεστήσατο καὶ τὴν δημοκρατίαν τῶν Ῥοδίων ἀφελόμενος ὀλίγοις τοῖς δυνατωτάτοις τὴν πόλιν κατεδούλωσε. 3. συμβουλεύει τοίνυν ὁ Δημοσθένης μὴ περιορᾶν ταῦτα, ἀλλὰ βοηθεῖν τῷ δήμῳ τῶν Ῥοδίων συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ δημοκρατεῖσθαι τὰς πόλεις· εἰ δὲ ἠδικήκασιν ἡμᾶς Ῥόδιοι, φησίν, ἀλλὰ πρέπον ἐστὶν ἡμῖν καὶ σύνηθες τὸ καὶ τοὺς λυπήσαντάς τι τῶν Ἑλλήνων ἐλευθεροῦν καὶ μὴ μνησικακεῖν ἁμαρτάνουσιν εἰς τὴν πόλιν.

ιε'.

ὑπόθεσις τοῦ ὑπὲρ Μεγαλοπολιτῶν λόγου. R 201

1. Ὅτε Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας εἰς κίνδυνον μέγαν κατέστησαν ἀποστάντων Ἀρκάδων καὶ προσθεμένων τοῖς Θηβαίοις, Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι διέσωσαν αὐτούς. 2. ὕστερον δὲ Λακεδαιμόνιοι τῶν κινδύνων ἀπαλλαγέντες καὶ προϊόντες πάλιν εἰς δύνα-

10 sq. Dem. Rhod. lib. § 16 p. 195, 6 sq.
15 sq. cf. Bielski p. 49

3 αὔσωλον *F* 4 πιστευθεὶς scripsi πεισθεὶς *F* πιστευόμενος *Y* edd 6 δυνατωτέροις *FY* edd corr Fuhr | κατεδούλωσεν *FY* Fuhr 9 λέγων inser *Y*[2] om *F* cf. p. 628, 7
10 φησὶ ῥόδιοι *Y* 11 ὑμῖν *Y*
15 τοῦ ὑπὲρ] ὑπὲρ τοῦ *F* | λόγου om *FY* 16 Ὅτε — 628, 8 Λακεδαίμονα praemissis verbis ἡ ὑπόθεσις τῶν Μεγαλοπολιτῶν ἐστι τοιαύτη laudavit Ioannes Doxap. schol. in Hermog. id. II 7 ed. Walz. Rhet. gr. VI 433, 15 sq. | Ὅτε] οἱ Dox
18 τοῖς om Dox 20 οἱ ante λακεδαιμόνιοι *Y*

μιν ἐπὶ Μεγάλην πόλιν τῆς Ἀρκαδίας ἤρχοντο καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας κοινωνεῖν αὐτοῖς τοῦ πολέμου. πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε παρακαλοῦντες ὑπὲρ ἑαυτῶν. 3. *ὁ τοίνυν Δημοσθένης συμβουλεύει μὴ περιορᾶν ἀναιρεθεῖσαν Μεγάλην πόλιν μηδὲ εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.*

ις'.

R 211 *ὑπόθεσις τοῦ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν λόγου.*

1. *Ἀλεξάνδρου τοῦ Μακεδόνος καταγαγόντος εἰς Μεσσήνην τοὺς Φιλιάδου τοῦ τυράννου παῖδας αἰτιᾶται παρὰ τὰς συνθήκας εἶναι τοῦτο τὰς πρὸς Ἀθηναίους καὶ Ἕλληνας γενομένας. παραβεβηκέναι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τὰς συνθήκας φησὶ τοὺς Μακεδόνας καὶ μὴ περιορᾶν ταῦτα παραινεῖ.* 2. *ὁ δὲ λόγος ψευδε-*

5 Dem. Megal. § 4 p. 203, 7; § 25 p. 208, 25; § 26 p. 209, 2 sq.; § 30 p. 210, 4
10 sq. cf. Bielski p. 50 12 [Dem.] Alex. § 4

1 et 6 *Μεγαλόπολιν* Dox | *ἔρχονται* Dox 2 *διαπρεσβείας* *F* 4 *αὐτῶν* *F* Fuhr 5 *περιορᾶν*] *περὶ* *F* 6 *ἀναιρεθεῖσαν Μεγάλην* om *F* | *αἱρεθεῖσαν* *Y* | *μὴ δὲ* *FY* | *προελθεῖν* Dox 7 *τῇ πόλει καὶ* ante *τοῖς* Dox
11 *λόγου* om *FY* 12 *κατάγοντος* *F* | *εἰς μεσσήνην* om *Y* sed *ἐν ἄλλοις*(?), *κατάγοντος εἰς μεσσήνην* in marg m[4] 13 ⟨ὁ ῥήτωρ⟩ *αἰτιᾶται*? 14 *τὰς παρὰ* (*παρ'* *Y*) *ἀθηναίοις καὶ ἕλλησι* *FmY* corr Wolf *Ἀθηναίοις καὶ Ἕλλησι* Sauppe Dind 17 *ὁρᾶν* *F* | *ὁ δὲ* — 629, 5 *βδελυρεύεσθαι* excerpsit Photius bibl. 265 p. 491 a 22 *ὡσαύτως δὲ καὶ τὸν λόγον ὃς ἐπιγράφεται περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν Ὑπερείδῃ μᾶλλον ἢ Δημοσθένει προσνέμουσιν, ὅτιπερ πολλοῖς τε ἄλλοις ὁ Δημοσθένης πλεονεκτῶν τῶν λοιπῶν ῥητόρων καὶ τῇ τῶν ὀνομάτων ἐκλογῇ ἐπὶ τὸ ἄμεινον διενήνοχεν, ὁ δὲ νῦν λόγος ἔχει τι καὶ τῶν οὐ λογάδων φωνῶν, ὥσπερ τὸ νεόπλουτος καὶ βδελυρεύεσθαι καὶ ἕτερά τινα τοιαῦτα*

πίγραφος εἶναι δοκεῖ. οὐ γὰρ ἔοικε κατὰ τὴν ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ Δημοσθένους, ἀλλὰ τῷ Ὑπερίδου χαρακτῆρι μᾶλλον προσχωρεῖ τά τε ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖνον μᾶλλον εἰρημένας ἢ τὸν Δημοσθένην, οἷον νεόπλουτοι καὶ βδελυρεύεσθαι.

ιζ'.

ὑπόθεσις τοῦ περὶ τοῦ στεφάνου λόγου. R 220

1. Τεῖχος μὲν ὁ ῥήτωρ ὑπὲρ Ἀθηναίων προὐβάλετο τῶν συνήθων τούτων καὶ χειροποιήτων ἀρραγέστερόν τε καὶ βέλτιον τήν τε εἰς τὴν πόλιν εὔνοιαν καὶ περὶ λόγους δεινότητα, ὡς αὐτὸς εἴρηκεν· οὐ λίθοις καὶ πλίνθοις τὰς Ἀθήνας ὠχύρωσα, ἀλλὰ μεγάλαις δυνάμεσι καὶ πολλῇ τινι συμμαχίᾳ τῇ μὲν ἐκ γῆς, τῇ δὲ ἐκ θαλάττης. 2. οὐ μὴν ἀλλὰ καὶ εἰς τὸν χειροποίητον περίβολον οὐ μικρὰ τῇ | πόλει R 221 συνεβάλετο. πεπονηκότος γὰρ κατὰ πολλὰ μέρη τοῦ τείχους τοῖς Ἀθηναίοις, ἐπειδὴ ἔδοξεν ἀνορθοῦν αὐτό, ᾑρέθησαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα, φυλῆς ἑκάστης εἷς, οὓς ἔδει τὴν ἐπιμέλειαν παρέχεσθαι τοῦ ἔργου ψι-

1 Dion. Hal. Dem. 57 p. 1127 5 [Dem.] Alex. § 23 p. 218, 8. cf. Eunap. vit. Lib. § 12 t. I 7, 16 | [Dem.] Alex. § 11 p. 214, 24 7 sq. Bielski p. 50 sq. 8 Dem. cor. § 299 p. 325, 27 9 Dem. Phil. II § 24 p. 71, 22 11 Dem. cor. § 299 p. 325, 22

2 *ὑπερείδου F* sed *ει* ex *ι* corr, edd recc cf. ad t. VI 284, 7 4 *δημοσθένη FY* Voemel 5 *νεοπλούτους FY νεόπλουτος* Phot corr Ald | *βδελυρευομένους F* sed *ο*(1) inser *βδελυρεύσετε m βδελυρεύσεται* Ald 7 *λόγου* om *FY* 8 *ὁ ῥήτωρ* post *ἀθηναίων m* Fuhr | *ὑπὸ F* | *προυβάλλετο F* sed *λ* alterum delet., *m* 10 *τε*(1) om *F* Fuhr 12 *ὠχύρωσεν* Voemel 16 *συνεβάλλετο F* sed *λ* alterum delet., *m O* 17 *ὀρθοῦν F* 18 *ἑκάστησ· εἰσ οὓσ Y* 19 *περαίνεσθαι Fv* Ald | *τοῦ ἔργου* om *m Y* Bekker Dind | *ψιλήν* om *F* del Voemel Fuhr *ψιλὴν τοῦ ἔργου* Re

λήν. τὸ γὰρ ἀνάλωμα δημόσιον. 3. *εἷς τοίνυν τούτων καὶ ὁ ῥήτωρ γενόμενος οὐχ ὁμοίως τοῖς ἄλλοις τὴν ἐπιμέλειαν μόνην εἰσήνεγκε τῇ χρείᾳ, ἀλλὰ τὸ μὲν ἔργον ἀμέμπτως ἀπετέλεσε, τὰ δὲ χρήματα ἔδωκεν οἴκοθεν τῇ πόλει.* 4. *ἐπῄνεσεν αὐτοῦ τὴν εὔνοιαν ταύτην ἡ βουλὴ καὶ τὴν προθυμίαν ἠμείψατο στεφάνῳ χρυσῷ. ἕτοιμοι γὰρ Ἀθηναῖοι πρὸς τὰς χάριτας τῶν εὖ ποιούντων.* 5. *Κτησιφῶν δὲ ἦν ὁ τὴν γνώμην εἰπὼν ὡς δεῖ στεφανῶσαι τὸν Δημοσθένην ἐν μὲν καιρῷ τοῖς Διονυσίοις, ἐν δὲ τόπῳ τῷ τοῦ Διονύσου θεάτρῳ, ἐν δὲ θεαταῖς πᾶσι τοῖς Ἕλλησιν οὓς ἡ πανήγυρις συνήγαγε, καὶ τούτων ἐναντίον ἀνειπεῖν τὸν κήρυκα ὅτι στεφανοῖ Δημοσθένην Δημοσθένους Παιανιέα ἡ πόλις ἀρετῆς συμπάσης ἕνεκα καὶ εὐνοίας τῆς πρὸς ἑαυτήν.* 6. *ἦν οὖν πανταχόθεν ἡ τιμὴ θαυμαστή. διὸ καὶ φθόνος αὐτῆς ἥψατο καὶ ⟨κατὰ⟩ τοῦ ψηφίσματος ἀπηνέχθη παρανόμων γραφή. Αἰσχίνης γὰρ ἐχθρὸς ὢν τοῦ Δημοσθένους ἀγῶνα παρανόμων ἐπήγγειλε Κτησιφῶντι λέγων ἄρχοντα γεγονότα τὸν Δημοσθένην καὶ μὴ δόντα λόγον ὑπεύθυνον εἶναι, νόμον δὲ κελεύειν τοὺς ὑπευθύνους μὴ στεφανοῦν, καὶ πάλιν νόμον παρεχόμενος τὸν κελεύοντα, ἐὰν μέν τινα ὁ δῆμος ὁ Ἀθηναίων στεφανοῖ, ἐν τῇ ἐκκλησίᾳ τὸν στέφανον ἀναγο-*
R 222 *ρεύεσθαι, ἐὰν δὲ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ, ἀλλαχόθι δὲ μὴ ἐξεῖναι.* 7. *φησὶ δὲ καὶ τοὺς ἐπαίνους*

17 Dem. cor. § 54 p. 243, 10 sq.

4 *ἐπετέλεσε OPvY* 8 *εὐποιούντων F* 10 *διονυσίου F* 12 *συνήγαγεν Y* | *καὶ* om *F* | *τὸ κήρυγμα m* 15 *αὐτὴν F* edd vett *αὑτήν* Blass Fuhr 16 *κατὰ* inserui auctore Wolfio coll p. 638, 3 sq.; t. VI 195, 10 om libri edd 18 *ἐπήγγελλε F* *ἀπήγγειλε Y* Ald *ἀπήγγειλε O* (ε supra) 19 *δημοσθένην Y* sed *ν* add m² 22 *λέγοντα Y*

εἶναι τοὺς ἐπὶ τῷ Δημοσθένει ψευδεῖς. μὴ γὰρ πεπολιτεῦσθαι καλῶς τὸν ῥήτορα, ἀλλὰ καὶ δωροδόκον εἶναι καὶ πολλῶν κακῶν αἴτιον τῇ πόλει. 8. καὶ τάξει γε ταύτῃ τῆς κατηγορίας Αἰσχίνης κέχρηται πρῶτον εἰπὼν περὶ τοῦ τῶν ὑπευθύνων νόμου καὶ δεύτερον περὶ τοῦ τῶν κηρυγμάτων καὶ τρίτον περὶ τῆς πολιτείας. ἠξίωσε δὲ καὶ τὸν Δημοσθένην τὴν αὐτὴν τάξιν ποιήσασθαι. 9. ὁ δὲ ῥήτωρ καὶ ἀπὸ τῆς πολιτείας τὴν ἀρχὴν ἐποιήσατο καὶ πάλιν εἰς ταύτην τὸν λόγον κατέστρεψε τεχνικῶς ποιῶν. δεῖ γὰρ ἄρχεσθαί τε ἀπὸ τῶν ἰσχυροτάτων καὶ λήγειν εἰς ταῦτα. μέσα δὲ τέθεικε τὰ περὶ τῶν νόμων, καὶ τῷ μὲν περὶ τῶν ὑπευθύνων ἀντιτίθησι διανοίας, τῷ δὲ περὶ τῶν κηρυγμάτων νόμον ἕτερον ἤ τι νόμου μέρος, ὥς φησιν αὐτός, ἐν ᾧ συγκεχώρηται καὶ ἐν τῷ θεάτρῳ κηρύττειν, ἐὰν ὁ δῆμος ἢ ἡ βουλὴ τοῦτο ψηφίσηται.

ιη'.

ὑπόθεσις τοῦ περὶ παραπρεσβείας λόγου. R 333

1. Αἰσχίνης ἦν ἀνὴρ Ἀθηναῖος, υἱὸς Ἀτρομήτου καὶ Γλαυκοθέας, ἀμφοτέρων ἀδόξων, ὥς φησι Δημο-

3 Lys. or. XIII § 33 4 sq. Aeschin. Ctes. § 9. 32. 49 7 Dem. cor. § 2 p. 226, 11 14 Aeschin. Ctes. § 35. Dem. cor. § 121 15 Dem. cor. § 120 18 sq. cf. Bielski p. 51 sq. 20 cf. ad p. 302, 1; t. VI 236, 11. Dem. cor. § 130; fals. leg. § 281

4 ταύτῃ Y sed σ ut videtur post η delet. ταύτης F corr Wolf 6 τοῦ τῶν κηρυγμάτων] τούτων mY 7 δημοσθένη Y 8 γὰρ F 9 κατέστρεψεν F Fuhr 11 ἰσχυροτάτων scripsi coll hyp. alt. § 5 p. 224, 16 R τῷ δ' ἰσχυροτάτῳ εἰς τὰ ἄκρα προσκέχρηται ἰσχυροτέρων F Ald ἰσχυρῶν mY 12 τὸν νόμον F 13 διάνοιαν Scrimgeri schedae (Voemel, Dem. cont. p. 183) | τῷ] τὰ F 14 ἤ τι scripsi coll Aeschin. l. l. ἤτοι libri edd | ὁ αὐτὸς F Αἰσχίνης coni Fuhr coll Aeschin. l. l. 18 ὑπόθεσις εἰς τὸν παραπρεσβείας FY 20 ἀδόξων ἀμφοτέρων Y

σθένης. τὸν μὲν γὰρ γράμματα διδάσκοντα, τὴν δὲ καθαίρουσαν καὶ τελετάς τινας οὐ σπουδαίας τελοῦσάν φησι διαζῆν. 2. παραδέδοται δὲ καὶ αὐτὸς ὁ Αἰσχίνης τραγῳδιῶν τε ὑποκριτὴς γενόμενος καὶ γραμματεὺς τῆς πόλεως, ἥτις ἦν εὐτελὴς ὑπηρεσία. ὕστερον μέντοι τῶν ῥητόρων εἷς ἐγένετο καὶ περὶ τῆς εἰρήνης πρὸς Φίλιππον ἐπρέσβευσε. πολεμοῦντες γὰρ οἱ Ἀθηναῖοι Φιλίππῳ περὶ Ἀμφιπόλεως καὶ πολλὰ μὲν αὐτοὶ δεινὰ πάσχοντες, δρῶντες δὲ οὐδὲν ἄξιον λόγου ἐπείσθησαν ὑπὲρ εἰρήνης πρεσβεύσασθαι πρὸς Φίλιππον. 3. πέμπουσι δὴ πρέσβεις δέκα τὸν ἀριθμόν, ἐν οἷς Αἰσχίνης τε καὶ Δημοσθένης ἦσαν. δεξαμένου δὲ Φιλίππου τὰς διαλύσεις πάλιν οἱ αὐτοὶ πρεσβεύουσι δεύτερον, ὅπως οἱ περὶ τῆς εἰρήνης ὅρκοι γένοιντο. 4. περὶ δὴ ταῦτα τὰ πράγματα κατηγορεῖ ὁ Δημοσθένης Αἰσχίνου τρία· ὅτι Φιλοκράτους αἰσχρὰν καὶ ἀσύμφορον εἰρήνην λέγοντος καὶ γράφοντος συνεῖπεν αὐτῷ· ὅτι τοὺς χρό-

2 Dem. fals. leg. § 249 p. 419, 18; cor. § 259 p. 313, 15 sq. Apollon. vit. Aeschin. p. 265, 11 ed. West. 13 Dem. Mid. § 119 p. 553, 20 17 sq Dem. fals. leg. § 17 sq.

2 οὐ om *Y* | διαγγέλλουσαν *Fv* 3 ζῆν *F* Fuhr coll Dem. fals. leg. § 249 p. 419, 23 6 περὶ — 633, 8 στοχαστική praemissis verbis ἡ δὲ ὑπόθεσις τῆς παραπρεσβείας αὕτη ἐστί· Αἰσχίνης ὁ Ἀτρομήτου καὶ Γλαυκοθέας libere exscripsit Gregorius Cor. in Hermog. method. 12, 12 ed. Walz. Rhet. gr. VII 1221 | πρὸς Φίλιππον ὑπὲρ εἰρήνης ἐπρέσβευσε Greg 7 ἐπρέσβευσεν *F* Voemel Fuhr | οἱ inserui ex *Y* om reliqui libri Greg edd 8 δεινὰ om *mv* 9 οὐδὲν δὲ λόγου ἄξιον πράττοντες Greg 10 πρὸς Φίλιππον ὑπὲρ εἰρήνης πρεσβεύσασθαι Greg 11 γοῦν Greg | τὸν ἀριθμὸν δέκα Greg 12 τε om Greg | ἐτύγχανον Greg | δεξάμενοι *F* | καὶ ante τὰς *F* 13 ὕστερον ὡς ἂν οἱ Greg 14 κατηγορεῖ δὲ Δημοσθένης Αἰσχίνου τρία ταῦτα Greg | δὲ *F* 15 ὁ om *mY* cancellavit Blassius 16 Φιλοκράτει et 17 γράφοντί τε καὶ λέγοντι Greg | λέγοντος καὶ om *Y* | καὶ γράφοντος om *m*

νους κατανάλωσε, παρ' ὃ συνέβη τὰ ἐν Θρᾴκῃ διαφθαρῆναι· ὅτι ψευδῆ πρὸς Ἀθηναίους ἀπήγγειλε, παρ' ὃ συνέβη Φωκέας ἀπολέσθαι. εἶπε γάρ, φησίν, ὅτι Φωκέας οὐκ ἀναιρήσει Φίλιππος, καὶ ὑμεῖς τούτῳ πιστεύσαντες οὐκ ἐβοηθήσατε τοῖς ἀνδράσι. | φησὶ R 334 *δὲ ταῦτα πάντα ἐπὶ μισθῷ καὶ δώροις τὸν Αἰσχίνην κεκακουργηκέναι.*

5. *Ἡ στάσις περὶ οὐσίας καὶ στοχαστική. ἡ δὲ κίνησις τῆς ἔχθρας λέγεται διὰ Τίμαρχον τὸν φίλον Δημοσθένους, ὃν ἠτίμωσεν Αἰσχίνης κατηγορήσας ὡς κακοῦ βίου, διότι πρὸς Πιττάλακον τὸν ὀρνιθίαν, φησίν, εἰσῄει εὔμορφος ὢν ἐπὶ τῷ θεᾶσθαι τὰς μάχας τῶν ὀρνίθων, διαφθειρόμενον καὶ διαφθείροντα.*

---

2 Dem. fals. leg. § 29 sq. cf. p. 304, 2 sq. 5 sq. Dem. fals. leg. § 101 sq. 9 Dem. fals. leg. § 257. 284 10 cf. ad p. 101, 15. Aeschin. Tim. § 54 sq. Dem. fals. leg. § 245

---

1 *καταν$^{\alpha}$ήλωσε F* *κατανάλωσεν mY* *κατηνάλωσεν* Greg *κατηνάλωσε* Ald Re *κατανήλωσε* reliquae edd | *ὅθεν τὰ ἐν Θρᾴκῃ διαφθαρῆναι συμβέβηκεν* Greg 2 *καὶ* ante *ὅτι* inser *Y* | *ψευδῶς* Greg | *ἀπήγγειλεν Y* Greg | *ὅθεν καὶ τὸ τῶν Φωκέων γένος ἀπώλετο* Greg 3 *φωκεῖς FmY* corr Dindorf cf. p. 605, 13; 606, 1; 346, 4 et 10; t. VI 218, 12; 223, 15; 234, 12; 401, 3 4 *ὁ Φίλιππος* Greg | *τοῦτο F* Greg Fuhr 5 *τοῖς ἀνδράσιν οὐ παρέσχετε χεῖρα σωτήριον* Greg | *ἀνδράσιν* Voemel 6 *ταῦτα δὲ πάντα ἐπὶ* Greg | *Αἰσχίνης ἐπονηρεύσατο* Greg 8 *τὴν στάσιν περὶ οὐσίας* (*περιουσίας F*) *καὶ στοχαστικήν FmvY* sed in hoc *ἡ δὲ στάσις περὶ οὐσίας καὶ στοχαστικὴ* in marg m^2 *ἔστι δὲ ἡ στάσις στοχασμός* Greg corr Felicianus *ἔστιν ἡ στάσις περὶ οὐσίας καὶ στοχαστικὴ* Fuhr 9 *μάχης F* Ald 10 *ἠτίμασεν Fm* Ald | *Αἰσχίνης* om *F* 12 *τὸ θεάσασθαι F*

ιθ'.

R 451 *ὑπόθεσις τοῦ πρὸς Λεπτίνην λόγου.*

1. Ἡ τῶν Ἀθηναίων πόλις ἄλλοις τε ἐτίμα τοὺς εὐεργέτας καὶ ἀτελείᾳ λειτουργιῶν. πολλῶν οὖν λαμβανόντων αὐτὴν σπάνις ἐδόκει τῶν λειτουργησόντων εἶναι. διὰ τοῦτο Λεπτίνης νόμον εἰσήνεγκεν εἶναι μηδένα ἀτελῆ μηδὲ τὸ λοιπὸν ἐξεῖναι τῷ δήμῳ δοῦναι, τὸν δὲ ἀτέλειαν αἰτήσαντα πάσχειν τὰ ἔσχατα. 2. τοῦτον ἐγράψαντο τὸν νόμον πρότερον μὲν ἄλλοι, μεθ' ὧν καὶ Βάθιππος, καὶ οὐκ ἐπεξῆλθεν ἢ χρήματα λαβὼν ἢ νόσῳ περιπεσών, νῦν δὲ Φορμίων καὶ Κτήσιππος ὁ Χαβρίου παῖς καί τινες μετ' αὐτῶν, οἷς συνήγορος Δημοσθένης γίνεται. 3. ὁ μὲν οὖν Λεπτίνης

7 Dem. Lept. § 2 p. 457, 18; § 4 p. 458, 10; § 128 p. 496, 3; § 160 p. 506, 8 8 Dem. Lept. § 100 p. 487, 26 10 Dem. Lept. § 144 p. 501, 8

---

2 ὑπό^θ (om *F*) *εἰς τὸν πρὸς λεπτίνην FY* 3 *Ἡ τῶν* — 635, 7 *οὐχ ἥκιστα* excerpsit Georgius Diaereta schol. in Hermog. de invent. 51 ed. Walz. Rhet. gr. VI 537, 10 sq. | *Πολλοῖς μὲν καὶ ἄλλοις ἡ τῶν Ἀθηναίων πόλις ἐτίμα τοὺς εὐεργέτας, ἐτίμησε δὲ καὶ ἀτελείᾳ λειτουργιῶν* Diaer 4 — 6] *διὰ δὲ τὸ πολλοὺς λαμβάνειν αὐτὴν σπάνις τῶν λειτουργησάντων ἐγένετο* Diaer | *ἀτελείαι* ex *ἀτέλεια* corr *F* 6 *μηδένα εἶναι* Diaer ut Dem. Lept. p. 457, 16; 486, 22; 496, 3; 506, 6 7 *μήτε FYΠ* corr Voemel | *ἐξὸν εἶναι FYΠ* Ald corr Voemel 8 *τὸν* — *ἔσχατα* om Diaer | *τὸ F* sed *ν* inser | *πάσχειν τὰ κατὰ τοῦτον· YΠ* et *γρ* in marg *F* Voemel 9 *ἐγράψαντο τοῦτον τὸν νόμον F Y* sed in hoc *γρ πάσχειν τὰ ἔσχατα· τοῦτον ἐγράψαντο τὸν νόμον* in marg m², *Π* Diaer | *πρότερον* — 11 *νῦν δὲ* om Diaer 12 *καί* — *αὐτῶν* om Diaer 13 *ὁ δημοσθένης* Diaer | *γίγνεται F* | *Χαβρίας γὰρ χρήσιμος τῇ πόλει γενόμενος ἀτέλειαν ἔλαβεν, ἣν κατέλιπε τῷ παιδί· ἀποθανόντος οὖν τοῦ Χαβρίου τοῦ τὴν ἀτέλειαν εἰληφότος ὁ παῖς αὐτοῦ κατὰ τὸν τοῦ Λεπτίνου νόμον ἀφῃρεῖτο τὴν ἀτέλειαν· ἐπεὶ τοίνυν ὁ Λεπτίνου νόμος πάντων τῶν λαβόντων ἀτέλειαν ἀφῃρεῖτο τὰς δωρεάς, ἀφῃρεῖτο δὲ καὶ ὁ Χαβρίου παῖς τὴν ἀτέλειαν ἣν εἰλήφει παρὰ τοῦ πατρός, παραμένειν αὐτὴν τῷ παιδὶ μέλων* (corr.

πλέον ἰσχύει τῷ συμφέροντι, τὴν γὰρ χρείαν προΐσχεται, | ὁ δὲ Δημοσθένης τῷ τε ἐνδόξῳ καὶ τῷ δικαίῳ· R 452 *τῷ δικαίῳ μέν, ὅτι δίκαιόν ἐστι τοὺς εὖ ποιήσαντας ἀντευπεπονθέναι καὶ τοὺς ὀρθῶς ἀντιλαβόντας τῶν δοθέντων μὴ ἀφαιρεῖσθαι, τῷ δὲ ἐνδόξῳ, διότι τάχα μὲν καὶ ἄλλοις αἰσχρὸν ἃ δεδώκασιν ἀφαιρεῖσθαι, Ἀθηναίοις δὲ οὐχ ἥκιστα, οἷς ἀντ' ἄλλου γνωρίσματος τὸ μεγαλόψυχον προσεῖναι δοκεῖ.* 4. *ἐπιδεικνύει δὲ ὅτι καὶ παρανόμως εἰσήνεγκε τὸν νόμον. λέγει γὰρ ⟨αὐτὸν παραβῆναι τὸν⟩ νόμον τὸν κελεύοντα ἀναιρεῖν πρῶτον τὸν ἐναντίον νόμον καὶ τότε αὐτὸν τιθέναι νόμον, ἵνα μὴ ἀλλήλοις ἐναντίοι νόμοι εὑρίσκωνται.*

κ'.

ὑπόθεσις τοῦ κατὰ Μειδίου λόγου. R 508

1. *Ἑορτὴν ἦγον οἱ Ἀθηναῖοι Διονύσῳ, ἣν ἐκάλουν ἀπὸ τοῦ θεοῦ Διονύσια. ἐν δὲ ταύτῃ τραγικοὶ καὶ κωμικοὶ καὶ αὐλητῶν χοροὶ διηγωνίζοντο. καθίστασαν δὲ τοὺς χοροὺς αἱ φυλαὶ δέκα τυγχάνουσαι, | χορηγὸς* R 509 *δὲ ἦν ἑκάστης φυλῆς ὁ τὰ ἀναλώματα παρέχων τὰ περὶ τὸν χορόν.* 2. *ὁ τοίνυν Δημοσθένης τῆς ἑαυτοῦ*

3 Anaxim. rhet. 1 ed. Spengel-Hammer Rhet. gr. I 15, 10 sq. 7 Dem. Lept. § 142 p. 500, 12 11 Anaxim. l. l. 2 p. 23, 22

θέλων) ὁ Δημοσθένης ὡς ἀσύμφορον τῇ πόλει τὸν Λεπτίνου νόμον ὄντα λέγει λελύσθαι, ἔπειτα καὶ διὰ τὸν τοῦ Χαβρίου παῖδα post *γίνεται* add Diaer | *ὁ μὲν* — 635, 2 *τῷ δικαίῳ*] *ἰσχύει δὲ τῷ δικαίῳ καὶ τῷ ἐνδόξῳ* Diaer

2 *καὶ* om *ΥΠ* 3 *τῷ δικαίῳ* om *F* | *ἐστιν F* | *εὐποιήσαντας* Diaer 4 *ἀντ' εὖ πεπονθέναι* Schaefer Dind *ἀντιπεπονθέναι* Diaer cf. ad t. IV 168, 13 6 *αἴσχιον ἃ F* sed ex *αἰσχίονα* corr m², *ΥΠ* Ald corr Wolf *αἰσχίονα* (corr *αἴσχιον ἃ*) Diaer 7 *οὐχήκιστα Υ* 9 *λέγει* — 11 *νόμον* (2) om *F* | *αὐτὸν παραβῆναι τὸν* inserui coll Dem. Lept. § 89 p. 484, 10; § 153 p. 503, 22 sq. om libri edd 11 *αὐτὸν*] *αὐτὸν ἄλλον* coni Wolf num *ἄλλον*? 14 *λόγου* om *FY* 15 *ἣν*] *ἐν ἧι F*

φυλῆς τῆς Πανδιονίδος ἐθελοντὴς ὑπέστη χορηγεῖν. ἐχθρῷ δὲ κεχρημένος τῷ Μειδίᾳ τῶν πλουσίων ἑνὶ φησὶ μὲν καὶ ἄλλα παρὰ τὴν χορηγίαν ⟨ὑπ'⟩ αὐτοῦ πεπονθέναι κακῶς, τὸ δὲ τελευταῖον ἐπὶ τῆς ὀρχήστρας κονδύλους ἔλαβεν ἐναντίον πάντων τῶν θεατῶν. ἐπὶ τούτῳ κατηγόρησεν ἐν τῷ δήμῳ τοῦ Μειδίου ὡς ἠσεβηκότος εἰς τὴν ἑορτὴν καὶ τὸν Διόνυσον. ἐκαλεῖτο δὲ ἡ τοιαύτη κατηγορία προβολή. 3. *ὁ μὲν οὖν δῆμος κατέγνωκε τοῦ Μειδίου τὴν ἀσέβειαν, ἀγωνίζονται δὲ νῦν ἐν τῷ δικαστηρίῳ περὶ τῆς τοῦ δήμου καταχειροτονίας. ἔδει γὰρ καταγνόντος τοῦ δήμου δικαστήριον κρῖναι δεύτερον. ἔστιν οὖν ὁ ἀγὼν περὶ ὑποτιμήσεως· οὐ γὰρ περὶ τοῦ μηδὲν ἀδικεῖν ὁ Μειδίας ἀγωνίζεται, ἀλλὰ περὶ τιμήματος, πότερον ὕβρεως ἢ ἀσεβείας ὀφείλει δίκην.*

4. *Ὁρικὸς οὖν ὁ λόγος τῇ στάσει τοῦ μὲν Μειδίου λέγοντος ὕβριν εἶναι τὸ πραχθέν, ἐπειδὴ τετύπτηκεν ἄνδρα ἐλεύθερον, τοῦ δὲ Δημοσθένους ἀσέβειαν, ἐπειδὴ χορηγὸς ὁ τετυπτημένος καὶ ἐν Διονυσίοις καὶ ἐν τῷ θεάτρῳ. διὰ γὰρ τούτων καὶ ἠσεβηκέναι τὸν Μειδίαν φησίν, ὡς εἶναι διπλοῦν ὅρον κατὰ σύλληψιν.* 5. *⟨κατὰ σύλληψιν δέ ἐστιν,⟩ ὅταν μὴ ἐκβάλλοντες τὸ ὑπὸ τῶν ἀντιδίκων εἰσαγόμενον ὄνομα καὶ ἕτερον*

3 Dem. Mid. § 1 p. 514, 8 4 Dem. Mid. § 72 p. 537, 29 10 Dem. Mid. § 6 p. 516, 7 12 Schol. Dem. Ol. 1 p. 34, 11 ed. Dind. cf. Meier-Schoemann-Lipsius Att. Proc. p. 215

1 *χορηγεῖν* scripsi e *F* *χορηγός ΥΠ* edd 3 *γὰρ* ante *καὶ F* | *ὑπὸ FΥΠ* *ἐπὶ* Ald Re corr Bekker | *ὑπ'* inserui coll Dem. l. l. auctore Spaldingio cum Blassio om libri edd 5 *ἐναντίον F* sed *ο* ex *ω* corr | *ἐπὶ τοῦτο F* *ἐπιτοῦτο Υ* 7 *διονύσιον F* 8 *κατέγνωκεν F* 10 *τῷ* inserui ex *Υ* (et *Malat*) om *FΠ* edd 11 *κρίναι Υ* 14 *τοῦ* ante *τιμήματος* edd delevi 16 *ἔτυψεν* Ald Re cf. p. 651, 18 et ad t. VII 669, 18 18 *τυφθεὶς* Ald Re 19 *τῷ* om *Π* 20 *κατασύλληψιν F* 21 *κατὰ σύλληψιν δέ ἐστιν* om libri inser Sauppe Dind 22 *ἀπὸ* (ὑ supra ἀ) *Π*

αὐτῷ προστιθῶμεν, ὥσπερ ἐνταῦθα ὁ Δημοσθένης τοῦ Μειδίου λέγοντος ὑβρικέναι οὐκ ἐκβάλλει μὲν οὐδὲ τὴν ὕβριν, προστίθησι δὲ αὐτῇ καὶ τὴν ἀσέβειαν.

κα'.

ὑπόθεσις τοῦ κατὰ Ἀριστοκράτους λόγου. R 618

1. *Χαρίδημον τὸν Ὠρείτην ἡγούμενον ξενικοῦ καὶ στρατηγοῦντα παρὰ Κερσοβλέπτῃ τῷ Θρᾴκης βασιλεῖ πολίτην σφῶν αὐτῶν οἱ Ἀθηναῖοι ἐποιήσαντο τὰ μὲν γεγονότα χρήσιμον αὐτοῖς, τὰ δὲ προσδοκῶντες ἔτι μᾶλλον γενήσεσθαι.* 2. *περὶ τούτου ψήφισμα ἔγραψεν Ἀριστοκράτης ἐν τῇ βουλῇ τοιοῦτον· ἐάν τις ἀποκτείνῃ*

6 Dem. Aristocr. § 148 p. 669, 3

1 *προστίθεμεν F* 3 *προστίθησιν F*
5 *ὑπόθεσις τοῦ*] *εἰς τὸν F* | *λόγου* om *FY* 6 *Χαρίδημον* — 638, 12 *ἄξιον* praemissis verbis *ἡ δὲ ὑπόθεσις τοῦ κατὰ Ἀριστοκράτους αὕτη* exscripsit Gregorius Corinth. schol. ad Hermog. de meth. IX 84 ed. Walz. Rhet. gr. VII 1197, 23 sq.; usurpavit Ioannes Dox. schol. in Hermog. id. I 4, 43 ed. Walz. Rhet. gr. VI 182, 7 *Οἱ Ἀθηναῖοι τοὺς εὐεργέτας ἔθος εἶχον ἀμείβεσθαι δωρεαῖς. ὁ Χαρίδημος τοίνυν οὗτος Ὠρείτης ὢν ἡγούμενος ξενικοῦ στρατοῦ καὶ στρατηγῶν Κερσοβλέπτῃ τὰ μὲν ἐθεράπευσεν Ἀθηναίους, τὰ δὲ προσδόκιμος ἦν ὡς θεραπεύσων. ὑπὲρ τούτου ἔγραψεν Ἀριστοκράτης εἷς ὢν τῶν πρώτων τῆς βουλῆς τὸ ψήφισμα τόδε· ἐάν τις ἀποκτείνῃ Χαρίδημον τὸν τοῦ Κερσοβλέπτου ὑποστράτηγον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῆς τῶν Ἀθηναίων συμμαχίδος· ἐὰν δὲ τὸν ἀγώγιμον ἀφέλῃ τις* (corr. *ἀφέληται*) *ἢ πολίτης ἢ ἰδιώτης, ἔκσπονδος ἔστω. κατηγορεῖ τούτου τοῦ ψηφίσματος διὰ πολλὰς αἰτίας Εὐθυκλῆς τῷ λόγῳ χρώμενος Δημοσθένους τῷ οὕτως ἐπιγραφομένῳ κατὰ Ἀριστοκράτους καὶ δείκνυσιν ὅτι ἀνάξιός ἐστιν ὁ Χαρίδημος τῆς τοιαύτης δωρεᾶς καὶ ὅτι κινδυνεύει τὴν Χερρόνησον ἡμετέραν οὖσαν ἀπολέσθαι διὰ τούτου πολλαῖς αἰτίαις καὶ ἀποδείξεσι.* | *Χαρίδημον* — 8 *ἐποιήσαντο*] *Ἀθηναῖοι Χαρίδημον τὸν Ὠρείτην πολίτην σφῶν αὐτῶν ἐποιήσαντο* Greg | *ὠρείτην F* sed *ὠ* et *ε* inser *ἀβδηρίτην* in marg *Π* 8 *οἱ* inserui e *FY* Greg om *UΠ* edd 9 *αὐτοῖς* libri Greg edd | *αὐτοῖς γενόμενον χρήσιμον* Greg | *προσδοκώμενον* Greg 10 *Ἀριστοκράτης ἔγραψε ψήφισμα, ἐάν* Greg

Χαρίδημον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῆς Ἀθηναίων συμμαχίδος· ἐὰν δέ τις τὸν ἀγώγιμον ἀφέληται ἢ πόλις ἢ ἰδιώτης, ἔκσπονδος ἔστω. 3. *τούτου κατηγορεῖ τοῦ ψηφίσματος Εὐθυκλῆς τῷ Δημοσθένους λόγῳ χρώμενος καί φησι πρῶτον μὲν παράνομον εἶναι τὸ ψήφισμα, ὅτι κρίσιν ἀναιρεῖ καὶ δικαστήρια καὶ τὴν τιμωρίαν ἀπὸ τῆς αἰτίας γεγραμμένην ἔχει, δεύτερον δὲ μὴ συμφέρειν τοῖς Ἀθηναίοις τοιαύτην Χαριδήμῳ δοῦναι δωρεάν. ἀπολοῦμεν γάρ, φησί, διὰ ταύτης Χερρόνησον. τὸ δὲ ὅπως ὁ λόγος δείξει.* 4. *ἐξετάζει δὲ καὶ τὴν τοῦ προσώπου ποιότητα λέγων οὐκ εἶναι δωρεῶν ἄξιον τὸν Χαρίδημον καὶ ταῦτα τοιούτων.*

κβ'.

R 587 *ὑπόθεσις τοῦ κατὰ Ἀνδροτίωνος λόγου.*

1. *Δύο ἦσαν ἐν Ἀθήναις βουλαί, ἡ μὲν διηνεκὴς ἡ ἐν Ἀρείῳ πάγῳ περί τε φόνων ἑκουσίων καὶ τραυμάτων καὶ τοιούτων τινῶν δικάζουσα, ἑτέρα δὲ ἡ τὰ πολιτικὰ πράττουσα. αὕτη δὲ κατ' ἐνιαυτὸν ἠμείβετο*

---

1 sq. Dem. Aristocr. § 11 p. 624, 11 sq.; § 16 p. 625, 25 2 sq. ib. § 91 p. 651, 6 sq. 5 ib. § 83 sq. 7 ib. § 102 sq. 10 ib. § 184 sq.

---

1 *ἐξ ἁπάσης ἔστω τῶν Ἀθηναίων ἀγώγιμος* Greg 2 *συμμαχίας* *U* | *ἀγώγιμον* scripsi e Greg Dox *ἀγόμενον* *FYUΠ* edd | *ἀφέληται τὸν ἀγώγιμον* Greg | *πολίτης* *FYUΠ* sed in hoc in *πόλις* corr m², Dox cf. altera hypoth. p. 620, 13 R | *εἴτε πόλις εἴτε ἰδιώτης* Greg 3 *ἔστω γῆς ἔκσπονδος* Greg 4 *τῷ*] *τοῦ* *FYUΠ* corr Ald 5 *φησι* om *F* | *χρησάμενος λέγων πρῶτα μὲν* Greg | *πεφυκέναι* Greg 6 *ὅτιπερ ἀναιρεῖ νόμους καὶ κρίσιν καὶ δικαστήριον* Greg | *καὶ* (2) — 7 *ἔχει* om Greg 9 *ἀπολεῖται* Greg | *φησί* om *F* | *ταῦτα Χερρόνησος* Greg 10 *δείξῃ* *U* | *καὶ* om *F* 12 *τὸν Χαρίδημον ἄξιον* Greg | *καὶ ταῦτα τοιούτων* om Greg 14 *ὑπόθεσις* om *F* | *τοῦ*] *εἰς τὸν* *F* *τῶν* *U* om *Π* | *λόγου* om *FYU* *παρανόμων* *Π* *παρανόμων λόγου* Ald 16 *πραγμάτων* *FYUΠ* Ald corr Wolfius 17 *δικάζεται* *U*

ἐκ πεντακοσίων ἀνδρῶν τῶν τὴν βουλευτικὴν ἡλικίαν ἀγόντων συνισταμένη. νόμος δὲ ἦν ἐπιτάττων τῇ βουλῇ ταύτῃ ποιεῖσθαι τριήρεις καινάς, ἐὰν δὲ μὴ ποιήσηται, κωλύων αὐτὴν αἰτεῖν παρὰ τοῦ δήμου δωρεάν. 2. *νῦν τοίνυν ἡ μὲν βουλὴ τὰς τριήρεις οὐκ ἐποιήσατο, Ἀνδροτίων δὲ γέγραφεν ἐν τῷ δήμῳ τὸ ψήφισμα στεφανῶσαι τὴν βουλήν. ἐπὶ τούτῳ παρανόμων κρίνεται κατηγορούντων αὐτοῦ δύο ἐχθρῶν, Εὐκτήμονος καὶ Διοδώρου. καὶ προείρηκε μὲν ὁ Εὐκτήμων, δεύτερος δὲ ὁ Διόδωρος ἐπαγωνίζεται τούτῳ τῷ λόγῳ.* 3. *φασὶ δὲ οἱ κατήγοροι πρῶτον μὲν ἀπροβούλευτον εἶναι τὸ ψήφισμα, νόμου γὰρ κελεύοντος μὴ πρότερον εἰς τὸν δῆμον ψήφισμα ἐκφέρειν, πρὶν ἐν τῇ βουλῇ δοκιμασθείη, τὸν Ἀνδροτίωνα παρὰ τοῦτον τὸν νόμον ἀπροβούλευτον εἰσενεγκεῖν τὴν γνώμην, δεύτερον δὲ ὑπεναντίον ἐκείνῳ τῷ νόμῳ τῷ κελεύοντι μὴ ποιησαμένην τὴν βουλὴν τὰς τριήρεις μὴ αἰτεῖν δωρεάν. εἰ γὰρ αἰτεῖν οὐκ ἔξεστι, δῆλον ὡς | οὐδὲ τὸ δοῦναι συγκεχώρηται.* 4. *τούτους μὲν εἰς* R 588 *τὸ πρᾶγμα τοὺς νόμους ⟨παρέχονται⟩, παρέχονται δὲ καὶ κατὰ τοῦ προσώπου δύο, τὸν τῆς ἑταιρήσεως καὶ τὸν τῶν ὀφειλόντων τῷ δημοσίῳ. καί φασι τὸν Ἀνδροτίωνα κατὰ ἀμφοτέρους ἄτιμον εἶναι· καὶ γὰρ πεπορνεῦσθαι καὶ χρέος πατρῷον ὀφείλειν τῇ πόλει.*

11 Dem. Androt. § 5 p. 594, 23 12 ib. p 595, 1 15 ib. § 8 p. 595, 19 sq. 20 Dem. Androt. § 21 p. 599, 24; § 33 p. 603, 17 sq.

2 *ἐνισταμένη* *U* 3 *κενάς* *F* 4 *κωλύειν* *FYU* Ald corr Wolfius 6 *ἔγραψεν* *U* | *τὸ* inserui ex *FYΠ* om *U* edd 9 *προείρηκεν εὐκτήμων* *U* 11 *εἶναι* — 14 *ἀπροβούλευτον* in marg inser *F*[3] 13 *δοκιμασθῇ* *U* 16 *ποιησαμένωι* *FUΠ* 17 *οὐκέξεστιν* *FYΠ* (et *Malat*) 19 *παρέχονται* inserui cum Markowskio om libri edd | *δὲ καὶ*] *ἄλλους δὲ* *Π* sed *ους* in ras 20 *τὸν*] *τῶν* *U* 21 *τὸν* om *FYU* 22 *πεπορνεῦσθαι* *F* sed *πε* inser

κγ'.

R 694 ὑπόθεσις τοῦ κατὰ Τιμοκράτους λόγου.

1. Διόδωρος μὲν κἀνταῦθα ὁ κατήγορος. κατηγορεῖ δὲ νόμου μάλα φιλανθρώπου, διόπερ ἀπὸ τῆς αἰτίας καὶ τῆς τοῦ γεγραφότος γνώμης διαβάλλειν αὐτὸν πειρᾶται. 2. ἔστι δὲ ὁ νόμος ὁ τοῦ Τιμοκράτους τοιοῦτος· εἴ τινι Ἀθηναίων ἐπ' ὀφλήματι δημοσίῳ προστετίμηται δεσμοῦ ἢ καὶ τὸ λοιπὸν προστιμηθείη, εἶναι αὐτῷ ἢ ἄλλῳ ὑπὲρ αὐτοῦ ἐγγυητὰς καταστήσαντι τοῦ ὀφλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἦ μὴν ἐντὸς ῥητῆς προθεσμίας ἐκτίσειν, ἀφεῖσθαι τοῦ δεσμοῦ· ἐὰν δὲ ἐπιστάντος τοῦ χρόνου μὴ ἐκτισθῇ τὸ ὄφλημα, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. 3. τοῦτον αἰτιᾶται τὸν νόμον ὁ κατήγορος οὐχ ὑπὲρ τοῦ κοινοῦ γεγράφθαι, ἀλλ'

---

3 cf. p. 639,9 sq. 6 sq. Dem. Timocr. § 39 p. 712, 17 sq.

---

2 ὑπόθεσις om *F* | τοῦ] εἰς τὸν *FY* | λόγου om *FY* 3 Διόδωρος — 641, 15 ἔθηκεν praemissis verbis τοῦτο ἐν τῷ κατὰ Τιμοκράτους λόγῳ κεῖται· ἡ δὲ ὑπόθεσις τοῦ λόγου τοιαύτη excerpsit Ioannes Dox. schol. Hermog. id. II 1, 23 ed. Walz. Rhet. gr. VI 367, 14 sq. | Διόδωρος — 14 οὐσίαν] ἐν τούτῳ τῷ λόγῳ ὁ Δημοσθένης ὡς ἀπὸ προσώπου τινὸς Διοδώρου ποιούμενος τὸν λόγον κατηγορεῖ Τιμοκράτους ὡς νόμον θέντος κελεύοντα τοὺς ὀφείλοντας τῷ δήμῳ, εἰ ἐγγυητὰς παράγοιεν ἐγγυωμένους αὐτοὺς ἐντὸς ῥητῆς προθεσμίας ἐκτῖσαι τὸ ὄφλημα, μὴ δεδέσθαι, ἀλλ' ἀφεῖσθαι τοῦ δεσμοῦ Dox | ἀνδροτίωνος post κατήγορος *Y* 4 δὲ om *FY* Ald inser Bekker 7 τινι *Π* sed ι(2) in ras m² τι *F* τις *v* 8 ἐξεῖναι edd corr Blass 10 ἦ μὴν *Π* sed ex εἰ μὲν corr m² 11 ἀφεῖσθαι *Π* sed εἶ corr ἀφίστασθαι *Y* 14 τοῦτον — 641,1 Μελανώπου] τοῦτον γάρ φησι τὸν νόμον ὁ Τιμοκράτης θεῖναι ὑπὲρ Ἀνδροτίωνος καὶ Γλαυκέτου καὶ Μελανώπου, οἳ ὦφλον τῷ δημοσίῳ χρήματα Dox

ὑπὲρ Ἀνδροτίωνος καὶ Γλαυκέτου καὶ Μελανώπου. οὗτοι γάρ, φησί, πεμφθέντες εἰς Καρίαν πρεσβευταὶ καὶ πλέοντες ἐν τριήρει περιπεσόντες Ναυκρατίταις ἀνθρώποις ἐμπόροις ἀφείλοντο αὐτῶν τὰ χρήματα. εἶθ' οἱ Ναυκρατῖται μὲν ἐλθόντες Ἀθήναζε τὸν δῆμον ἱκέτευον, ὁ δὲ δῆμος ἔγνω πολέμια εἶναι τὰ χρήματα καὶ μὴ δεῖν ἀποδοθῆναι τοῖς ἐμπόροις. 4. *τούτων δὲ οὕτω γενομένων Ἀρχέβιος καὶ Λυσιθείδης οἱ τριήραρχοι τῆς νεὼς ἐφ' ἧς ἔπλεον οἱ περὶ τὸν Ἀνδροτίωνα εἰσεπράττοντο τὰ χρήματα.* 5. *ὡς δὲ ἐκεῖνοι μὲν οὐκ ἐφάνησαν ἔχοντες αὐτά, οἱ πρεσβευταὶ δὲ | ὡμολόγουν ἔχειν* R 695 *αὐτὰ καὶ ἔδει παραχρῆμα καταβάλλειν ἢ τοῖς νόμοις ὑποπίπτειν τοῖς τῶν ὀφειλόντων τὰ δημόσια, διὰ τοῦτο, φησί, τοῦτον τὸν νόμον Τιμοκράτης βοηθοῦντα ἐκείνοις ἔθηκεν.* 6. *ὁ μέντοι Τιμοκράτης ἐκτετικέναι φησὶ τὰ χρήματα τοὺς περὶ Ἀνδροτίωνα καὶ δῆλον ἐντεῦθεν εἶναι ὡς οὐκ ἐκείνων ἕνεκα τὸν νόμον εἰσέφερεν αὐτός.* 7. *κατηγορεῖ δὲ ὁ Διόδωρος καὶ ἄλλο τοῦ νόμου. τήν τε γὰρ θέσιν αὐτοῦ μέμφεται ὡς γεγονυῖαν παρὰ τοὺς νόμους καὶ ὑπεναντίον εἶναι τοῖς ἀρχαίοις φησὶ καὶ ἀσύμφορον τοῖς κοινοῖς ἐπιδείκνυσιν.*

14 ib. § 196 15 ib. § 187 20 cf. p. 635, 11
21 Anaxim. rhet. 2 ed. Spengel-Hammer Rhet. gr. I p. 23, 22 sq.

1 *γλαυκίου FYΠ* 2 *φησί* om *Y* 3 *ἐν τῆι τριήρει F ἐπιπεσόντες* Dox 4 *εἶτα* Dox 5 *μὲν* om Dox 6 *Δημοσθένης* Dox | *πολεμίων* Dox 7 *ἀποδοῦναι ταῦτα τοῖς ἐμπόροις ἔλεγεν* Dox | *δ' Y* | *οὕτως FYΠ* 8 *γινομένων* Dox | *λυσιθίδης F* sed *ι* in *ει* corr m², *YΠ Λυσιάδης* Dox | *τριήραρχοι Π* sed *οι* corr *τριηράρχαι* (*οι* superscr.) *F* *τριηράρχαι Y* Dox 9 *οἱ δὲ περὶ* Dox | *εἰσεπράττοντο Π* sed *το* add m² 10 *δὲ*] *καὶ* Dox 12 *καὶ* om Dox | *πᾶν χρῆμα FYΠ* edd corr Blass | *καταβαλεῖν FΠ* sed in hoc *βαλεῖν* in *βάλλειν* corr m² 13 *διατοῦτο FY* 14 *φησὶν F* | *τιμοκράτης — 15 μέντοι* in marg inser *F* 15 *τέθεικεν* Dox 18 *αὐτοῖς FYΠ* Ald corr Wolf | *καὶ κατ' ἄλλο* Re Blass 21 *φησὶν Π*

κδ'.

R 767 *ὑπόθεσις τῶν κατὰ Ἀριστογείτονος λόγων.*

1. *Πυθάγγελος καὶ Σκάφων ἰδόντες Ἱεροκλέα φέροντα ἱερὰ ἱμάτια, ἐφ' οἷς καὶ χρυσᾶ γράμματα ἦν δηλοῦντα τοὺς ἀναθέντας, ἀπάγουσι πρὸς τοὺς πρυτάνεις ὡς ἱερόσυλον, οἱ δὲ τῇ ὑστεραίᾳ καθιστᾶσιν εἰς τὴν ἐκκλησίαν. κἀκεῖνος ὑπὸ τῆς ἱερείας ἔφη πεμφθεὶς λαβεῖν τὰ ἱμάτια, ἵνα κομίσῃ πρὸς τὸ ἱερὸν κυνηγέσιον.* 2. *ἐνταῦθα Ἀριστογείτων γράφει ψήφισμα πρῶτον μὲν ἀπροβούλευτον, ἔπειτα δεινότατον, κελεῦον, ἐὰν μὲν*

R 768 *ὁμολογῇ τὰ ἱμάτια ἐξενεγκεῖν, | ἀποθανεῖν αὐτὸν αὐτίκα· ἐὰν δὲ ἀρνῆται, κρίνεσθαι. ἐξ οὗ συνέβαινεν αὐτῷ ὁμολογήσαντι μὲν τὸ ἀληθὲς παραχρῆμα τεθνάναι, ἐξάρνῳ δὲ γενομένῳ μετ' ὀλίγον τοῦτο παθεῖν.* 3. *τοῦτο τὸ ψήφισμα γραψάμενος παρανόμων Φανόστρατος ὁ Ἱεροκλέους τοῦ κινδυνεύοντος πατὴρ συγκατηγορήσαντος αὐτῷ Δημοσθένους αἱρεῖ παρανόμων. καὶ τιμᾷ τὸ δικαστήριον Ἀριστογείτονι πέντε ταλάντων.* 4. *τοῦτο μὲν δὴ πρῶτον ὄφλημα Ἀριστογείτονι γίνεται. ἔπειτα Ἡγήμονα γραψάμενος καὶ τὸν ἀγῶνα ἀποδόμενος τὸ πέμπτον μέρος μὴ λαβὼν τῶν ψήφων*

18 Plat. leg. IX p. 880 C 21 cf. p. 646, 9. Dem. Aristog. II p. 803, 13; cor. p. 315, 17; Tim. p. 702, 7

2 *τοῦ* et *λόγου* edd | *λόγων* om *FY* 3 *Πυθάγγελος* — 645, 3 *ῥήτορος* praemissis verbis *τῶν δὲ κατὰ Ἀριστογείτονος λόγων ἡ ὑπόθεσις αὕτη* excerpsit Gregorius Cor. in Hermog. meth. 26, 86 ed. Walz. Rhet. gr. VII 1306, 15 sq. 6 *οἱ F* sed *ι* inser | *ὑστεραίαι F* sed *αι* inser 10 *κελεύων FΠ* 12 *ἐξοῦ F* 13 *τἀληθὲς* edd | *παρὰ χρῆμα F* 14 *μετολίγον FY* 15 *Φανόστρατος* om Greg 16 *ὁ* om *F* Re 17 *αὐτοῦ FΠ* Ald Re *τοῦ Y* corr Wolf | *αιρει F* 19 *τῷ Ἀριστογείτονι* Greg 20 *γίγνεται FΠ* | *ἔπειτ'* Greg | *ἡγεμόνα FY* Greg Ald *Ἡγέμονα Π* Re corr Dind 21 *τὸ* — *ψήφων* delendum censet Taylor | *μεταλαβὼν* Re at cf. p. 646, 9. Dem. Androt. p. 594, 1

ὦφλε χιλίας. οὐκ ἀποδόντος δὲ αὐτοῦ κατὰ τὴν ὡρισμένην προθεσμίαν διπλοῦται τὰ ὀφλήματα κατὰ τὸν νόμον καὶ γίνεται δέκα τάλαντα καὶ δισχίλιαι δραχμαί. 5. ὑπὲρ τούτων τῶν χρημάτων ἀπογράφει τι εἰς τὸ δημόσιον χωρίον ἑαυτοῦ, καὶ τὸ χωρίον τοῦτο Εὔνομος ὠνεῖται ὁ ἀδελφὸς αὐτοῦ τάξιν αἰτησάμενος τοῦ ὀφλήματος ὥστε ἐν δέκα ἔτεσιν ἐκτῖσαι τὸ σύμπαν καθ' ἕκαστον ἔτος τιθεὶς τὸ ἐπιβάλλον μέρος. δύο μὲν δὴ καταβολὰς ἀπήνεγκε, τάλαντα δύο καὶ δραχμὰς τετρακοσίας, τὸ δὲ λοιπὸν ὀφείλεται, τάλαντα ὀκτὼ καὶ δραχμαὶ χίλιαι καὶ ἑξακόσιαι. 6. δοκῶν οὖν ἔχειν ὁ Ἀριστογείτων τοῦ λέγειν ἐξουσίαν καὶ μηκέτι ὀφείλειν, ἐπειδὴ χρήστην ἀντέδωκε τῇ πόλει, καὶ ἐγράφετο πολλοὺς καὶ ἐδημηγόρει τῶν νόμων τὸν ὀφείλοντα τῷ δημοσίῳ, μέχρις ἂν ἐκτίσῃ, ποιούντων ἄτιμον. διόπερ αὐτὸν οἱ περὶ Λυκοῦργον ἐνέδειξαν ὡς οὐκ ἐξὸν λέγοντα. 7. οὐκ ἐξαληλιμμένου τοίνυν ἐξ ἀκροπόλεως Ἀριστογείτονος, ἀλλ' ἔτι τοῦ ὀφλήματος ἐγγεγραμμένου, χρήστου δὲ κατα|στάντος τοῦ τὸ χωρίον ὠνησα- R 769 μένου ζήτημα συνίσταται, πότερον ὁ πριάμενος τὸ χωρίον ὀφείλει μόνον ἢ καὶ ὁ πρῶτος ὀφλών, ἄχρις ἂν ἐκτισθῇ τὸ χρέος. 8. περὶ μὲν δὴ τὰ δύο ὀφλήματα τοῦτο συνίσταται τὸ ζήτημα, φασὶ δὲ αὐτὸν οἱ κατή-

2 cf. t. VI 296, 3 8 cf. t. VII 17, 17. Dem. cor. p. 312, 2 17 Dem. Aristog. I p. 771, 6; Theocr. p. 1327, 25; 1387, 24

1 ὦφλεν *F* Greg ὤφειλε *Π* 3 δισχίλιαι] δύο Greg 4 τί *Y* 8 ἐπιβαλλόμενον Greg 9 ἐπήνεγκε Greg 10 ὀφείλεται *Y* sed ο supra αι m² ὠφείλετο Greg 13 ἀντέδωκεν *F Π* 14 ποιούντων ἄτιμον ante τὸν ὀφείλοντα Greg | τὰ *F* 15 μέχρι *FYΠ* Blass 16 λέγοντα οὐκ ἐξαληλιμμένου· καὶ τοίνυν Greg 18 ἐγγεγραμμένος Greg 21 ὄφλει *Π* Greg | ὀφλων *F* ὄφλων *Y* Greg | ἄχρι *FYΠ* Blass cf. p. 648, 13 23 φασὶν *F*

γοροι καὶ τρίτον ὀφείλειν ὄφλημα τῷ δημοσίῳ. πρὸς τοῦτο Ἀριστογείτων ἀνθιστάμενός φησιν ἀδίκως ἐγγεγράφθαι καὶ διὰ τοῦτο δίκην λαχεῖν Ἀρίστωνι τῷ ἐγγράψαντι. 9. Δημοσθένης δὲ καὶ Λυκοῦργος περὶ μὲν τοῦ δικαίαν ἢ μὴ γεγενῆσθαι τὴν ἐγγραφὴν οὐδὲν λέγουσι, φασὶ δέ· ὅταν ἕλῃ τὸν Ἀρίστωνα, τότε Ἀριστογείτων μὲν ἐξαλειφθήσεται, ἐκεῖνος δὲ ἐγγραφήσεται κατὰ τὸν νόμον· πρὶν δὲ κριθῆναι τὸ πρᾶγμα οὐ προσήκει λέγειν τὸν τάχα δικαίως ἐγγεγραμμένον καὶ ψευδῶς ἐγκαλοῦντα τῷ Ἀρίστωνι. 10. ταῦτα μὲν δὴ τὰ ζητήματα τῆς ὑποθέσεως, ἐνηγώνισται δὲ αὐτοῖς ὁ Λυκοῦργος ἅτε πρότερος λέγων. τῷ Δημοσθένει δὲ περὶ μὲν τούτων βραχὺς πάνυ λόγος γέγονεν ὡς προειλημμένων, ὁ δὲ ὅλος αὐτῷ λόγος τοῦ Ἀριστογείτονος βίου κατηγορίαν περιέχει.

11. Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς οὐ δέχεται τούτους τοὺς λόγους Δημοσθένους εἶναι ἐκ τῆς ἰδέας τεκμαιρόμενος. οἱ δέ φασιν ἐπίτηδες τὸν ῥήτορα τοιούτῳ χαρακτῆρι κεχρῆσθαι ζηλώσαντα Λυκοῦργον εὐδοκιμοῦντα παρὰ τοῖς Ἀθηναίοις, οἱ δέ, ἐπειδὴ τὸν τῆς ἡλικίας χρόνον εἰς τὴν πρωτολογίαν ἔλαβε Λυκοῦργος καὶ πᾶσι τοῖς κεφαλαίοις αὐτὸς ἐχρήσατο, ὁ Δημοσθένης ἠναγκάσθη λοιπὸν φιλοσοφώτερον μετ-

6 sq. Dem. Aristog. I § 73 p. 792, 2 sq. 17 Dion. Hal. Dem. 57 p. 1126 24 ib. § 14

3 διατοῦτο Y | γράψαντι Π 5 ἐγγραφὴν Y sed ἐγ inser ἐγγραφόν (·η· supra) F | λέγουσιν FYΠ 6 φασὶν F 8 τοὺς νόμους Greg cf. Dem. Aristog. I p. 791, 10 17 ἁλικαρνασσεὺς Y cf. p. 607, 7 18 ἰδίας Y 19 ἐπίτηδες κεχρῆσθαι τοιούτῳ χαρακτῆρι τὸν ῥήτορα Λυκοῦργον παρὰ τοῖς Ἀθηναίοις εὐδοκιμοῦντα ζηλώσαντα Greg 21 κατὰ τὸν τῆς ἡλικίας χρόνον τὴν Iurinus Dind Blass 22 ἔλαβεν FYΠ 23 αὐτοῖς F

ελθεῖν καὶ περιοδικῶς. 12. ἄλλοι δὲ τὸν μὲν πρότε-
ρον δέχονται Δημοσθένους | εἶναι, τὸν δὲ δεύτερον R 770
οὐδαμῶς οὐδὲν ἄξιον ἔχοντα τοῦ ῥήτορος.

κε΄.

ὑπόθεσις τοῦ κατὰ Νεαίρας λόγου. R 1344

1. Καὶ τοῦτον τὸν λόγον οὐκ οἴονται Δημοσθένους εἶναι ὕπτιον ὄντα καὶ πολλαχῇ τῆς τοῦ ῥήτορος δυνάμεως ἐνδεέστερον. ὑπόθεσιν δὲ ἔχει τοιαύτην.

2. Νόμου κελεύοντος, ἐὰν ἀνδρὶ Ἀθηναίῳ ξένη συνοικῇ, πεπρᾶσθαι ταύτην κατὰ τοῦτον τὸν νόμον ἐπὶ Νέαιραν ἥκει Θεόμνηστος λέγων συνοικεῖν αὐτὴν Στεφάνῳ γεγονυῖαν μὲν δούλην Νικαρέτης, ἑταιρήσασαν δὲ πρότερον, νῦν δὲ Στεφάνῳ νόμῳ συνοικοῦσαν καὶ πεπαιδοποιημένην ἐξ αὐτοῦ. 3. ὁ δὲ Στέφανος οὐχ ὁμολογεῖ ταῦτα, ἀλλὰ συνεῖναι μὲν αὐτῇ φησιν, ὡς ἑταίρᾳ δὲ καὶ οὐ γυναικί, καὶ τοὺς παῖδας οὐκ ἐκ ταύτης ἔχειν. πρὸς ὅπερ ὁ κατήγορος ἀνθιστάμενος οὐκ ὀλίγα τεκμήρια παρέχεται ὡς γυναῖκα συνοικεῖν αὐτήν.

4. Γίνεται τοίνυν ἡ στάσις τοῦ λόγου στοχαστική· περὶ γὰρ οὐσίας τὸ ζήτημα καὶ οὔτε περὶ ἰδιότητος οὔτε περὶ ποιότητος. τὰ μὲν οὖν πρῶτα τοῦ λόγου Θεόμνηστος λέγει, ἔπειτα συνήγορον Ἀπολλόδωρον καλεῖ κηδεστὴν ὄντα ἑαυτοῦ, κἀκεῖνος τὸν ἀγῶνα ποιεῖται.

---

6 Caecil. Cal. fr. 147 ed. Ofenl. Dion. Hal. Dem. 57 p. 1127. cf. Bielski p. 77 9 sq. [Dem.] Neaer. § 16 p. 1350, 17 sq. 11 ib. p. 1350, 12 22 ib. § 123 sq.

---

3 οὐδὲ Greg
5 λόγου ante τοῦ Y om F 7 ῥήτορος F sed ρο inser m³ 10 πεπρᾶσθαι F sed ΄ delet., D 18 αὐτῇ Y 21 πρῶτον D 23 πεποίηται FDY Ald corr Bekker

κϛʹ.

R 1321 ὑπόθεσις τῆς κατὰ Θεοκρίνου ἐνδείξεως.

1. Τοῦτον τὸν λόγον οὐκ οἶδα ὅπως ἐν τοῖς ἰδιωτικοῖς ἀναγράφουσιν οἱ πολλοὶ δημόσιον ὄντα φανερῶς. δῆλον δὲ ἔσται τοῦτο ἐξ αὐτῆς τῆς ὑποθέσεως. 2. Κατὰ τῶν ἑτέρωσέ ποι καὶ μὴ Ἀθήναζε σεσιτηγηκότων ἐμπόρων ἢ ναυκλήρων Ἀθηναίων φάσεις ἦσαν δεδομέναι. νόμος δὲ ἦν, ἐάν τίς τινα φήνας μὴ ἐπεξίῃ ἢ ἐπεξιὼν μὴ λάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἐκτίνειν τῷ δημοσίῳ, τοῖς δὲ ὀφείλουσι μὴ ἐξεῖναι λέγειν, ⟨καὶ δεύτερος . . . .⟩, καὶ τρίτος, ἐὰν μή τις δόξῃ δικαίως εἰς ἐλευθερίαν ἀφελέσθαι τινά, τὸ ἥμισυ τοῦ τιμήματος ὀφείλειν τῷ δημοσίῳ. 3. Ἐπιχάρης οὖν ἐνέδειξε Θεοκρίνην οὐκ ἐξὸν αὐτῷ λέγειν ἐκ τριῶν τούτων τῶν νόμων. καὶ γὰρ Μίκωνα ὡς ἑτέρωσέ ποι σεσιτηγηκότα φῆναι μὲν αὐτὸν λέγει, μὴ ἐπεξελθεῖν δέ, καὶ ἐπιμελητὴν ὑπὸ τῶν φυλετῶν ἀποδειχθέντα ἐν εὐθύναις ἁλῶναι κλοπῆς χρημάτων, ἃ ἦν ἱερὰ τῶν ἐπωνύμων, καὶ τρίτον Κηφισοδώρου θεράπαιναν εἰς

3 Caecil. Cal. fr. 146 8 [Dem.] Theocr. § 6 p. 1323, 19 11 ib. § 14 sq. 16 ib. § 6 p. 1323, 24 sq. 18 ib. § 14 sq. 20 sq. ib. § 19 sq.

1 κϛʹ om *DS*ʳ 2 *ὑπόθεσις τοῦ κατὰ θεοκρίνου ἔνδειξις D κατὰ θεοκρίνου ἔνδειξις F* | *τῆς — ἐνδείξεως* om *S*ʳ | *Θεοκρίνους* ex *A* scribendum coni Blassius 4 *δημόσιον F* sed *ον* inser m² 6 *εἰσηγηκότων F* sed *σεσιτηγηκότων* suprascr m², *DS*ʳ corr Ald 11 *καὶ δεύτερος τὸν ἁλόντα κλοπῆς ἱερῶν χρημάτων ἄτιμον εἶναι* inserendum coni Wolfius 14 *ἐπίχαρις S*ʳ | *ἔδειξεν F ἔδειξε S*ʳ corr Wolfius et Iurinus 15 *θεοκρίν* (η suprascr.) *S*ʳ 16 *τῶν* inserui e *D* om *FS*ʳ edd | *νίκωνα FS*ʳ Ald *μήκωνα* (ι suprascr.) *D Μικίωνα* Re corr Dindorf | *ἑτερωθί D* | *σεσιγηκότα F* sed *τη* inser m², *DS*ʳ corr Ald

ἐλευθερίαν ἀδίκως ἀφελόμενον τὸν πατέρα τοῦ Θεοκρίνου προσοφλῆσαι δραχμὰς πεντακοσίας.

4. *Ἐπὶ τούτοις μὲν ἡ ἔνδειξις καὶ τὸ πρᾶγμα φανερῶς δημόσιον, τὸν δὲ λόγον οἱ πολλοὶ νομίζουσιν εἶναι Δεινάρχου καίτοι γε οὐκ ἀπεοικότα τῶν τοῦ Δημοσθένους.*

κζ'.

ὑπόθεσις τῆς πρὸς Εὐβουλίδην ἐφέσεως. R 1298

1. *Γράφεται νόμος παρ' Ἀθηναίοις γενέσθαι ζήτησιν πάντων τῶν ἐγγεγραμμένων τοῖς ληξιαρχικοῖς γραμματείοις εἴτε γνήσιοι πολῖταί εἰσιν εἴτε μή, τοὺς δὲ μὴ γεγονότας ἐξ ἀστοῦ καὶ ἐξ ἀστῆς ἐξαλείφεσθαι, διαψηφίζεσθαι δὲ περὶ πάντων τοὺς δημότας, καὶ τοὺς μὲν ἀποψηφισθέντας καὶ ἐμμείναντας τῇ ψήφῳ τῶν δημοτῶν ἐξαληλίφθαι καὶ εἶναι μετοίκους, τοῖς δὲ βουλομένοις ἔφεσιν εἰς δικαστὰς δεδόσθαι, κἂν μὲν ἁλῶσι καὶ παρὰ τῷ δικαστηρίῳ, πεπρᾶσθαι, ἐὰν δὲ ἀποφύγωσιν, εἶναι πολίτας.* 2. *κατὰ τοῦτον τὸν νόμον τοῦ Ἁλιμουσίων δήμου διαψηφιζομένου ἀποψηφίζεται Εὐξίθεός τις, φάσκων δὲ ἑαυτὸν ὑπὸ Εὐβουλίδου ἐχθροῦ ὄντος κατεστασιάσθαι ἐφῆκεν εἰς τὸ δικαστήριον καὶ ἐπιδείκνυσιν ἑαυτὸν ἐξ ἀστοῦ καὶ ἐξ ἀστῆς· εἰ δὲ ἐτίτθευσεν ἡ μήτηρ μου, δι' ἀπορίαν τοῦτο ἐποίησεν.*

4 Caecil. Cal. fr. 146. cf. Bielski p. 77 21 Dem. Eubul. p. 1301, 18; 1304, 3 22 ib. § 20 sq. 23 ib. § 35. 42

1 *ἐλευθέραν* *DS*ʳ | *τὸν θεοκρίνου* *D* *τὸν θεοκρί* (ν superscr.) *S*ʳ 7 *κζ'* om *DS*ʳ 8 *ἔφεσις πρὸς εὐβουλίδην. ἡ ὑπόθεσις* *D* *ἔφεσις πρὸς εὐβουλίδην* *F* | *τῆς — ἐφέσεως* om *S*ʳ 11 *γραμμά* (τ' οις superscr.) *S*ʳ 13 *διαψηφίσασθαι* *S*ʳ 14 *τῶ* *S*ʳ 16 *τοὺς* ante *δικαστὰς* inser Blassius 17 *ἁλῶσιν* *F* | *πεπράσθαι* *F* 19 *ἀλιμουσίων* *S*ʳ 20 *εὔξιός* *FDS*ʳ Ald corr Re 22 *ἐπιδεικνύει* *FDS*ʳ corr Blassius 23 *ἐτίθευσεν* *F* | *μήτηρ, οὐ* *S*ʳ

ὁ δὲ πατὴρ ἐξένιζε τῇ γλώττῃ αἰχμάλωτος γενόμενος καὶ πραθείς. δεῖ δὲ μὴ τὰ ἀτυχήματα προφέρειν, ἀλλὰ τὰ γένη ζητεῖν.

κη'.

R 811 ὑπόθεσις τοῦ α' κατὰ Ἀφόβου ἐπιτροπῆς λόγου.

1. Δημοσθένης ὁ Παιανιεύς, Δημοσθένους τοῦ ῥήτορος πατήρ, τελευτῶν ἐπὶ δύο παισί, τῷ τε Δημοσθένει καὶ θυγατρί, ἐπιτρόπους καθίστησι καὶ τῶν παίδων καὶ τῶν χρημάτων τρεῖς, δύο μὲν συγγενεῖς, Ἄφοβόν τε καὶ Δημοφῶντα, ἕνα δὲ φίλον ἐκ παίδων, Θηριππίδην. 2. καὶ Θηριππίδῃ μὲν δίδωσιν ἑβδομήκοντα καρποῦσθαι μνᾶς, ἄχρις ἂν Δημοσθένης εἰς ἄνδρας ἐγγραφῇ, Δημοφῶντι δὲ ἐγγυᾷ τὴν θυγατέρα
R 812 προστάξας | αὐτὸν προῖκα δύο τάλαντα λαβεῖν, Ἀφόβῳ δὲ τὴν ἑαυτοῦ μὲν γυναῖκα, τῶν δὲ παίδων μητέρα Κλεοβούλην τὴν Γύλωνος ἀξιοῖ γήμασθαι μνᾶς ἐπιδοὺς ὀγδοήκοντα καὶ χρῆσθαι κελεύει τῇ τε οἰκίᾳ καὶ τοῖς ἐν αὐτῇ σκεύεσι μέχρι τῆς Δημοσθένους εἰς ἄνδρας ἐγγραφῆς. 3. οὗτοι τὰ μὲν δοθέντα χρήματα αὐτοῖς εὐθὺς λαμβάνουσι, γαμεῖ δὲ οὔτε Ἄφοβος τὴν γυναῖκα τοῦ τελευτήσαντος οὔτε Δημοφῶν τὴν θυγατέρα. διαχειρίσαντες δὲ τὴν οὐσίαν τεττάρων καὶ δέκα ταλάντων, ὡς ὁ ῥήτωρ ἐπιδείκνυσιν, ὀφείλοντες τριάκοντα τάλαντα ἐκτῖσαι .... ἐπικαρπίας καὶ ἀποδοῦναι

1 ib. § 18 p. 1304, 6 2 ib. § 36 11 Dem. Aph. I § 4 p. 814, 17

1 ἐξένιζεν *F* ἐξένισε Re
5 α' et 6 λόγου om *F* edd 8 παισὶν *F* 9 καθίστησιν *F*
13 ἄχριὰν *F* 18 καὶ χρῆσθαι] κεχρῆσθαι δὲ *F* 20 αὐτοῖς *F* edd 23 οὐσίαν, οὖσαν τεττάρων Blass sed „aut del. τὴν" comm. crit. XCIV cf. Dem. Aph. I p. 814, 8 25 ἐκτῖσαι *F*

μικρὰ παντελῶς παρέδωκαν εἰς ἄνδρας ἐγγραφέντι τῷ Δημοσθένει. διὸ πρὸς τὸν Ἄφοβον εἰσελήλυθεν ἐπιτροπῆς δέκα ταλάντων τὴν δίκην λαχών, ἐπειδὴ τρίτος ὢν ἐπίτροπος τὸ τρίτον ὀφείλει τῶν χρημάτων, ἃ καὶ συντίθησιν ὁ ῥήτωρ ἔκ τε τῶν ἀρχαίων καὶ τῆς ἐπικαρπίας.

⟨*κθ'.*

ὑπόθεσις τοῦ β' κατὰ Ἀφόβου ἐπιτροπῆς λόγου⟩.

Πρός τινας ἀντιρρήσεις εἰσαγομένας ὑπὸ τοῦ Ἀφόβου οὗτος ὁ λόγος ἐπηγώνισται, ἔχει δὲ καὶ τῶν προειρημένων ἐπανάμνησιν.

λ'.

ὑπόθεσις τοῦ πρὸς Ἄφοβον ψευδομαρτυριῶν R 843
ὑπὲρ Φάνου λόγου.

1. *Κρινόμενος τῆς ἐπιτροπῆς Ἄφοβος ἐξήτει παρὰ Δημοσθένους Μιλύαν εἰς βάσανον εἰδὼς οὐ δοθησόμενον. οὐ γὰρ ἐδίδου Δημοσθένης φάσκων οὐκ οἰκέτην, ἀλλ' ἐλεύθερον εἶναι τὸν Μιλύαν ἐλευθερωθέντα ὑπὸ τοῦ πατρός, ὅτε ἐτελεύτα, καὶ εἰς τούτου πίστιν ἄλλα τε παρεχόμενος καὶ δὴ καὶ μαρτυρίαν Φάνου, ὃς ἐμαρτύρησε πρὸς τοὺς δικαστὰς φάσκων ὡμολογηκέναι*

sed ˜ delet. | signa lacunae posui *ἀρχαῖα καὶ* inserendum videtur *ἐκ τῆς τ' ἐπικαρπίας καὶ τῶν ἀρχαίων ἀποδοῦναι* coni Blass
1 *ἀπέδωκαν*?
7 *κθ'* — 8 *λόγου* inserui exceptis verbis *κατὰ ἀφόβου* nullo intervallo voci *ἐπικαρπίας* succedentibus in *F*, ad quae Bekker adnotavit: „*malim addito β incipere hinc argumentum secundae adversus Aphobum orationis*“ 9 *πρός* — *Ἀφόβου* in marg add *F*² | *ἀγομένας F* Ald Re corr Schaefer cf. p. 656, 18 *λεγομένας* coni Bekker
12 *κθ' F* 13 *ὑπόθεσις τοῦ* et 14 *λόγου* om *F* 14 *ὑπὲρ Φάνου ψευδομαρτυριῶν* Blass | *στεφάνου F* cf. Dem. adv. Aph. § 23 p. 851, 21 19 *τούτουσ F* sed *σ* delet. 20 *στεφάνου F* sed *στε* delet. | *ὡς F* Ald corr Wolfius 21 *ἐμαρτύρησεν F*

Ἄφοβον ἐπὶ τοῦ διαιτητοῦ ἐλεύθερον εἶναι Μιλύαν. 2. ἁλοὺς δὴ τῆς ἐπιτροπῆς Ἄφοβος ψευδομαρτυριῶν Φάνῳ δικάζεται, ὑπὲρ οὗ τοῦτον τὸν λόγον ὁ Δημοσθένης λέγει καὶ τἀληθῆ φάσκων αὐτὸν μεμαρτυρηκέ-
R 844 ναι καὶ | πρὸς τούτῳ δεικνὺς ὡς οὐδὲν ἐκ ταύτης τῆς μαρτυρίας Ἄφοβος ἐβλάβη, ἀλλὰ δι' ἑτέρους ἥλω μάρτυρας, οἷς οὐκ ἐπισκηψάμενος δῆλός ἐστιν ἠδικηκώς.

λα΄.

R 863 ὑπόθεσις τοῦ α΄ πρὸς Ὀνήτορα ἐξούλης λόγου.

1. Ἄφοβος μέλλοντος αὐτῷ Δημοσθένους τὰς τῆς ἐπιτροπῆς δίκας λαγχάνειν ἔγημεν Ὀνήτορος ἀδελφὴν ἐκδοθεῖσαν αὐτῷ ὑπὸ Τιμοκράτους τοῦ προτέρου ἀνδρός, ἐπειδὴ ἐκεῖνος ἐπίκληρον λαμβάνειν ἔμελλε. 2. μετὰ δὲ ταῦτα Ὀνήτωρ ἤδη φεύγοντος Ἀφόβου τὴν τῆς ἐπιτροπῆς δίκην, ὡς ὁ ῥήτωρ ἀποδείκνυσι, πλασάμενος ἀπόλειψιν τὴν ἀδελφὴν παρ' ἑαυτὸν ἀπήγαγεν. ἐπεὶ δὲ Ἄφοβος ἑάλω, ἐπὶ τὴν οὐσίαν αὐτοῦ τὸν ῥήτορα ἀφικνούμενον καὶ εἰς τὰ χωρία εἰσιόντα ἐξήλασεν Ὀνήτωρ φάσκων τῆς ἀδελφῆς εἶναι τὰ χωρία εἰς τὴν προῖκα ἀποτιμηθέντα. 3. διόπερ ἐξούλης αὐτῷ δικάζεται ὁ Δημοσθένης ὡς ἐκ τῶν Ἀφόβου πρότερον, νῦν δὲ ἑαυτῷ γεγενημένων ἐξεληλαμένος φάσκων οὐκ εἰληφέναι τὴν προῖκα Ἄφοβον, ἀλλὰ τὴν γυναῖκα μόνον. τὴν γὰρ προῖκα μὴ βουληθῆναι Ὀνήτορα δοῦναι, διότι κινδυνεύοντα τὸν Ἄφοβον ἑώρα καὶ τὴν οὐσίαν αὐτοῦ. νῦν οὖν, φησί, πλαστὴ μὲν ἡ ἀπόλειψις, ὑπὲρ δὲ ὧν

7 Dem. adv. Aph. p. 854, 15 26 Dem. Onet. I p. 872, 16

3 ὑπεροῦ F 7 ἐπισκεψάμενοσ F
8 λα΄ om D λ̄ F 9 ὑπόθεσις τοῦ α΄ et λόγου om FD
12 παρὰ Blass coll Dem. or. § 11 p. 867, 7 | πρότερον coni Blass
13 ἔμελλεν D ἤμελλεν F 15 ἀποδείκνυσιν D 16 ἀπολείψειν F Ald corr Wolf | ἑαυτῶι FD Ald corr Morel 26 φησὶν F

οὐκ εἴληφεν Ἄφοβος τὸ χωρίον ἀποτετίμηται ἐπ' ἀποστερήσει τῶν ἐμῶν. 4. τὸ δὲ τῆς ἐξούλης ὄνομα Ἀττικόν· ἐξίλλειν γὰρ ἔλεγον τὸ ἐξωθεῖν καὶ ἐκβάλλειν βίᾳ.

λβ'.

ὑπόθεσις τοῦ β' πρὸς Ὀνήτορα ἐξούλης λόγου. R 875

1. Παραλελειμμένα τινὰ ἐν τῷ προτέρῳ λόγῳ διὰ τούτου προστίθησιν, ὡς καὶ αὐτὸς ἐπισημαίνεται, καὶ δὴ καὶ πρός τινας ἀντιρρήσεις ἵσταται.

2. Περὶ δὲ τῶν λόγων τούτων προειρήκαμεν ὅτι πολλοί φασιν αὐτοὺς ὑπὸ Ἰσαίου συντεθῆναι τοῦ ῥήτορος ἀπιστοῦντες εἶναι διὰ τὴν ἡλικίαν, οἱ δέ γε, εἰ μὴ τοῦτο, διωρθῶσθαί γε ὑπὸ τοῦ Ἰσαίου. ἐοίκασι γὰρ τοῖς ἐκείνου λόγοις. θαυμαστὸν δὲ οὐδὲν εἰ τὸν διδάσκαλον ἐμιμήσατο καὶ μηδέπω πρὸς τὸ τέλειον ἥκων τὸν ἐκείνου χαρακτῆρα μετῄει τέως.

λγ'.

ὑπόθεσις τοῦ κατὰ Κόνωνος αἰκίας λόγου. R 1255

Ἀρίστων ὁ Ἀθηναῖος δικάζεται Κόνωνι αἰκίας λέγων ὑπ' αὐτοῦ καὶ τοῦ παιδὸς αὐτοῦ τετυπτῆσθαι καὶ μάρτυρας τούτου παρεχόμενος. ὁ δὲ Κόνων ἀρνεῖ-

---

2 Harpocr. s. v. ἐξούλης
9 sq. cf. p. 603, 1 sq.

---

2 τὸ — 3 βίᾳ in margine λιβάνιος adscripto citavit exc. cod. Darmstad. 2773 fol. 369ᵛ | δὲ τῆς om Darmst. 3 ἐξέλλειν *FD* edd ἐξίλλειν (ει supra ι) Darmst. ἐξείλλειν Blass
4 λβ' om *FD* 5 ὑπόθεσις τοῦ om *F* | β' et λόγου om *FD*
12 διορθῶσθαί *F* 14 ἐτιμήσατο *F* 15 ἐπὶ ante τὸν *F D* edd cancellavit Blass
16 λγ' om *FDSʳ* 17 ὑπόθεσις τοῦ et λόγου om *FD* | τοῦ — λόγου om *Sʳ* 18 Ἀρίστων — 652, 3 ψεύδεσθαι praemissis verbis ἔστι δὲ ἡ ὑπόθεσις αὕτη exscripsit Gregorius Cor. in Hermog. meth. 38, 27 ed. Walz. Rhet. gr. VII 1381, 24 | ὁ inserui e Greg om *FDSʳ* edd 19 τετυπῆσθαι *Sʳ* 20 τούτῳ Greg

R 1256 ται | τὸ πρᾶγμα καὶ μάρτυρας ἀντιπαρέχεται. οὓς ὁ Δημοσθένης οὔ φησι πιστοὺς εἶναι· βεβιωκέναι γὰρ φαύλως καὶ εὐχερῶς ἔχειν πρὸς τὸ ψεύδεσθαι.

λδ΄.

R 993 ὑπόθεσις τοῦ πρὸς Βοιωτὸν περὶ τοῦ ὀνόματος λόγου.

1. Μαντίας εἷς τῶν πολιτευσαμένων Ἀθήνησι γήμας γυναῖκα κατὰ τοὺς νόμους ἐκ ταύτης παῖδα ἐκτήσατο τὸν νυνὶ δικαζόμενον. προσήει δέ τινι Πλαγγόνι κατ᾽ ἐρωτικὴν ἐπιθυμίαν, Ἀττικῇ γυναικί. 2. ταύτης δύο υἱεῖς ἀνδρωθέντες ἐδικάζοντο τῷ Μαντίᾳ ἑαυτῶν
R 994 εἶναι πατέρα φάσκοντες. ὁ δὲ ἀντέλεγεν. | ἔπειτα ἀναλαμβάνει τοὺς παῖδας ἀναγκασθεὶς ἀπὸ ἰδίας προκλήσεως ἣν ἀπατηθεὶς ἐποιήσατο. 3. προὐκαλέσατο μὲν γὰρ τὴν Πλαγγόνα ὀμόσαι περὶ τῶν παίδων εἰ ὄντως εἰσὶν ἐξ αὐτοῦ, ὑποσχόμενος, εἰ ὀμόσειεν, ἐμμενεῖν τῷ ὅρκῳ· προὐκαλέσατο δὲ ἀπατηθεὶς ὡς οὐ δεξομένης τὸν ὅρκον τῆς γυναικός. ὑπὲρ τούτου γὰρ καὶ μισθὸν αὐτῇ συχνὸν ἐπηγγείλατο. 4. ὡς δέ φησιν ὁ τὸν λόγον λέγων, καὶ ὀμωμόκει ἡ Πλαγγὼν αὐτῷ λάθρα προτεινόμενον τὸν ὅρκον μὴ δέξεσθαι. προκαλεσαμένου τοίνυν παραβᾶσα τὰς συνθήκας δέχεται τὸν ὅρκον. καὶ οὕτω μὲν ἀναγκάζεται τοὺς παῖδας ἀναλαβεῖν, μετὰ

---

22 Dem. Boeot. dot. § 11 p. 1011, 5 sq.

---

2 *φησὶν* *F* | *εἶναι* inserui e Greg om FDS^r edd
4 *λδ΄* om FDS^r 5 *ὑπόθεσις τοῦ* om *F* | *τοῦ — λόγου* om S^r 6 *λόγου* om *F* 7 *ἀθήνησι* FDS^r 8 *παῖδασ* *F*
9 *πλαγγονι* *F* *πλάγγωνι* DS^r corr Ald (constanter) 10 „*malim ἀστικῇ*" Bekker 13 *ὑπὸ* Schaefer 15 *πλάγγωνα* DS^r
16 *αὐτῆς* FS^r Ald corr Wolf | *ἐμμένειν* FDS^r corr Blass cf. t. I 99, 19 20 *ὀμωμόκει* S^r | *ἡ* delendum censet Blass | *πλάγγων* FDS^r 21 *δέξασθαι* FDS^r Ald corr Schaefer 23 *οὕτως* FS^r *οὗτος* *D* | *μετὰ δὲ τοῦτο* Ald corr Dind

τοῦτο δὲ τετελεύτηκεν. 5. ὁ τοίνυν ἐκ τῆς νόμῳ γαμηθείσης γυναικὸς παῖς δικάζεται τῷ ἑτέρῳ τῶν εἰσποιηθέντων περὶ τοῦ ὀνόματος λέγων αὐτὸν Βοιωτὸν καλεῖσθαι προσήκειν, ὅπερ ἐξ ἀρχῆς ὠνομάζετο, καὶ μὴ Μαντίθεον. τοῦτο γὰρ αὐτῷ παρὰ τοῦ πατρὸς ἐξ ἀρχῆς τεθεῖσθαι τοὔνομα. 6. αὐτόθεν μὲν οὖν δόξειεν ἄν τις φιλοπράγμων καὶ φιλόνεικος ὑπὲρ προσηγοριῶν διαφερόμενος, ὁ μέντοι λόγος ἱκανὰς ἀποδείξεις παρέχεται τοῦ καὶ δημοσίᾳ καὶ ἰδίᾳ βλαβερὰν εἶναι τὴν ὁμωνυμίαν.

λε΄.

ὑπόθεσις τοῦ πρὸς Βοιωτὸν ὑπὲρ προικὸς R 1007
μητρῴας λόγου.

1. Καὶ οὗτος παρὰ τοῦ αὐτοῦ καὶ πρὸς τὸν αὐτὸν ὁ λόγος εἴρηται. καὶ τὰ μὲν ἄλλα πάντα ταὐτά, ἡ Πλαγγών, ὁ ὅρκος, ἡ τῶν παίδων ἀναγκαία ποίησις. 2. ἀποθανόντος δὲ τοῦ Μαντίου οἱ παῖδες ὄντες τρεῖς, Μαντίθεος ὁ ἐκ τῆς νόμῳ γαμηθείσης καὶ Βοιωτὸς καὶ Πάμφιλος οἱ ἐκ τῆς Πλαγγόνος, ἐνέμοντο τὴν οὐσίαν. φάσκοντος δὲ τοῦ Μαντιθέου προῖκα ἑαυτῷ μητρῴαν ὀφείλεσθαι Βοιωτὸς καὶ Πάμφιλος καὶ αὐτοὶ προικὸς ἠμφισβήτουν ὡς καὶ τῆς Πλαγγόνος εἰσενεγκαμένης εἰς τὸν οἶκον τοῦ Μαντίου μνᾶς ἑκατόν. 3. συνέδοξεν οὖν αὐτοῖς νείμασθαι πάντα ἐπ' ἴσης πλὴν τῆς οἰκίας, ἵν' ὁποτέρων ἂν ἡ μήτηρ φανῇ προῖκα εἰσενεγκαμένη, τούτοις ἀπὸ τῆς οἰκίας ἀποδοθῇ τὸ ἀργύριον,

---

4 et 5 ἐξαρχῆς F 5 αὐτῶ FS^r
11 λε΄ om FDS^r 12 ὑπόθεσις τοῦ om F | τοῦ — λόγου om S^r 13 μητρῴας om FD inser Ald | λόγου om F 14 περὶ FDS^r Ald corr Wolf cf. p. 652, 19 15 ταῦτα FDS^r Ald corr Re 16 πλάγγων FDS^r 18 καὶ om S^r Ald 19 οἱ] ὁ FDS^r Ald corr Re | πλάγγονος F πλάγγωνος DS^r 20 μητρώαν S^r 22 πλάγγονος F πλάγγωνος DS^r 24 ἐπίσης S^r

R 1008 *καὶ πλὴν τῶν | ἀνδραπόδων, ὅπως οἱ περὶ τὸν Βοιωτόν, ἐὰν ἐπιζητῶσί τι τῶν ἔνδον, ἔχωσιν ἔλεγχον.* 4. *μετὰ δὲ ταῦτα ἀντενεκάλεσαν ἀλλήλοις, ὁ μὲν Μαντίθεος ὑπὲρ τῆς μητρῴας οὐσίας, ἐκεῖνοι δὲ ὑπὲρ ἄλλων τινῶν. καὶ ὁ διαιτητὴς Μαντιθέου μὲν ἀπεδιαίτησε, Βοιωτοῦ δὲ κατεδιαίτησεν ἐρήμην. λαγχάνει δὴ Μαντίθεος καὶ εἰς τὸ δικαστήριον αὐτῷ τὴν αὐτὴν δίκην ἀπαιτῶν τὴν προῖκα.*

λϛʹ.

R 943 *ὑπόθεσις τῆς ὑπὲρ Φορμίωνος παραγραφῆς.*

1. *Πασίων ὁ τραπεζίτης τελευτῶν ἐπὶ δύο παισὶν ἐξ Ἀρχίππης, Ἀπολλοδώρῳ καὶ Πασικλεῖ, Φορμίωνα οἰκέτην ἑαυτοῦ γενόμενον, τετυχηκότα δὲ ἔτι πρότερον ἐλευθερίας, ἐπίτροπον τοῦ νεωτέρου τῶν παίδων Πασικλέους κατέλιπε καὶ τὴν μητέρα αὐτῶν παλλακὴν ἑαυτοῦ γενομένην ἔδωκεν ἐπὶ προικὶ γυναῖκα.* 2. *Ἀπολλόδωρος οὖν νέμεται πρὸς τὸν ἀδελφὸν τὴν πατρῴαν οὐσίαν πλὴν τῆς τραπέζης καὶ τοῦ ἀσπιδοπηγείου· ταῦτα γὰρ Φορμίων ἐμεμίσθωτο παρὰ Πασίωνος εἰς ὡρισμένον χρόνον τινά.* 3. *καὶ τέως μὲν ἐλάμβανε τὸ ἥμισυ τῆς μισθώσεως ἑκάτερος, ὕστερον δὲ καὶ ταῦτα νέμονται καὶ γίνεται τὸ μὲν ἀσπιδοπηγεῖον Ἀπολλοδώρου, Πασικλέους δὲ ἡ τράπεζα. ἀποθανούσης δὲ καὶ τῆς*

---

5 sq. Dem. Boeot. dot. § 17 p. 1013, 14 et 21 7 [Dem.] Neaer. p. 1378, 10

10 Dem. Phorm. § 2 p. 944, 8 18 ib. § 4 p. 945, 15

2 *ἐπιζητῶσι τί* *F* 3 *δὲ* om *FDS*ʳ Ald inser Re 4 *μητρώας* *S*ʳ 5 *ἀπεδιαίτησεν* *F* 6 *κατεδιήιτησεν* *D* | *δὴ*] *δὲ* *F* Ald corr Dind

9 *λϛʹ* om *D* *λε* *F* 10 *παραγραφὴ ὑπὲρ φορμίωνος* *F* *ὑπόθεσις τοῦ παραγραφικοῦ ὑπὲρ Φορμίωνος λόγου* Re 15 *κατέλιπεν* *F* | *καὶ* om *D* 18 *ἀσπιδοπηγίου* *FD* corr Ald cf. t. VII 88, 5 21 *ταῦτα* scripsi ut coni Wolf *αὐτὰ* *FD* edd 22 *γίγνεται* edd *ἀσπιδοπήγιον* *FD* 23 *δὲ*(2)] *γὰρ* *FD* Ald Re Bekker corr Wolf

μητρὸς ὕστερον νειμάμενος καὶ τὴν ἐκείνης οὐσίαν ἐνεκάλει τῷ Φορμίωνι ὡς πολλὰ ἔχοντι ἑαυτοῦ χρήματα. 4. καθίσαντες οὖν αὐτοὺς διαιτητάς, ὥς φησι Φορμίων, Ἀπολλοδώρῳ προσήκοντες, Νικίας καὶ Δεινίας ⟨καὶ Λυσῖνος⟩ καὶ Ἀνδρομένης ἔπεισαν Ἀπολλόδωρον διαλύσασθαι πρὸς Φορμίωνα τὰ ἐγκλήματα λαβόντα πεντακισχιλίας. 5. ὁ μὲν οὖν Ἀπολλόδωρος μετὰ ταῦτα πάλιν εἴληχε δίκην Φορμίωνι | ἀφορμῆς, R 944 ἀφορμὴν δὲ οἱ Ἀττικοὶ καλοῦσιν ὅπερ ἡμεῖς ἐνθήκην, ὁ δὲ Φορμίων παραγράφεται νόμον παρεχόμενος τὸν κελεύοντα περὶ ὧν ἂν ἅπαξ ἀφῇ τις καὶ διαλύσηται μηκέτι ἐξεῖναι δικάζεσθαι. 6. ἅπτεται μέντοι καὶ τῆς εὐθείας ὁ ῥήτωρ δεικνὺς ὡς οὐκ εἶχεν ἡ τράπεζα χρήματα ἴδια τοῦ Πασίωνος. τοῦτο δὲ πεποίηκεν, ἵνα ἡ παραγραφὴ μᾶλλον ἰσχύῃ τῆς εὐθείας δεικνυομένης τῷ Ἀπολλοδώρῳ σαθρᾶς.

λζ'.

ὑπόθεσις τοῦ α' κατὰ Στεφάνου ψευδομαρτυριῶν λόγου. R 1100

1. Ὅτε Ἀπολλόδωρος ἔκρινε Φορμίωνα τῆς τραπέζης ἀφορμὴν ἐγκαλῶν, ὁ δὲ τὴν δίκην παρεγράψατο,

4 ib. § 17 p. 949, 22 9 cf. l. 21. Dem. ib. § 11 p. 947, 22. Harpocr. Hesych. lex. Seguer. VI p. 472, 6 s. v. *ἀφορμή*. cf. Meier-Schoemann-Lipsius, Att. Process p. 697 13 cf. ad p. 665, 2

2 „*malim χρήμαθ' ἑαυτοῦ*“ Blass 3 *αὐτοὺς FD ἑαυτοὺς* Ald 4 *Δεινίας*] *νιδίας FD Δινίας* Ald corr Re 5 *καὶ Λυσῖνος* inserui auctore Voemelio coll Dem. Phorm. § 15 p. 949, 6 8 *εἴληχεν F* 11 *τίς F* 14 *ἡδίατοῦ F ἢ* (*ἡ* Ald) *διὰ τοῦ D* Ald 15 *δεικνυμένης* Dind Blass

17 *λζ'* om *DS*ʳ *λϛ F* 18 *ὑπόθεσις τοῦ* et 19 *λόγου* om *F* | *τοῦ* — 19 *λόγου* om *S*ʳ (fol. 271ᵛ et 246ʳ) | *α'* om *FDS*ʳ 19 *πρώτου λόγου* Ald 20 *ἔκρινεν F* | *φορμῖ*ᵛ' *S*ʳ 271, *φορμίωνα* 246

Στέφανος μετ' ἄλλων τινῶν ἐμαρτύρησε Φορμίωνι ὡς
R 1101 *ἄρα ὁ μὲν Φορμίων προὐκαλεῖτο | Ἀπολλόδωρον, εἰ μή φησιν ἀντίγραφα εἶναι τῶν διαθηκῶν τῶν τοῦ πατρὸς Πασίωνος, ἃ Φορμίων παρέσχεν, ἀνοῖξαι τὰς διαθήκας αὐτὰς ἃς ἔχει καὶ παρέχεται Ἀμφίας, Ἀπολλόδωρος δὲ ἀνοίγειν οὐκ ἠθέλησεν, ἔστι δὲ ἀντίγραφα τάδε τῶν διαθηκῶν τῶν Πασίωνος. 2. ταύτην ἐμαρτύρησαν τὴν μαρτυρίαν οἱ περὶ Στέφανον τοῦ Ἀπολλοδώρου λέγοντος κατὰ τοῦ Φορμίωνος ὡς ἄρα τὰς διαθήκας πέπλακε καὶ τὸ ὅλον πρᾶγμα σκευώρημά ἐστιν. 3. ἡττηθεὶς τοίνυν τὴν δίκην Ἀπολλόδωρος ὑπὲρ τῆς μαρτυρίας ὡς ψευδοῦς οὔσης τῷ Στεφάνῳ δικάζεται.*

λη'.

R 1128 *ὑπόθεσις τοῦ β' κατὰ Στεφάνου ψευδομαρτυριῶν λόγου.*

Ἐν τούτῳ τῷ λόγῳ καὶ τῶν φθασάντων τινὰ ἐπικατασκευάζεται καὶ ἕτερα προσεισάγεται, καὶ ὅτι παράνομοι αἱ διαθῆκαι.

---

1 *ὁ* ante *Στέφανος* S^r Dindorf | *ἐμαρτύρησεν* F | *φορμῖν΄* S^r 271, *φορμίων* 246   4 *φορμῖνι πασῖνο παρασχεῖν* S^r 271   *φορμίωνος πασίωνος παρασχεῖν* 246   *φορμίωνος πασίωνος παρασχεῖν* F   *Πασίωνος, Φορμίωνι παρασχεῖν* Dind   *Πασίωνος, παρασχεῖν* Turic   corr Blass   7 *πασῖν* S^r 271   8 voce *στέφανον* des S^r fol 246ʳ | *καὶ* ante *τοῦ* FS^r 271 sed in hoc del | *ἀπολλοδ΄* S^r 271   9 *φορμῖν* S^r 271   10 *πέπλακεν* F | *σκαιώρημα* S^r 271 cf. ad t. VII 325, 15 et 432, 24   12 *μαρτ΄* S^r 271
14 *λη'* om DS^r *λζ'* F   15 *τοῦ β'* et 16 *λόγου* om F   *τοῦ* — 16 *λόγου* om S^r 16 *δευτέρου λόγου* Ald   18 *προεισάγεται* FS^r Ald   corr Wolf | *καὶ ὅτι* scripsi   *εἰ καὶ* FDS^r Ald   *ὡς καὶ* Turic Blass   19 *αἱ* om FDS^r Ald   inser Bekker

λϑ'.

ὑπόϑεσις τῆς πρὸς Ζηνόϑεμιν ἐμπορικῆς παραγραφῆς. R 880

1. Δανεισάμενος παρὰ Δήμωνος, ἑνὸς τῶν Δημοσϑένους συγγενῶν, ἔμπορός τις, Πρῶτος ὄνομα, ἐπρίατο τοῦ ἀργυρίου σῖτον ἐν Συρακούσαις καὶ τοῦτον ἐκόμισεν εἰς Ἀϑήνας ἐπὶ νεὼς ἧς Ἡγέστρατος ἐναυκλήρει. 2. Ἡγέστρατος δὲ καὶ Ζηνόϑεμις, πρὸς ὃν ἐστιν ἡ παραγραφή, Μασσαλιῶται μὲν ἦσαν τὸ γένος, κακούργημα δὲ τοιοῦτον ἐν Συρακούσαις ἐκακούργησαν, | R 881 ὡς ὁ ῥήτωρ φησίν. ἐδανείσαντο χρήματα, ταῦτα δὲ εἰς μὲν τὴν ναῦν οὐκ ἐνέϑεντο, λάϑρα δὲ εἰς τὴν Μασσαλίαν ἀπέστειλαν ἀποστερῆσαι τοὺς δανείσαντας βεβουλευμένοι. ἐπειδὴ γὰρ ἐγέγραπτο ἐν τῷ συμβολαίῳ, εἰ πάϑοι τι ἡ ναῦς, μὴ ἀπαιτεῖσϑαι αὐτοὺς τὰ χρήματα, ἐσκέψαντο καταδῦσαι τὴν ναῦν. 3. νύκτωρ οὖν ἐν τῷ πλῷ κατελϑὼν ὁ Ἡγέστρατος διέκοπτε τοῦ πλοίου τὸ ἔδαφος. φωραϑεὶς δὲ καὶ φεύγων τοὺς ἐπιβάτας εἰς τὴν ϑάλασσαν εἰσπίπτει καὶ παραχρῆμα ἀπόλλυται. 4. ὁ τοίνυν Ζηνόϑεμις ὁ κοινωνός, ὥς φησιν ὁ ῥήτωρ, τοῦ Ἡγεστράτου μόλις σωϑείσης εἰς Ἀϑήνας τῆς νεὼς ἠμφισβήτει τοῦ σίτου λέγων εἶναι τὸν σῖτον Ἡγεστράτου, ἐκεῖνον δὲ παρ' ἑαυτοῦ δεδανεῖσϑαι χρήματα. 5. ἐνστάντων δὲ αὐτῷ τοῦ τε Πρώ-

10 [Dem.] or. XXXII p. 883, 7 sq. 20 [Dem.] l. l. p. 884, 2

1 λϑ' om *D* λη̄ *F* 2 ὑπόϑεσις — 3 παραγραφῆς scripsi ὑπόϑεσις τῆς πρὸς ζηνόϑεμιν παραγραφικῆς. ἐμπορικός *D* πρὸς ζηνόϑεμιν παραγραφὴ ἐμπορική *F* ὑπόϑεσις τοῦ πρὸς Ζηνόϑεμιν παραγραφικοῦ λόγου Re 6 σῖτον *D* sed σι corr εἰσ τὸν *F* 12 λάϑραι *F* sed ι inser m² 14 συμβολαίωι *F* sed ante λ 1 litt eras 15 τί *F* 16 καταλῦσαι *FD* corr Re 24 αὐτῶν *FD* corr Re

του καὶ τοῦ Δήμωνος ἀμφοτέροις ἔλαχε δίκην ἐμπορικήν. καὶ τὸν Πρῶτον ἐξ ἐρήμης ἑλὼν ἑκόντα, ὥς φησι Δημοσθένης, καὶ συγκακουργοῦντα εἰσάγει καὶ τὸν Δήμωνα δεύτερον εἰς τὸ δικαστήριον. 6. *ὁ δὲ παραγράφεται μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην νόμον παρεχόμενος τὸν διδόντα τοῖς ἐμπόροις τὰς δίκας εἶναι περὶ τῶν Ἀθήναζε καὶ τῶν Ἀθήνηθεν συμβολαίων, Ζηνοθέμιδι δέ φησι μηδὲν συμβόλαιον εἶναι πρὸς αὐτόν.* 7. *καὶ ὁ μὲν ἀγὼν ἐστι παραγραφικός, ὁ δὲ λόγος ὡς τῆς εὐθυδικίας τοῦ πράγματος εἰσηγμένης οὕτως εἴρηται περὶ τοῦ μὴ Ζηνοθέμιδος εἶναι τὸν σῖτον, ἀλλὰ τοῦ Πρώτου, ᾧ ὁ Δήμων ἐδάνεισε τὸ ἀργύριον. οὐ γὰρ βούλεται δοκεῖν ῥήματι τοῦ νόμου μόνον* R 882 *ἰσχυρίζεσθαι κατὰ τὸ πρᾶγμα | ἀδικῶν, ἀλλὰ δεικνῦσιν ὡς θαρρεῖ μὲν καὶ τῇ εὐθείᾳ, ἐκ περιουσίας δὲ αὐτῷ καὶ παραγραφὴν ὁ νόμος δίδωσι.*

μ΄.

R 963 *ὑπόθεσις τῆς πρὸς Πανταίνετον παραγραφῆς.*

1. *Πανταίνετος παρὰ Τηλεμάχου τινὸς ἐργαστήριον μεταλλικὸν ἐν Μαρωνείᾳ, τόπος δὲ οὗτος τῆς Ἀττικῆς, καὶ μετὰ τοῦ ἐργαστηρίου τριάκοντα τὸν ἀριθμὸν οἰκέτας ὠνούμενος δανείζεται παρὰ μὲν Μνησικλέους*

---

2 [Dem.] l. l. p. 889, 15 sq. 7 cf. p. 665, 11 10 cf p. 661, 19 et ad p. 665, 2 15 cf. p. 665, 2
20 Dem. Pantaen. § 4 p. 967, 17

---

1 *τοῦ* om *FD* inser Ald | *ἔλαχεν F* 8 *συμβόλαιον F* sed 1 litt ante *λ* eras | *αὐτόν F* 10 *εἰσηγμένης F* sed *γ* inser 9 *ἐστιν F* 11 *μὴ* inser *D* 12 *ἐδάνεισεν FD* 14 *δείκνυσι μὲν ὡς θαρρεῖ FD* Ald corr Re 15 *μὲν* om *D* | *δ' D* 16 *αὐτῶν F* Ald corr Wolf | *δίδωσιν FD* Ald
17 *μ΄* om *DS^r* *λθ F* 18 *ὑπόθεσις — παραγραφῆς*] *πρὸς πανταίνετον παραγραφή F* *ὑπόθεσις S^r* 20 *ἔχων* ante *ἐν S*

τάλαντον, παρὰ δὲ Φιλέου καὶ Πλείστορος πέντε καὶ τετταράκοντα μνᾶς. 2. καὶ ἦν ὠνητὴς ἐγγεγραμμένος ὁ Μνησικλῆς καὶ τὰς ὠνὰς εἶχεν αὐτός. ὕστερον δὲ ἀπαιτούμενος τὸ ἀργύριον ὁ Πανταίνετος δευτέρους λαμβάνει δανειστάς, τόν τε παραγραφόμενον νῦν Νικόβουλον καὶ Εὔεργόν τινα καὶ τούτοις ὑποθήκην δίδωσι τὸ ἐργαστήριον καὶ τὰ ἀνδράποδα. γραμματεῖον δὲ οὐχ ὑποθήκης, ἀλλὰ πράσεως γράφεται. 3. καὶ γίνεται πρατὴρ καὶ βεβαιωτὴς τοῖς δευτέροις δανεισταῖς ὁ πρότερος δεδανεικὼς ὁ Μνησικλῆς ὁ τὰς ὠνὰς ἔχων. καὶ μισθοῦσι τῷ Πανταινέτῳ | τά τε ἀνδράποδα R 964 *καὶ τὸ ἐργαστήριον Εὔεργος καὶ ὁ Νικόβουλος ὡς δεσπόται δῆθεν γεγονότες αὐτοῦ. 4. τοσούτου δὲ μισθοῦσιν, ὅσον τὸ δάνειον τόκον ἐποίει. ἐδεδανείκεσαν μὲν γὰρ ἑκατὸν πέντε μνᾶς, ἔδει δὲ κατὰ μνᾶν τόκον εἶναι δραχμήν. ἑκατὸν οὖν καὶ πέντε δραχμὰς λαμβάνειν συνέθεντο. καὶ ἦν τοῦτο τῷ μὲν ἔργῳ τόκος, τῷ δὲ ὀνόματι μίσθωσις. 5. τούτων πραχθέντων ὁ μὲν Νικόβουλος ἀπεδήμησε, παρὰ δὲ τὴν ἀπουσίαν τὴν ἐκείνου Ἀθήνησι τάδε γίγνεται. ὁ Εὔεργος ὁ κοινωνὸς τοῦ δανείσματος αἰτιώμενος τὸν Πανταίνετον ὡς οὐδὲν τῶν συγκειμένων ἐθέλοντα ποιεῖν ἐλθὼν ἐπὶ τὸ ἐργαστήριον κατεῖχεν αὐτὸ καὶ δὴ καὶ ἀργύριον φυλάξας ἐκ τῶν μετάλλων Πανταινέτῳ κομιζόμενον, ὅπερ*

---

1 *φιλέτου F* edd corr Turic coll Dem. Pant. § 4 p. 967, 21 | *πλεῖ*[ov] *S*[r] 5 *νῦν* om *S*[r] 6 *δίδωσιν F* 9 *πατὴρ FS*[r] | 10 *νισικλῆς F* **[μ]*νησικλῆς S*[r] 12 *τὸ* om *FS*[r] 15 *ἕκαστον F* 16 *οὖν* om *FDS*[r] inser Ald | *πεντήκοντα FS*[r] 19 *ἀπεδήμησεν F* 20 *ἀθήνησι DS*[r] *ἀθήνησιν F* 23 *αὐτὸ* scripsi *αὐτοῦ FD* edd *αὐτὸ*[οῦ] *S*[r] cf. p. 680, 16 et 19 | *καὶ*(2) om *FD S*[r] inser Blass

ἔμελλεν εἰς τὸ δημόσιον καταβάλλειν, ἀφείλετο τὸν κομίζοντα οἰκέτην βίᾳ, παρ' ὃ καὶ διπλῆν εἰς τὸ δημόσιον κατέβαλεν, ὡς ἔφη, τὴν καταβολὴν ὁ Πανταίνετος τῆς προσηκούσης προθεσμίας δι' Εὔεργον ἐκπεσών. 6. ἐπὶ τούτοις καὶ δίκην ἔλαχε τῷ Εὐέργῳ βλάβης καὶ εἷλεν αὐτόν. ὡς δὲ ἐπανῆκε καὶ ὁ Νικόβουλος ἐκ τῆς ἀποδημίας καὶ δανεισταὶ πολλοί τινες ἀνεφαίνοντο τοῦ Πανταινέτου πρότερον ἀγνοούμενοι λόγων πολλῶν λεγομένων πέρας συνέβησαν ὥστε Νικόβουλον μὲν καὶ Εὔεργον ἀπολαμβάνοντας ἑκατὸν καὶ πέντε μνᾶς ἀποστῆναι τοῦ ἐργαστηρίου καὶ τῶν ἀνδραπόδων, ταῦτα δὲ τοὺς ἑτέρους δανείσαντας ὠνεῖσθαι. 7. πάλιν δὲ οὐκ ἐθελόντων τῶν δανειστῶν ὠνεῖσθαι τὰ κτήματα, εἰ μὴ πρατῆρες αὐτοὶ καὶ βεβαιωταὶ γίγνοιντο Νικόβουλος καὶ Εὔεργος, πείθεται μὲν ὁ Νικόβουλος ὑπ'
R 965 αὐτοῦ | ⟨τοῦ⟩ Πανταινέτου, καθά φησιν, ἀξιούμενος, οὐ πρότερον δὲ ἀνεδέξατο πρὶν τὸν Πανταίνετον ἄφεσιν αὐτῷ παντὸς ἐγκλήματος δοῦναι. 8. ὁ δὲ Πανταίνετος ἔδωκε μὲν τὴν ἄφεσιν καὶ ἐπράθη τὰ κτήματα, οὐδὲν δὲ ἧττον καὶ τούτῳ τὴν αὐτὴν ἥνπερ Εὐέργῳ δίκην εἴληχε μεταλλικὴν ἐπιγράφων τὴν δίκην ὡς δὴ τῶν τε τὰ μέταλλα ἐργαζομένων εἷς ὢν καὶ περὶ μέταλλον ἠδικημένος. 9. ἐγκαλεῖ δὲ τῷ Νικοβούλῳ καὶ περὶ τῆς τῶν χρημάτων ἀφαιρέσεως τῶν ὑπὸ τοῦ οἰκέτου κομι-

3 Dem. Pantaen. § 22 p. 973, 1 sq. 16 Dem. l. l. § 57 p. 983, 8 21 Dem. l. l. § 38 p. 977, 25 sq.

1 *ἀφείλετο* S^r sed ε(2) ex α corr *ἀφείλατο* *F* 2 *παρὸ* *FS*^{r} edd 4 *δι' ευεργον* *F* 5 *ἔλαχεν* *F* 12 *ὤνᾶσθαι* *F* 15 *μὲν* scripsi *οὖν* *FDS*^{r} om edd | *καὶ* ante *ὑπ'* *FDS*^{r} delevi 16 *τοῦ* inserui om *FDS*^{r} edd 17 *τοῦ* *F* edd corr Dind 19 *ἔδωκεν* *F* 21 *εἴληχεν* *F* | *ἐπιγράφων* scripsi cum Wolfio *ἐπιγράφοντες* *FDS*^{r} Ald *ἐπιγραφόμενος* Re Bekker Blass

ζομένων καὶ περὶ τῆς τοῦ ἐργαστηρίου καὶ τῶν ἀνδραπόδων πράσεως παρὰ τὰς συνθήκας γεγενημένης καὶ μέντοι καὶ περὶ ἑτέρων τινῶν. 10. *ὁ δὲ Νικόβουλος παραγράφεται τὸν ἀγῶνα καθ' ἕνα μὲν ἐκεῖνον νόμον τὸν κελεύοντα περὶ ὧν ἂν ἄφεσις καὶ ἀπαλλαγὴ γένηται, περὶ τούτων μηκέτι ἐξεῖναι δικάζεσθαι, καθ' ἕτερον δὲ ἐκεῖνον ὃς διαρρήδην καὶ σαφῶς ὁρίζει περὶ τίνων δεῖ τὰς μεταλλικὰς δίκας εἰσάγειν, ὧν οὐδὲν πεπονθότα Πανταίνετον ἀτόπως φησὶ μεταλλικὴν δικάζεσθαι δίκην.* 11. *καὶ μὴν καὶ τρίτον παρέχεται νόμον, ὃς διαιρεῖ περὶ ποίων ἐγκλημάτων ποῖα χρὴ κρίνειν δικαστήρια καὶ ποίας ἀρχὰς εἰσάγειν τὰς δίκας. Πανταίνετον δέ φησι παρὰ τοῦτον ποιεῖν τὸν νόμον ποικίλα ἐγκλήματα εἰς ταὐτὸν μίξαντα καὶ περὶ πάντων ⟨ἐν⟩ τῷ μεταλλικῷ δικαστηρίῳ τὴν κατηγορίαν ποιούμενον.* 12. *τῷ μὲν οὖν περὶ τῆς ἀφέσεως νόμῳ κατ' ἀρχὰς κέχρηται, τοῖς δὲ δύο τοῖς ἑτέροις ἐπὶ τοῦ τέλους, καὶ ἀρχόμενος ἀπὸ τῆς παραγραφῆς καὶ λήγων εἰς ταύτην. ἐν δὲ μέσῳ τὴν εὐθυδικίαν πεποίηκεν, ἧς μέγιστον καὶ ἰσχυρότατόν ἐστιν, ὅτι μηδὲ ἐπιδημῶν | ἐτύγχανε τότε Νικόβουλος, ὅτε Πανταίνετος ἐκεῖνα ⟨ἔπασχεν⟩, ἐφ' οἷς τότε Εὐέργῳ καὶ νῦν Νικοβούλῳ τὴν δίκην εἴληχεν.* R 966

---

2 Dem. l. l. § 39 p. 975, 8 4 sq. cf. p. 662, 11. Dem. Pant. § 25 p. 972, 4. Apatur. § 3 p. 893, 12 sq. 15 Meier-Schoemann-Lipsius, Att. Process p. 159 not. 23 et p. 635 18 Dem. Pant. § 1 p. 966, 3 sq. 19 cf. p. 658, 10

---

1 *ἐργαστηρίου πράσεως καὶ τῶν ἀνδραπόδων D* 2 *ὡς* post *πράσεως* inseruit Blassius 4 *ἐκεῖνον* in *ἐκείνων* corr *S*ʳ 8 *οὐδὲ FD* 13 *φησιν F* 15 *ἐν* om *FDS*ʳ inser Wolfius 20 *μὴ δὲ S*ʳ 21 *ἐτύγχανεν F* | *ἔπασχεν* post *ἐκεῖνα* inserui, ut post *Πανταίνετος* Wolf, post *ὅτε* Turic 22 *τῶι τε FDS*ʳ corr Ald

μα΄.

R 984 ὑπόθεσις τῆς πρὸς Ναυσίμαχον καὶ Ξενοπείθην παραγραφῆς.

1. Ναυσίμαχος καὶ Ξενοπείθης ἐπετροπεύθησαν ὑπὸ Ἀρισταίχμου, ἐγγραφέντες δὲ εἰς ἄνδρας ἔλαχον δίκην ἐπιτροπῆς αὐτῷ. εἶτα διελύσαντο λαβόντες τρία τάλαντα καὶ ἀφῆκαν αὐτὸν τῶν ἐγκλημάτων. 2. καὶ ὁ μὲν τετελεύτηκε καταλιπὼν παῖδας τέτταρας, τούτοις δὲ μετὰ χρόνον συχνὸν ὁ Ναυσίμαχος καὶ Ξενοπείθης δικάζονται βλάβης χρήματα ἀπαιτοῦντες ἐκ τῆς ἐπιτροπῆς. οἱ δὲ παραγράφονται παρατιθέμενοι τὸν νόμον τὸν οὐκ ἐῶντα περὶ ὧν ἄν τις ἄφεσιν δῷ καὶ ἀπαλλαγὴν πάλιν δικάζεσθαι.

μβ΄.

R 922 ὑπόθεσις τοῦ πρὸς τὴν Λακρίτου παραγραφὴν λόγου.

1. Ἀνδροκλῆς δανείσας χρήματα Ἀρτέμωνι Φασηλίτῃ τὸ γένος ἐμπόρῳ τελευτήσαντος ἐκείνου πρὶν ἀποδοῦναι τὸ ἀργύριον εἰσπράττει τὸν ἀδελφὸν | αὐτοῦ
R 923 Λάκριτον τὸν σοφιστὴν δύο προβαλλόμενος δίκαια, ὅτι τε παρόντος Λακρίτου καὶ ἀναδεξαμένου τὸ ἀργύ-

11 cf. p. 661,4 12 cf. p. 666,4 sq. [Dem.] Apat. § 3 p. 898,13

1 μα΄ om DS^r μ̄ F 2 ὑπόθεσις — 3 παραγραφῆς] παραγραφὴ πρὸς ναυσίμαχον καὶ ξενοπείθη F ὑπόθεσις S^r ὑπόθεσις τοῦ παραγραφικοῦ πρὸς Ναυσίμαχον καὶ Ξενοπείθην λόγου Re | ξενοπεῖ^{θ} D Ξενοπείθη Bekker 5 ἀριστε^{αι}χμου D ἀριστέχνου FS^r sed in hoc ν parum clarum 6 ἐπιτρόπου FDS^r Ald corr Wolf 7 αὐτῶι FS^rD Ald corr Wolf 8 τετελεύτηκεν F | τέσσαρας S^r 9 μεταχρόνον F 11 γράφονται FDS^r Ald corr Wolf 12 ἀπαλλαγῆι FD ἀπαλλαγ^{ή}, S^r
14 μβ΄ om D μᾱ F 15 ὑπόθεσις — 16 λόγου scripsi πρὸς τὴν λακρίτου παραγραφήν F ὑπόθεσις τῆς πρὸς τὴν Λακρίτου παραγραφήν D 17 φασηλίτηι D sed η(1) ex ι corr

ριον ἐδάνεισε τῷ Ἀρτέμωνι καὶ ὅτι κληρονόμος ἐστὶ τῶν Ἀρτέμωνος Λάκριτος. 2. *ὁ δὲ τῆς μὲν κληρονομίας ἀφίστασθαί φησι, παραγράφεται δὲ τὴν δίκην λέγων μηδὲν ἑαυτῷ πρὸς Ἀνδροκλέα συμβόλαιον εἶναι μηδὲ συγγραφὴν μηδεμίαν. πάντως δὲ καὶ τὸ ἀναδεδέχθαι ἔξαρνος γίνεται· οὐδὲ γὰρ ἂν τοῦτο ὁμολογῶν ἠγνωμόνει πρὸς τὴν ἔκτισιν.*

3. *Οὐκ ὀρθῶς δέ τινες ἐνόμισαν τὸν λόγον μὴ γνήσιον εἶναι ἀμυδροῖς ἀπατηθέντες τεκμηρίοις. τὸ μὲν γὰρ τῆς φράσεως ἀνειμένον οὐκ ἀπρεπὲς ἰδιωτικοῖς ἀγῶσι, τὸν δὲ Δία τὸν ἄνακτα κατὰ τὴν τοῦ προσώπου τοῦ ὑποκειμένου συνήθειαν δῆλός ἐστιν ὠνομακώς, πρὸς δὲ τὴν παραγραφὴν ἀσθενέστερον ἀπήντηκε διὰ τὸ πρᾶγμα τὸ πονηρόν.*

μγ'.

ὑπόθεσις τοῦ πρὸς τὴν Φορμίωνος παραγραφὴν λόγου. R 905

1. *Φορμίων ἔμπορος δανείζεται παρὰ Χρυσίππου μνᾶς εἴκοσι πλέων εἰς Βόσπορον, ἀφικόμενος δὲ ἐκεῖσε κατέλαβεν ἀπρασίαν τῶν φορτίων ὧν ἐκόμιζε.* 2. *διόπερ τοῦ ναυκλήρου Λάμπιδος ἀποπλεῖν Ἀθήναζε βουλομένου καὶ κελεύοντος αὐτὸν ἐνθέσθαι τῇ νηὶ τὰ*

---

3 [Dem.] Lacr. § 4 p. 924, 22 8 Caecil. Cal. fr. 145 ed. Ofenl. 11 [Dem.] Lacr. § 40 p. 937, 21
20 Dem. Aphob. I p. 820, 2

---

1 *ἐδάνεισεν* *F* | *ἐστὶν* *F* 3 *φησίν·* *F* 6 *γίγνεται* *F*
11 *ἀγῶσιν* *F* | *διὰ* *F* | *ἄτακτα* *FD* corr Ald 12 *τοῦ* om *FD* Ald inser Wolf 14 *ἀπήντηκεν* *F*
15 *μγ'* om *D* *μβ* *F* 16 *ὑπόθεσις* — 17 *λόγου*] *πρὸς τὴν φορμίωνος παραγραφήν* *F* 17 *λόγου* om *D* 18 et 664, 1 *παραχρυσίππου* *F* 20 *ἐκόμιζεν* *F* 21 *βουλομένου Ἀθήναζε* edd corr Blass 22 *αὐτὸν* inser *D*

ἀγοράσματα τῶν χρημάτων τῶν παρὰ Χρυσίππου, τοῦτο γὰρ ἔφραζεν ἡ συγγραφή, οὔτε φόρτον τινὰ ἐνέθετο οὔτε ἀργύριον, ἀλλ' ἔφη πρὸς τὸν Λάμπιν ἀδυνάτως ἔχειν ἐν τῷ παρόντι ποιῆσαι ταῦτα, μικρὸν δ' ὕστερον ἐφ' ἑτέρας ἐκπλευσεῖσθαι νεὼς ἅμα τοῖς χρήμασιν. 3. ἡ μὲν οὖν τοῦ Λάμπιδος ναῦς ἀναχθεῖσα διαφθείρεται καὶ μετ' ὀλίγων ὁ Λάμπις ἐν τῷ λέμβῳ σώζεται καὶ ἀφικόμενος Ἀθήναζε μηνύει Χρυσίππῳ τὸ εὐτύχημα τοῦ Φορμίωνος, ὡς ἀπελείφθη τε ἐν τῷ Βοσπόρῳ καὶ εἰς τὴν ναῦν οὐδὲν ἐνέθετο. 4. ὁ δὲ Φορμίων καταπλεύσας ὕστερον καὶ τὸ ἀργύριον ἀπαιτούμενος τὸ μὲν πρῶτον, ὡς ἔφη Χρύσιππος, καὶ ὀφείλειν ὡμολόγει καὶ ἀποδώσειν ὑπισχνεῖτο, ἔπειτα ὡς ἀποδεδωκὼς Λάμπιδι μηδὲν ὀφείλειν ἔλεγε· τὴν γὰρ συγγραφὴν κελεύειν παθούσης τι κατὰ θάλατταν τῆς νεὼς ἀπηλλάχθαι τοῦ ὀφλήματος τὸν Φορμίωνα. 5. ἔλαχεν οὖν δίκην αὐτῷ ὁ Χρύσιππος. ὁ δὲ παρεγράψατο. καὶ Λάμπις ἐμαρτύρησε παρὰ τῷ διαιτητῇ ὡς ἀπειληφὼς εἴη παρὰ Φορμίωνος ἐν Βοσπόρῳ τὰ χρήματα καὶ ἀπολωλεκὼς μετὰ τῶν ἄλλων ἐν τῇ ναυ- R 906 αγίᾳ. πρότερον | δὲ τἀναντία τούτων εἰρήκει πρὸς Χρύσιππον, ὡς οὐδὲν ὁ Φορμίων εἰς τὴν ναῦν ἐντέθεικεν. ἐλεγχόμενος δὲ ἐπὶ τούτοις ὁ Λάμπις ἐξεστηκέναι τότε ἔφησεν, ὅτε ἐκεῖνα πρὸς τὸν Χρύσιππον ἔλεγε. τούτων ἀκούσας ὁ διαιτητὴς καὶ μηδὲν ἀποφηνάμενος εἰς τὸ δικαστήριον τὸ πρᾶγμα πέπομφε.

1 [Dem.] Phorm. p. 909, 27; 916, 26   7 ib. p. 910, 11 sq.

5 χρήμασι *F*   6 ἀναχθεῖσα *F* sed ante χ 2 litt del   7 ὀλίγον *FD* Ald corr Wolf   14 μηδενὸς *FD* Ald corr Wolf | ἔλεγεν *F*   15 τί *F*   17 „*malim* ὁ Χρύσιππος αὐτῷ" Blass | συνεγράψατο *FD* Ald corr Wolf   18 ἐμαρτύρησεν *F*   19 παραφορμίωνος *F*   22 ἐντέθεικεν *F* sed ει in ras   num ἐντέθειται?   24 ἔλεγεν et 26 πέπομφεν et 665, 1 ἐστιν *F*

6. *Καὶ ὁ ἀγὼν ὀνόματι μέν ἐστι παραγραφικός, τῷ δὲ ἀληθεῖ κατὰ τὴν εὐθεῖαν γίγνεται. εὖ γὰρ καὶ ὁ ῥήτωρ κατ' ἀρχὰς ἐπισημαίνεται ὡς οὐκ ἔστιν ὅλως παραγραφὴ τὸ λέγειν πεποιηκέναι πάντα κατὰ τὰ συγκείμενα καὶ ἀποδεδωκέναι τὰ χρήματα Λάμπιδι κελευούσης τοῦτο τῆς συγγραφῆς καὶ ἀφιείσης ἐπὶ τοιούτῳ πάθει τὸ ὄφλημα.* 7. *ταῦτα γάρ ἐστι τὴν εὐθυδικίαν ἀγωνιζομένου καὶ τοῖς ἐπιφερομένοις ἐγκλήμασιν ἀπαντῶντος, ἀλλ' οὐχὶ ἀναιροῦντος τὸν περὶ αὐτῶν ἀγῶνα καὶ τὴν εἰσαγωγὴν τῆς δίκης. παραγραφὴν δέ, φησίν, ὁ νόμος δίδωσι περὶ τῶν μὴ γενομένων ὅλως Ἀθήνησι μηδὲ εἰς Ἀθήνας συμβολαίων.* 8. *τετήρηται δὲ ἐν τῷ λόγῳ ταὐτὸν ὅπερ καὶ περὶ τὸν κατὰ Νεαίρας, ὅτι μὴ ὑφ' ἑνὸς εἴρηται προσώπου, ἀλλ' ⟨ἐκεῖ μὲν⟩ ἑκατέρου διαστολὴ φανερά, ἐνταῦθα δὲ συγκέχυται.* 9. *δοκεῖ δὲ ἔμοιγε ἐντεῦθεν ὁ δεύτερος λέγειν· ἀκούσας τοίνυν ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, Θεόδοτος πολλάκις καὶ νομίσας τὸν Λάμπιν ψευδῆ μαρτυρεῖν. δῆλον δὲ ὅτι κοινωνοί τινές εἰσιν οἱ πρὸς τὸν Φορμίωνα ἀγωνιζόμενοι.*

2 cf. l. 7. p. 655, 13; ad 658, 10 et 15. [Dem.] Phorm. § 4 p. 908, 7; Steph. p. 1103, 11. cf. Meier-Schoemann-Lipsius, Att. Process p. 855 sq. 3 [Dem.] Phorm. § 3 p. 907, 18 sq. 10 ib. § 3 p. 908, 1 sq. 11 cf. p. 658, 7 13 cf. p. 645, 21 sq. 16 [Dem.] Phorm. § 21 p. 913, 20

2 *κατὰ* scripsi *παρὰ FD* edd sed auctore Bekkero delevit Dind 3 *καταρχὰς F* | *„malim οὐδ'"* Blass | *ὅλον F ὅλως* Bekkero auctore Dind 5 *καὶ* inserui auctore Bekkero om *FD* edd | *ἀποδεδωκέναι* scripsi coll. Dem. Phorm. p. 908, 15 *ἀποδιδόναι FD* edd *ἀποδοῦναι* coni Bekker | *τοῦτο* cancellavit Blass 6 *ἀφικούσης FD* Ald corr Wolf *ἀφεικυίας* Re 7 *ἔστιν F* 9 *οὐχι F οὐκ* Ald Re Blass 11 *δίδωσιν F* | *γινομένων FD* Ald Re corr Bekker | *ἀθήνησι D ἀθήνησιν F* | *μὴ δὲ F* 13 *τῶν FD* Ald corr Wolf 14 *ἐκεῖ μὲν* auctore Wolfio inser Dind om *FD* Ald 17 *ὦ* om *F*

μδ'.

R 891 *ὑπόθεσις τῆς πρὸς Ἀπατούριον παραγραφῆς.*

1. *Ὁ παραγραφόμενος τὴν δίκην ἴδια μέν τινα συμβόλαια πρὸς Ἀπατούριον ἔχων ἄφεσιν ἐπ' ἐκείνοις καὶ ἀπαλλαγὴν ἐποιήσατο, νῦν δὲ ὑπὲρ Παρμένοντος ἐγκαλεῖται καὶ ἀπαιτεῖται χρήματα. ὁ γὰρ Παρμένων πολίτης μὲν ἦν τοῦ ἐμπόρου τοῦ Ἀπατουρίου Βυζάντιος, φυγὴν δὲ ἐκ τῆς πατρίδος κατεδεδίκαστο. φίλῳ δὲ κατ' ἀρχὰς τῷ Ἀπατουρίῳ χρώμενος ὕστερον προσκρούσας εἰς δίκας ἦλθε καὶ ἐδίωκε τὸν Ἀπατούριον πληγῶν τε καὶ βλάβης κἀκεῖνος αὖθις τῷ Παρμένοντι δίκην ἀντέλαχεν.* 2. *ὁ μὲν οὖν Ἀπατούριος ἑνὶ διαιτητῇ τὸ πρᾶγμα ἐπιτραπῆναί φησιν Ἀριστοκλεῖ κἀκεῖνον καταγνῶναι τοῦ Παρμένοντος. διόπερ ἐπὶ τοῦτον ἥκει τὸν νῦν παραγραφόμενον τὴν δίκην ἐγγυητὴν τοῦ Παρμένοντος γεγενῆσθαι φάσκων.* 3. *ὁ δὲ οὐδὲν τούτων ὁμολογεῖ, ἀλλὰ πρῶτον μέν φησι τρισὶν αὐτοὺς ἐπιτρέψαι διαιτηταῖς, οὐχ ἑνὶ τῷ Ἀριστοκλεῖ, ἔπειτα ἐγγυητὴν τοῦ Παρμένοντος ἐν ταῖς συνθήκαις Ἄρχιππον γραφῆναι, κἀκείνας δὲ ἀφανισθῆναι τὰς συνθήκας κακουργίᾳ τοῦ Ἀπατουρίου πείσαντος τὸν Ἀριστοκλέα*
R 892 *τὸν ἔχοντα αὐτὰς μὴ κομίζειν εἰς μέσον, | ἀλλὰ λέγειν ὡς ἀπολώλεκε τὸ γραμματεῖον καθεύδων ὁ παῖς, ἑτέρας δὲ οὐκέτι γραφῆναι συνθήκας οὐδὲ ἐπιτραπῆναι*

12 [Dem.] Apat. § 14 p. 897, 2

1 *μδ'* om *D* *μγ̄* *F* 2 *ὑπόθεσις — παραγραφῆς*] *πρὸς ἀπατούριον παραγραφή* *F* *ὑπόθεσις τοῦ πρὸς Ἀπατούριον παραγραφικοῦ λόγου* Re 3 *ἴδια* scripsi e *FD* *ἰδίᾳ* edd 4 *ἐκείνοις* *D* sed *ο* in ras 8 *κατεδεδίκαστο* *D* sed *ι* in ras maiore 10 *ἦλθεν καὶ ἐδίωκεν* *F* 12 *ἐν* *FD* Ald corr Wolf 17 *αὐτοὺς*? 21 *πείσαντες* *FD* corr Ald 22 *κωμάζειν* *D* 23 *ἀπολώλεκεν* *F*

τὸ πρᾶγμα διαίτῃ τῆς μὲν πρότερον ἀναιρεθείσης τῇ τῶν συνθηκῶν ἀπωλείᾳ, δευτέρας δὲ οὐκέτι συμβαθείσης αὐτοῖς, τὸν δὲ Ἀριστοκλέα παρὰ πάντα τὰ δίκαια κατὰ τοῦ Παρμένοντος ἀποφήνασθαι οὐκέτ' ὄντα διαιτητὴν καὶ ταῦτα ἀποδημοῦντός τε τοῦ Παρμένοντος κατὰ συμφορὰν μεγάλην καὶ ἀπηγορευκότος αὐτῷ μὴ διαιτᾶν. 4. ταῦτά τε οὖν ὁ τὴν δίκην φεύγων προτείνεται τὰ δίκαια καὶ παραγράφεται τὸν ἀγῶνα λέγων ἐπὶ μὲν τοῖς γενομένοις αὐτῷ πρὸς Ἀπατούριον συμβολαίοις ἄφεσιν ὑπάρξαι, ὕστερον δὲ οὐδὲν ἔτι γεγενῆσθαι συμβόλαιον, περὶ δὲ τῶν τοιούτων τοὺς νόμους μὴ διδόναι δικάζεσθαι.

με'.

ὑπόθεσις τοῦ πρὸς Καλλικλέα περὶ βλάβης χωρίου λόγου. R 1271

1. Καλλικλῆς πρὸς ὃν ὁ λόγος καὶ ὁ τὴν δίκην ὑπ' ἐκείνου διωκόμενος γείτονες ἦσαν ἐν χωρίῳ ὁδῷ μέσῃ διειργόμενοι. ἐπομβρίας δὲ συμβάσης εἰς τὸ Καλλικλέους χωρίον ὕδωρ ἐμπεσὸν ἐκ τῆς ὁδοῦ κατελυμήνατο. 2. ἐπὶ τούτῳ διώκει βλάβης τὸν γείτονα· εἶναι γάρ φησιν ἐν τῷ Τισίου χωρίῳ χαράδραν εἰς ὑπο-

16 sq. Dem. Timoth. § 1 p. 1184, 3

1 διαιτητῇ F sed αιτη oblit διαιτητὴς D διαιτητῇ Ald corr Bekker | τῆς om D 7 οὖν om D 9 αὐτῶι F

13 με' om DS^r μδ̄ F 14 ὑπόθεσις — 15 λόγου] πρὸς καλλικλέα βλάβης χωρίου F ὑπόθεσις S^r | περὶ inserui ex Harpocr. s. v. χλῆδος· Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα περὶ χωρίου βλάβης cum Re om FDS^r 17 ὑπεκείνου F | διωκόμενος scripsi e D cum Sauppio Blassio διώκων FS^r Ald φεύγων Wolf

18 ἐπομβρίας scripsi cum marg ed. Par. anni 1570 coll Dem. Callicl. § 11 p. 1274, 21 et t. VI 523, 6 δυο·βίας S^r δηνβίασ F βίας D γρ δυσομβρίας in marg ed. Par. anni 1570 et Dind

δοχὴν τοῦ ὕδατος τοῦ ἐκ τῆς ὁδοῦ ποιηθεῖσαν, ἣν ἀποικοδομηθεῖσαν νῦν αἰτίαν ἑαυτῷ βλάβης γενέσθαι. 3. ὁ δὲ τοῦ Τισίου παῖς πρῶτον μὲν παλαιὸν καὶ οὐ δι' ἑαυτοῦ τὸ ἔργον δείκνυσι· ζῶντος γὰρ ἔτι καὶ τοῦ Καλλικλέους πατρὸς ἀποικοδομηθῆναι τὴν χαράδραν φησὶν ὑπὸ τοῦ Τισίου. ἔπειτα συνίστησιν ὡς οὐδὲ χαράδρα τις τὸ χωρίον ἐστί. 4. διασύρει δὲ καὶ τὴν συμβᾶσαν τῷ Καλλικλεῖ βλάβην ὡς μικρὰν καὶ οὐκ ἀξίαν τηλικαύτης δίκης. καὶ τὸ ὅλον ἠδικῆσθαι μὲν οὐδέν φησι τὸν Καλλικλέα, ἐπιθυμεῖν δὲ τῶν χωρίων τῶν ἑαυτοῦ καὶ διὰ τοῦτο συκοφαντίας μηχανᾶσθαι πάσας.

μϛ'.

R 1234 ὑπόθεσις τοῦ πρὸς Κάλλιππον χρέως λόγου.

1. Λύκων τις τὸ γένος Ἡρακλεώτης τῇ Πασίωνος ἐχρῆτο τραπέζῃ. οὗτος μέλλων ἐκπλεῖν εἰς Λιβύην κατέ-
R 1235 λιπεν ἀργύριον παρὰ Πασίωνι, ὡς μὲν | Πασίων ζῶν ἔλεγε καὶ Ἀπολλόδωρος λέγει νῦν, ἐντειλάμενος ἀποδοῦναι Κηφισιάδῃ, ὡς δὲ Κάλλιππός φησιν, ἑαυτῷ χαρισάμενος φίλῳ τε ὄντι καὶ προξένῳ τῶν πάντων Ἡρακλεωτῶν. 2. ἀποθανόντος δὲ τοῦ Λύκωνος τὸ ἀργύριον ἀπεδόθη Κηφισιάδῃ. Κάλλιππος δέ, ὥς φησιν Ἀπολλόδωρος, ἐπειδὴ πείθειν τὸν Πασίωνα οὐκ ἐδύνατο μεθ' ἑαυτοῦ γενόμενον συνεπιθέσθαι τῷ ξένῳ.

2 Dem. Callicl. § 12 p. 1275, 4 7 ib. p. 1275, 5 10 ib. § 1 p. 1272, 3 sq. 15 [Dem.] Callipp. § 8 p. 1236, 11 sq.

2 ἀπωκοδόμησασ FS^r ἀπωικοδομήσας D ἀποικοδομήσας Ald corr Re ἀποικοδομήσαντα Sauppe Dind 3 τοῦ om D | οὐ inser F om DS^r 4 στενὸν S^r | δείκνυσιν F 7 τις om D εισ S^r | ἐστίν· F | τὸ] γρ ἀλλὰ marg ed. Par. anni 1570 et Blass 13 μϛ' om D με̄ F 14 ὑπόθεσις — λόγου] πρὸς κάλλιππον χρέος F | κάλλιπον D 18 ἔλεγεν F 23 ἠδύνατο F

ἐπ' αὐτὸν ἦλθε τὸν Πασίωνα βλάβης αὐτῷ δικαζόμενος καὶ Λυσιθείδῃ τὸ πρᾶγμα ἐπέτρεψεν, ὅστις Πασίωνος ζῶντος οὐδὲν ἀπεφήνατο. ἀποθανόντος δὲ ἐκείνου αὖθις Ἀπολλοδώρῳ λαγχάνει δίκην τοῦ ἀργυρίου Κάλλιππος καὶ ἠξίου πάλιν ἐπιτρέψαι τῷ Λυσιθείδῃ. 3. *ὁ δὲ Ἀπολλόδωρος τὸν μὲν διαιτητὴν ἐδέξατο, πρὸς δὲ τὴν ἀρχὴν κατὰ τοὺς νόμους τὸν Λυσιθείδην ἀπήνεγκεν, ἵν', ὥς φησιν, ὀμόσας δικάσῃ καὶ μὴ χωρὶς ὅρκου διαιτῶν τῷ Καλλίππῳ χαρίσηται. ὁ δὲ Λυσιθείδης μὴ ὀμόσας ἀπεφήνατο καὶ κατεδιῄτησε τὴν δίκην. διόπερ ἔφεσιν δοὺς ὁ Ἀπολλόδωρος εἰς τὸ δικαστήριον εἰσέρχεται.*

μζ'.

ὑπόθεσις τοῦ περὶ τοῦ στεφάνου τῆς τρι- R 1227
ηραρχίας λόγου.

1. *Πολλῶν καὶ μεγάλων πραγμάτων κατεπειγόντων τοὺς Ἀθηναίους τριήρεις πληρῶσαι καὶ τῆς κατὰ θάλατταν ἐπιμεληθῆναι δυνάμεως γράφεται ψήφισμα τῶν τριηράρχων τὸν μὲν πρῶτον τῶν ἄλλων τὴν ναῦν παρέχοντα πεπληρωμένην τὸν στέφανον λαβεῖν, τὸν δὲ μὴ πρὸ τῆς ἕνης καὶ νέας, ἥτις ἐστὶν ἡ τελευταία*

7 sq. [Dem.] Callipp. § 30 p. 1244, 13 sq.   10 [Dem.] Boeot. dot. p. 1013, 21
18 sq. Dem. cor. trier. § 4 p. 1229, 6 sq.

1 *ἦλθεν F*   2 et 5 *λυσιθείδηι F* sed *ε* inser *λυσιθίδηι D*   7 *κατὰ τοὺς νόμους τὸν Λυσιθείδην*] *τοῦ νόμου τοῦ Λυσιθίδου FD* sed *τοῦ* inser F^2 et *ε* ante *ι* in *λυσιθίδου* inser *F* *τοὔνομα τοῦ Λυσιθείδου* Dobraeus Dindorf   9 *λυσιθείδης F* sed *ε* inser *λυσιθίδης D*   10 *μὴ* inserui e *D* *μὲν F* om Ald *οὐκ* Wolf edd recc | *κατεδιηίτησεν F*
13 *μζ'* om DS^r 14 *ὑπόθεσις* — 15 *λόγου*] *περὶ τοῦ στεφάνου τῆς τριηραρχίας F* *ὑπόθεσις* S^r 18 *ψηφισμάτων τριηραρχῶν* DS^r 20 *κατέχοντα* FDS^r Ald corr Wolf *παρασχόντα* Blass | *πεπληρωμένον* FS^r sed in hoc *ον* in *ην* corr | *τὸν*(1) cancellavit Blass   21 *ενης F* *ἔννης* S^r

R 1228 τοῦ μηνός, περιορμίσαντα τὴν ναῦν | ἐπὶ χῶμα δεθῆναι. τὸ χῶμα δὲ ἦν οἰκοδόμημα ἐν τῷ λιμένι προβεβλημένον προσορμίσεως ἕνεκα καὶ ἀγορᾶς τῶν ναυτῶν. 2. Ἀπολλόδωρος οὖν ὁ Πασίωνος πρῶτος τὴν ναῦν περιορμίσας ἔλαβε τὸν στέφανον. προτεθείσης δὲ πάλιν δοκιμασίας ὅστις κάλλιστα παρεσκευάσατο τὴν τριήρη, στεφανῶσαι καὶ τοῦτον ἀντιποιεῖται ὁ Ἀπολλόδωρος.

μη'.

R 1205 ὑπόθεσις τοῦ πρὸς Πολυκλέα περὶ τοῦ ἐπιτριηραρχήματος λόγου.

Ἀπολλόδωρος ὁ Πασίωνος τριηραρχήσας φιλοτίμως τὸν ὡρισμένον χρόνον ἐπετριηράρχησεν ἕτερον οὐκ ὀλίγον τοῦ διαδόχου αὐτοῦ Πολυκλέους μὴ ἐλθόντος παραχρῆμα ἐπὶ τὴν ναῦν, ταύτην δέ, ὅτε ἦλθεν, οὐ παραλαβόντος εὐθέως, ἀλλὰ σκηψαμένου περιμένειν τὸν συντριήραρχον. τοσούτου δὲ χρόνου τοῦ ἐπιτριηραρχήματος ὄντος ἀξιοῖ κομίσασθαι τὸ ἀνάλωμα παρὰ Πολυκλέους Ἀπολλόδωρος.

---

5 sq. Dem. cor. trier. § 17 sq.

---

1 περιορμήσαντα *F* Ald corr Felicianus | τὸ ante χῶμα inser Ald delevi coll Dem. p. 1229, 7 3 προσορμήσεως *F* 4 πασι' S^r 5 περιορμήσασ ἔλαβεν *F* | προστεθείσης *F* Ald corr Dind 7 καὶ τοῦτον ἐστεφάνωσεν post ἀντιποιεῖται FDS^r Ald delevi ut dittographiam cf. Dem. cor. trier. § 1 p. 1228, 7 καὶ τούτου τοῦ στεφάνου Wolf καὶ τοῦτον ἐστεφανῶσθαι Re καὶ τόθ' Blass 9 μη' om DS^r 10 ὑπόθεσις — 11 λόγου] πρὸς πολυκλέα περὶ τοῦ ἐπιτριηραρχήματος *F* ὑπόθεσις S^r 12 πασι' S^r 14 τοῦ om FDS^r inser Ald | αὐτοῦ] τοῦ Ald del Blass 15 ταύτην scripsi τούτου FDS^r τοῦτο Baiter 16 παραμένειν FDS^r Ald corr Re 17 τοῦ ἐπιτριηραρχήματος ὄντος scripsi ἐπιτριηραρχοῦντος FDS^r ἐπιτριηραρχουμένου coni Sauppius τοῦ ἐπιτριηραρχήματος Blass

μθ'.

ὑπόθεσις τοῦ πρὸς Τιμόθεον ὑπὲρ χρέως R 1184
λόγου.

1. Τιμόθεον τὸν Ἀθηναῖον, ἄνδρα ἔνδοξον καὶ στρατηγήσαντα τῆς πόλεως, Ἀπολλόδωρος ἀπαιτεῖ χρέα λέγων ὅτι Πασίωνι φίλῳ χρώμενος ὁ Τιμόθεος ἔλαβε παρ' αὐτοῦ χρήματα καὶ ὀφείλων ἐν τοῖς τραπεζιτικοῖς λόγοις ἐγγέγραπται. 2. τὰ μὲν δὴ πάντα ὀφλήματα τέτταρα καταριθμεῖται, ἐφ' ἑκάστου δὲ καὶ τοὺς χρόνους καὶ τὰς αἰτίας δι' ἃς ἐδανείσατο Τιμόθεος ἀκριβῶς εἴρηκε. καὶ τὰς μὲν πλείστας ἀποδείξεις ἐκ τῶν καλουμένων ἀτέχνων πίστεων παρέσχηται, μαρτυριῶν καὶ προκλήσεων, τινὰς δὲ καὶ ἐντέχνους ἀπὸ τῶν εἰκότων. 3. καὶ ὁ μὲν Ἀπολλόδωρος Τιμόθεον εἶναί φησι τὸν δανεισάμενον καὶ τοῖς ὑπὸ Τιμοθέου συσταθεῖσι δοθῆναι τὸ ἀργύριον ἀπὸ τῆς τραπέζης, ὁ δὲ οὐχ ἑαυτόν, ἀλλ' ἐκείνους ὀφείλειν λέγει.

ν'.

ὑπόθεσις τοῦ πρὸς Νικόστρατον περὶ τῶν R 1245
Ἀρεθουσίου ἀνδραπόδων λόγου.

1. Ἀπολλόδωρος γραψάμενος ψευδοκλητείας Ἀρεθούσιον εἷλεν. ὀφείλοντος δὲ τοῦ Ἀρεθουσίου τάλαντον τῇ πόλει καὶ ἀποδοῦναι μὴ δυνηθέντος καὶ διὰ τοῦτο

---

12 sq. Arist. rhet. I 2 p. 1355 b 35 sq. Sopat. in Hermog. stat. ed. Walz. t. IV 95, 10 sq.; t. VII 190, 12. proleg. t. VII 22, 22

---

1 μθ' om DS^r 2 ὑπόθεσις — 3 λόγου] πρὸς τιμόθεον χρέος F ὑπόθεσις S^r 6 πασῖ῀ν S^r | ἔλαβεν F 8 ἐγγεγράφθαι FDS^r Ald corr Wolf | ὀφειλήματα Schaefer Dindorf 9 τέττερα F 11 εἴρηκεν F 12 ἀτεχνων F ἀτεχνῶν D 13 τινὲς FDS^r corr Aldus 15 συσταθεῖσιν F 17 λέγειν FDS^r corr Aldus 18 ν' om DS^r 19 ὑπόθεσις τοῦ et 20 λόγου om F | τοῦ — λόγου om S^r 21 ψευδοκλητίας F sed ε ante ι inser m², DS^r Ald corr Re 22 ὀφλόντος Blass | γὰρ FDS^r Ald corr Schaefer

εἰς τὰ δημόσια ἀπογραφομένης αὐτοῦ τῆς οὐσίας ἀπογράφει ὁ Ἀπολλόδωρος οἰκέτας ὡς ὄντας Ἀρεθουσίου, ὁ δὲ Νικόστρατος μεταποιεῖται ὡς ἰδίων καὶ ἐκείνῳ προσηκόντων οὐδέν. 2. ἐπεὶ δὲ τὸ πρᾶγμα μοχθηρόν ἐστι, διὰ τοῦτο ὁ ῥήτωρ διηγεῖται πηλίκα πέπονθεν
R 1246 Ἀπολλόδωρος ὑπ' Ἀρεθουσίου, | ἵνα δοκῇ μὴ φύσει πονηρὸς ὢν ταῦτα πράττειν, ἀλλὰ ἀμυνόμενος τὸν ἀδικοῦντα.

να'.

R 1037 ὑπόθεσις τοῦ πρὸς Φαίνιππον περὶ ἀντιδόσεως λόγου.

1. Ὁ μὲν λόγος οὐκ ἀναφέρεται παρά τινων εἰς τὸν Δημοσθένην, ὑπόθεσιν δὲ ἔχει ταύτην.

2. Ἦν σύνταγμα παρὰ τοῖς Ἀθηναίοις τριακοσίων ἀνδρῶν κατὰ τὸν πλοῦτον ἐξειλεγμένων, οἷς ἀνέκειντο
R 1038 τῶν | λειτουργιῶν αἱ μείζονες. νόμος δὲ ἐδίδου τῷ πεπονηκότι τούτων ὑπεξελθεῖν ἐκ τοῦ συντάγματος, εἴ τινα ἑαυτοῦ πλουσιώτερον σχολάζοντα ἐπεδείκνυε. καὶ εἰ μὲν ὁ προβληθεὶς ὡμολόγει πλουσιώτερος εἶναι, εἰς τοὺς τριακοσίους ἀντικαθίστατο· εἰ δὲ ἠρνεῖτο, τὴν οὐσίαν ἀντεδίδοσαν. 3. νῦν τοίνυν εἷς τῶν τριακοσίων πεπονηκέναι λέγων καὶ εἶναι πένης ἐπὶ Φαίνιππον ἐλήλυθε, καὶ τῆς οὐσίας εἰς ἀντίδοσιν ἥκουσι. 4. περὶ δὲ τούτων ἐγκαλεῖ τῷ Φαινίππῳ ὡς οὔτε τὴν ἀπογραφὴν τῆς οὐσίας δεδωκότι κατὰ τὸν προσήκοντα

---

1 ras 1 litt ante ἀπογράφει *F* 2 καὶ ante ὁ Blass | ὁ inser *F* | οὐκ ante ὄντας *FD* sed in hoc delet., *S*ʳ Ald delevit Wolfius 3 ὁ δὲ Νικόστρατος om *FD* Ald inser Wolf καὶ *S*ʳ | μεταποιοῦνται *F* sed οῦν in ras 2 litt m² 4 μοχθηρόν ἐστι] μοχθηρόν; *S*ʳ μοχθηρὸν *FD* corr Dindorf
9 να' om *DS*ʳ 10 ὑπόθεσις τοῦ et 11 λόγου om *F* | τοῦ — λόγου om *S*ʳ 12 ἀναφέρεται *F* sed έρεται inser | παρατινων *F* 18 ἐπεδείκνυεν *F* 23 ἐλήλυθεν *FD* 24 οὐδὲ *FDS*ʳ Ald corr Sauppius

χρόνον, ἀλλ ὕστερον πολλῷ τά τε σημεῖα τῶν οἰκημάτων ἀφῃρηκότι ὑπὲρ τοῦ ἐκφορῆσαι τῶν ἔνδον τινὰ καὶ ψευδῶς ὀφείλειν πολλὰ πλαττομένῳ.

νβ'.

ὑπόθεσις τοῦ πρὸς Σπουδίαν ὑπὲρ προικὸς R 1027
λόγου. 6

1. Πολύευκτος, ἀνὴρ Ἀθηναῖος, δύο θυγατέρων πατὴρ γίνεται, ὧν τὴν μὲν νεωτέραν Λεωκράτει πρότερον δίδωσιν, εἶτα Σπουδίᾳ, τὴν πρεσβυτέραν δὲ τῷ πρὸς τὸν Σπουδίαν δικαζομένῳ. 2. ὁ μὲν οὖν Πολύευκτος ἐτελεύτησε ταῖς θυγατράσι καταλιπὼν τὸν κλῆρον ἐξ ἴσου, ὁ δὲ τὴν πρεσβυτέραν γήμας φησὶ τετταράκοντα μνᾶς ὁμολογηθῆναι τὴν προῖκα, οὐ μὴν ὅλην εὐθὺς δοθῆναι, ἀλλὰ δέκα μνῶν ὑπολειφθεισῶν ζῶντά τε ὁμολογεῖν τὸν Πολύευκτον ὀφείλειν αὐτάς, καὶ ὡς ἔμελλε τελευτᾶν, τὴν οἰκίαν τῆς ἄλλης οὐσίας ἐξελεῖν καὶ ταύτην εἰς τὸ χρέος δοῦναι. ὁ δὲ Σπουδίας ἀξιοῖ καὶ ταύτην εἶναι κοινὴν ὥσπερ καὶ τὰ ἄλλα πάντα. 3. καὶ τὸ μὲν μέγιστον τῶν ἀμφισβητημάτων τῶν ἐν τῷ λόγῳ τοῦτο ἔστι, προσεγκαλεῖ δὲ τῷ Σπουδίᾳ καὶ ἕτερα. φησὶ γὰρ αὐτὸν καὶ τοῦ Πολυεύκτου καὶ τῆς

2 [Dem.] Phaen. § 26 p. 1046, 28; 1048, 14

1 νόμον S^r 2 ὑπὲρ] καὶ περὶ S_r | διαφορῆσαι F | τινὰ τῶν ἔνδον DS^r 3 πραττομένωι F
4 νβ' om DS^r 5 ὑπόθεσις τοῦ om F | τοῦ — 6 λόγου om S^r 6 λόγου om F 8 $λε^{γ}$' S^r | $λεωκρα^{τ}$ S^r 9 δὲ om FDS^r Ald inser Re 10 τῶι F 11 ἐτελεύτησεν F 12 ἐξίσου F S^r 16 ἤμελλεν F ἤμελλε DS^r edd corr Blass 17 Σπουδίας scripsi λεωκράτης FD ($λεωκρα^{τ}$ S^r) edd sed cancellavit Blass „*Immo Spudias. Nam Leocrates ἐξεκεχωρήκει p. 1029, 17*“ Schaefer
19 ὧν F sed ν eras | μὲν inserui e DS^r ut coni Blass om F edd 20 προσεγκαλεῖ δὲ] προσεγκαλεῖσθαι S^r 21 φησὶν F

πρεσβυτέρας ὀφείλοντα χρήματα μὴ καταβαλεῖν εἰς τὸ μέσον δέον τοῦτο ποιεῖν. 4. *τοῦ δὲ Σπουδίου κἀκεῖνο λέγοντος, ὡς αὐτὸς τριάκοντα μνᾶς προῖκα εἴληφε, μάλιστα μὲν ἐξεῖναι τῷ Πολυεύκτῳ φησίν, εἰ τῇ ἑτέρᾳ τῶν θυγατέρων ἠβούλετο πλείω προῖκα δοῦναι καὶ μὴ τὴν ἴσην ἀμφοτέραις, ἔπειτα δὲ ἐπιδείκνυσιν ὡς καὶ τοῦτο Σπουδίας ψεύδεται· τὰς μὲν γὰρ τριάκοντα μνᾶς αὐτὸν ἐν ἀργύρῳ φησὶ λαβεῖν, τὰς δὲ δέκα ἐν ἱματίοις καὶ χρυσίοις, ἃ καὶ πλείονος ἢ δέκα μνῶν εἶναι ἄξια.*

νγ'.

R 1164 *ὑπόθεσις τοῦ κατὰ Ὀλυμπιοδώρου βλάβης λόγου.*

1. *Ποικίλην ἔχει περιπέτειαν πραγμάτων ὁ λόγος. Κόνων γάρ τις ἀνὴρ Ἀθηναῖος ἄπαις τελευτᾷ, ὡς ἐπίδικον τοῖς οἰκείοις γενέσθαι τὸν κλῆρον.* 2. *Καλλί-*
R 1165 |*στρατος μὲν οὖν ὁ τὸν λόγον τουτονὶ λέγων ὅλον τὸν κλῆρον τοῦτον ἑαυτῷ προσήκειν φησίν· ἐγγυτάτω γὰρ κατὰ γένος αὐτὸς εἶναι τῷ Κόνωνι. ἀλλὰ τοῦτο μὲν τάχ' ἂν καὶ ψεύδοιτο καὶ λόγῳ καταχρῷτο ψιλῷ.* 3. *Ὀλυμπιόδωρος δέ, πρὸς ὃν ἡ δίκη, καὶ αὐτὸς ἠμφισβήτησεν ἐξ ἀρχῆς τοῦ κλήρου. ἤστην δὲ οἰκείω ὅ τε Ὀλυμπιόδωρος καὶ ὁ Καλλίστρατος· ἀδελφὴν γὰρ Ὀλυμπιοδώρου Καλλίστρατος εἶχε γυναῖκα.* 4. *ἔδοξεν οὖν αὐτοῖς μὴ διαφέρεσθαι πρὸς ἀλλήλους, ἀλλὰ νείμασθαι*

---

2 *σπουδία F* sed post *α* ras 1 litt, *DS*ʳ Ald Dind corr Re cf. Dem. Spud. p. 1034, 7; 1035, 18 3 *εἴληφεν F* 5 *ἐβούλετο* Blass 8 *φησὶν F*

11 *νγ'* om *DS*ʳ 12 *ὑπόθεσις τοῦ* om *F* | *τοῦ* — 13 *λόγου* om *S*ʳ | *κατ' D* 13 *λόγου* om *F* 14 *πραγμάτων ὁ*] *ὁ πραγμάτων F* 18 *ἐγγυτάτωι F* 19 *εἶναι*] ⁓ *S*ʳ 22 *ἐξαρχῆς F* | *ἤσθην S*ʳ 23 *ὀλυμπιοδ´ S*ʳ

μὲν ἐξ ἴσης τὴν οὐσίαν τοῦ τελευτήσαντος ὅση φανερά τε ἦν καὶ ὡμολογημένη, κοινῇ δὲ ζητεῖν τὰ ἀφανῆ καὶ κοινῇ πράττειν περὶ τούτων πάντα. προσεδόκων γὰρ ἥξειν τινὰς ἀμφισβητοῦντας αὐτοῖς τοῦ κλήρου. περὶ τούτου ⟨δὲ⟩ καὶ συνθήκας ἔγραψαν καὶ κατέθεντο παρ' Ἀνδροκλείδῃ φίλῳ τινὶ κοινῷ. 5. *οἰκέτης δὲ ἦν Κόνωνος Μοσχίων πάνυ πιστὸς ἐκείνῳ νομισθείς. τοῦτον Ὀλυμπιόδωρος λαμβάνει καὶ διαβληθέντα χιλίας ὑφῃρῆσθαι τοῦ Κόνωνος δραχμὰς βασανίζει μετὰ Καλλιστράτου. καὶ ὡς ὡμολόγησεν ὁ οἰκέτης τὸ ἀργύριον, νέμεται καὶ τοῦτο πρὸς τὸν Καλλίστρατον κατὰ τὰς συνθήκας ἐξ ἴσης. ὑπονοήσας δὲ καὶ πλεῖον ἔχειν ἀργυρίου τὸν ἄνθρωπον οὐκ ἔτι παραλαβὼν τὸν Καλλίστρατον αὐτὸς βασανίζει καὶ μνᾶς ἑβδομήκοντα λαμβάνει μόνος.* 6. *περὶ δὲ τοῦτον τὸν καιρὸν ἀμφισβητοῦσι τοῦ κλήρου Κόνωνος καὶ ἄλλοι καὶ ὁ ἀδελφὸς Καλλιστράτου Κάλλιππος ὁμοπάτριος ὤν. βουλευόμενοι ⟨δὲ⟩ κοινῇ περὶ τῶν ἀγώνων Ὀλυμπιόδωρος καὶ Καλλίστρατος συντίθενται τὸν μὲν Ὀλυμπιόδωρον ἀμφισβητεῖν ὅλου τοῦ κλήρου, τὸν δὲ Καλλίστρατον τοῦ ἡμικληρίου.* 7. *στρατευομένων δὲ Ἀθηναίων* | *εἰς* R 1166
Ἀκαρνανίαν ᾤχετο καὶ Ὀλυμπιόδωρος· ἦν γὰρ τῶν ἐκ καταλόγου. τῆς δὲ κυρίας ἐνστάσης οἱ δικασταὶ πρό-

---

1 *ἐξίσης FS*ʳ 2 et 3 *κοινῆι F* sed *ι*(2) add m[2] 4 *αὐτοῖς FDS*ʳ Ald corr Re 5 *δὲ* inserui om *FDS*ʳ edd 8 *ὀλυμπιδ*ͦ *Sʳ* 11 *τοῦτον F* sed *ν* delet. 12 *ἐξίσης FS*ʳ | *πλεῖον* scripsi *πλείονας FDS*ʳ Ald *πλείονα* Dind | *μνᾶς* ante *ἀργυρίου* inseruit Blass | *ἀργυρίου* delevit Dind 17 *ὁ* ante *Καλλιστράτου FDS*ʳ edd delevi | *βουλόμενοι FDS*ʳ corr Ald 18 *δὲ* inserui om *FDS*ʳ edd | et 22 *ὀλυμπιδ*ͦ *Sʳ* 19 *συντίθεται F* sed *ν* inser | *ὁ μὲν ὀλυμπιόδωρος* et 20 *ὁ δὲ καλλίστρατος* edd ante Dind 22 *ἀκαρνᾶ*ͮ *Sʳ*

φασιν τὴν στρατείαν εἶναι πεισθέντες ἀνεῖλον αὐτοῦ τὴν διαδικασίαν. διό φησι Καλλίστρατος καὶ αὐτὸς ἐκλιπεῖν τὴν τοῦ ἡμικληρίου δίκην ταῖς συνθήκαις ἐμμένων, ἐπειδὴ κοινῇ πάντα πράττειν ἐκέλευον. 8. *ὡς δὲ ἐπανῆλθεν ἀπὸ τῆς στρατείας Ὀλυμπιόδωρος παλινδικίᾳ χρῆται πρὸς τοὺς νενικηκότας καὶ αὐτὸς καὶ ὁ Καλλίστρατος δεδωκότος τοῦτο τοῦ νόμου. καὶ ἀμφισβητοῦσι τοῦ κλήρου καθάπερ ἐξ ἀρχῆς, ὁ μὲν τοῦ ἡμίσους, ὁ δὲ καὶ τοῦ ὅλου.* 9. *πρότερος δὲ λέγων Ὀλυμπιόδωρος νικᾷ τὸν κλῆρον. νικήσας δὲ καὶ λαβὼν ὅλον οὐκ ἐμμένει ταῖς συνθήκαις αἷς ἐξ ἀρχῆς ἐποιήσατο οὐδὲ δίδωσι τὰ ἡμίση τῷ Καλλιστράτῳ.* 10. *ὁ δὲ αὐτὸν ἀπαιτεῖ καὶ τῶν ἑβδομήκοντα μνῶν τῶν παρὰ τοῦ Μοσχίωνος τὸ ἥμισυ καὶ τῆς ὅλης οὐσίας ταῖς συνθήκαις ἰσχυριζόμενος καὶ λέγων καὶ ἐν τῇ τελευταίᾳ δίκῃ συναγωνίσασθαι τῷ Ὀλυμπιοδώρῳ καὶ συγκεχωρηκέναι καὶ τοὺς λόγους εἰπεῖν οὓς ἐβούλετο καὶ μάρτυρας παρασχέσθαι ψευδεῖς, οὕς, εἰ μὴ κοινῇ καὶ συντεθειμένοι πρὸς ἀλλήλους ἠγωνίζοντο, ῥᾳδίως ἂν ἐξελέγξαι καὶ οὐκ ἐᾶσαι τὸν Ὀλυμπιόδωρον νικῆσαι τὴν δίκην.*

6 Plut. Dem. 6, 1

1 *ἀνεῖλεν F* | *αὐτῶν FDS*[r] Ald *αὐτὸν* Re corr Blass 3 *ἐκλείπειν FDS*[r] Ald corr Re 5 *πάλιν δι᾽ ἐκεῖνα* (*διεκεῖνα F*) *FDS*[r] Ald corr Wolf 8 *ἐξαρχῆς F* 9 *ἡμίσους* scripsi e *FD* *ἡμίσεος S*[r] Dind Blass *ἡμίσεως* Ald | *πρώτερος F* 11 *ἃς S*[r] Dind | *ἐποιήσατο· S*[r] 12 *ἡμίσεα* Blass 16 *ὀλυμπιδ*῟ *S*[r] | *ἐγκεχωρηκέναι S*[r] 18 *ὡς FDS*[r] Ald corr Bekker 19 *συντιθέμενοι S*[r] Ald corr Dind 20 *ἐλέγξαι S*[r] | *ὀλυμπιδ*῟ *S*[r]

νδ'.

ὑπόθεσις τοῦ κατὰ Διονυσοδώρου βλάβης λόγου. R 1282

1. Δαρεῖος καὶ Πάμφιλος Διονυσοδώρῳ δανείζουσι τρισχιλίας δραχμὰς ἐπὶ τῷ πλεῦσαι αὐτὸν εἰς Αἴγυπτον κἀκεῖθεν αὖθις Ἀθήναζε καὶ λαμβάνουσι μὲν ὑποθήκην τὴν ναῦν, διομολογοῦνται δὲ καὶ τόκους ὅσους ὤφειλον Ἀθήναζε καταπλεύσαντος Διονυσοδώρου κομίσασθαι. 2. Διονυσόδωρος δὲ ἀναπλέων ἐκ τῆς Αἰγύπτου τῇ Ῥόδῳ προσσχὼν ἐκεῖ τὸν γόμον ἐξέθετο, ὡς μὲν αὐτός φησι, διὰ τὸ ῥαγῆναι τὴν ναῦν καὶ εἶναι σαθράν, ὡς δὲ Δαρεῖος λέγει, διὰ τὸ πυθέσθαι τὸν σῖτον Ἀθήνησιν εὔωνον ὄντα· τὴν γὰρ ναῦν σώαν ὑπάρχειν φησὶ καὶ πλεῖν ἔτι καὶ νῦν. 3. οἱ μὲν οὖν δανείσαντες [καὶ] κατηγοροῦσι τοῦ Διονυσοδώρου παραβεβηκέναι τὴν συγγραφήν, διότι τὴν ὑποθήκην, τουτέστι τὴν ναῦν, οὐ παρέσχεν ἐμφανῆ, καὶ ἀπαιτοῦσιν αὐτὸν τοὺς ὁμολογηθέντας τόκους τελείους, ὁ δὲ οὐ πάντας ἀποδιδόναι βούλεται, ἀλλὰ πρὸς λόγον τοῦ πλοῦ τοῦ πλευσθέντος.

---

4 [Dem.] Dionys. § 3 p. 1283, 17 sq. 6 ib. § 5 p. 1284, 13 10 ib. § 21 p. 1289, 14 11 sq. ib. § 23 18 ib. § 49 p. 1297, 21

---

1 *νδ'* om *DS^r* 2 *ὑπόθεσις τοῦ* om *F* | *τοῦ — 3 λόγου* om *S^r* 3 *λόγου* om *F* 4 *διονυσωδώρω S^r* 7 *οὓς D* 8 *ἀθήναζε· FS^r* | *δὲ* post *καταπλεύσαντος FS^r* del. marg. ed. Par. a. 1570 10 *προσσχὼν F* sed e *προσχῶν* corr m² 11 *φησὶν F* 12 *ἀθήνησιν S^r* 13 *σώαν F* Blass 14 *φησὶν F* 15 *καὶ FDS^r* edd cancellavi 19 *ἀλλὰ — 20 πλευσθέντος* om Ald | *ὀλίγον FDS^r* corr Re

νε'.

R 1138 *ὑπόθεσις τοῦ κατὰ Εὐέργου καὶ Μνησιβούλου ψευδομαρτυριῶν λόγου.*

1. Ἐπειγομένων Ἀθηναίων εἰς στρατείαν ναυτικὴν ἐνέδει σκεύη τριηρικά. καὶ γράφεται ψήφισμα κατὰ τάχος εἰσπράττειν τοὺς ὀφείλοντας σκεύη τριηρικὰ τῇ πόλει. οὗτοι δὲ ἦσαν τῶν τετριηραρχηκότων τινές. 2. ἄλλος μὲν οὖν ἄλλους εἰσπράττειν ἐτάχθη, ὁ δὲ νῦν τὸν λόγον λέγων Θεόφημον καὶ Δημοχάρην. ἀγνωμονοῦσι δὲ αὐτοῖς δίκην ἔλαχε καὶ εἷλε. καὶ ὁ μὲν Δημοχάρης ἀποδέδωκεν, ὁ δὲ Θεόφημος ἔτι μεθοδευόμενος ἦν. 3. ψηφισαμένης δὲ τῆς βουλῆς ὅτῳ τις ἂν δύνηται τρόπῳ τοὺς ὀφείλοντας εἰσπράττειν ἧκεν ἐπὶ τὴν οἰκίαν τοῦ Θεοφήμου οὗτος ὁ νῦν δικαζόμενος. ἐκ δὲ ἀψιμαχίας πληγὰς ἀλλήλοις ἐνέτειναν καὶ αἰκίας κατ' ἀλλήλων δίκας ἀπήνεγκαν ἑκάτερος φάσκων τὸν ἕτερον ἄρξαι τῶν πληγῶν. τοῦτο γὰρ ἦν ἡ αἰκία. 4. πρότερος οὖν εἰσελθὼν ὁ Θεόφημος παρέσχετο μάρτυρας Εὔεργον καὶ Μνησίβουλον, τὸν μὲν ἀδελφὸν ὄντα ἑαυτοῦ, τὸν δὲ κηδεστήν. οἱ δὲ ἐμαρτύρησαν ὅτι Θεόφημος μὲν ἐβούλετο παραδοῦναι τὴν ἄνθρωπον εἰς βάσανον τὴν παροῦσαν τῇ μάχῃ, ἵν' εἴπῃ βασανιζο-

5 Dem. Euerg. § 19 p. 1145, 1; fals. leg. p. 433, 5
15 Chor. Patr. p. 269, 7 ed. Boiss. | Dem. Con. p. 1258, 2

1 *νε'* om *DS*[r] 2 *ὑπόθεσις τοῦ* om *F* | *τοῦ* — 3 *λόγου* om *S*[r] | *λόγου* om *F* 5 *ἐνέδει* — *καὶ* om *D* | *ἐνέδει F* sed *ει* inser m[2] | et 6 *τριηραρχικά FDS*[r] Ald corr Dind | *καὶ γράφεται*] *γράφεται οὖν S*[r] Dind 9 *δημοχάρη FD* 10 *ἔλαχεν* et *εἷλεν F* 12 *τίς FS*[r] 14 *θεοφήμου. οὗτος F* 16 *καὶ* ante *κατ' FDS*[r] Ald del Re | *ἀπήνεγκαν. S*[r] 18 *μαρτυρίας FDS*[r] corr Ald 21 *τὸν F*

μένη πότερος ἤρξατο τῶν πληγῶν, ταῦτα δὲ προκαλουμένου τοῦ Θεοφήμου καὶ παραδιδόντος τὴν θεράπαιναν οὐκ ἐδέξατο. 5. τέλος οἱ μὲν δικασταὶ τῇ μαρτυρίᾳ πεισθέντες ὑπὲρ Θεοφήμου τὴν | ψῆφον ἔθεντο, R 1139
ὁ δὲ ἡττηθεὶς τοῖς μάρτυσιν ὡς ψευσαμένοις δικάζεται.

νϛ'.

ὑπόθεσις τοῦ πρὸς Μακάρτατον περὶ τοῦ Ἁγνίου κλήρου λόγου. R 1049

1. Ἁγνίας καὶ Εὐβουλίδης ἦσαν ἀνεψιοί. τούτων δὲ Ἁγνίας ἐτελεύτησεν ἄπαις, ὁ δὲ Εὐβουλίδης θυγατέρα κατέλιπε Φυλομάχην, ἥτις ἐπεδικάζετο τοῦ κλήρου τοῦ Ἁγνίου ὡς οὖσα ἐγγύτατα τῷ γένει. 2. ἠμφισβήτουν δὲ αὐτῇ Γλαῦκός τις καὶ Γλαύκων οὐκ ἀγχιστείᾳ γένους, ἀλλὰ διαθήκαις ἰσχυριζόμενοι. ὧν ἐν τῷ δικαστηρίῳ ψευδῶν ἐλεγχθεισῶν παραλαμβάνει τὸν κλῆρον ἡ Φυλομάχη. 3. εἰσιὼν δὲ ὁ Θεόπομπος αὐτούς τε τούτους τοὺς ἡττωμένους παραλαβὼν καὶ πρὸς τούτοις Εὐπόλεμον προσεκαλέσατο εἰς διαδικασίαν τοῦ κλήρου τὴν Φυλομάχην. ἐδίδου γὰρ ὁ νόμος τῷ βουλομένῳ προσκαλεῖσθαι τὸν νενικηκότα καὶ ἔχοντα τὸν

---

15 Dem. Mac. § 4 p. 1051, 17 18 Dem. l. l. § 7 p. 1052, 9

---

3 ἐδέξαντο *FDS*^{r} Ald corr Wolf 5 ἐψευσμένοις Ald 6 νϛ' om *DS*^{r} 7 ὑπόθεσις τοῦ om *F* | τοῦ — 8 λόγου om *S*^{r} | ὑπὲρ Re 8 λόγου om *F* 11 κατέλιπεν *F* 12 ἐγγυτάτω Ald cf. p. 681, 5. Dem. Leoch. p. 1082, 26; 1094, 23 13 γλαῦκος τὶς *F* 16 εἰσιὼν δὲ] εἶσον γὰρ *F* εἰς ὃν γὰρ *D* εἰς ὧν γὰρ *S*^{r} corr Wolf εἰσὸ coni Bekker, εἰς ὅ γε Turic „*sanatus locus vix esse videtur, immo quam maxime lacunosus*“ Blass at sequitur Libanius Demosthenis orationem § 4—7 p. 1051, 14 sq. 17 ἡττημένους Blass 18 δικασίαν *FDS*^{r} Ald corr Re 19 τῆς φυλο^μάχ *S*^{r} 20 προκαλεῖσθαι *S*^{r}

κλῆρον. κατασκευασθείσης δὲ πρὸς ἀπάτην τῆς δίκης, ὥς φησι Σωσίθεος, ἐνίκησεν ὁ Θεόπομπος. 4. κἀκεῖνος
R 1050 | *μὲν ἐτελεύτησεν υἱὸν καταλιπὼν Μακάρτατον, τῇ δὲ Φυλομάχῃ γίνεται παῖς, ὃν ὠνόμασεν Εὐβουλίδην καὶ εἰσεποίησεν υἱὸν Εὐβουλίδῃ τῷ ἑαυτῆς μὲν πατρί, ἀνεψιῷ δὲ Ἁγνίου τοῦ τὸν κλῆρον καταλελοιπότος. εἰσποιήσασα δὲ εἰσήγαγεν εἰς τοὺς φράτερας τοῦ Εὐβουλίδου καὶ Ἁγνίου καὶ οἱ φράτερες ἐδέξαντο ὡς δικαίως εἰσαγόμενον. 5. τούτων δὲ πραχθέντων ὁ παῖς εἰς διαδικασίαν τοῦ κλήρου προσκέκληται Μακάρτατον τὸν υἱὸν τοῦ Θεοπόμπου. καὶ λέγει τὸν λόγον Σωσίθεος ὁ φύσει πατὴρ τοῦ παιδός.*

νζ'.

R 1079 *ὑπόθεσις τοῦ πρὸς Λεωχάρην περὶ τοῦ κλήρου λόγου.*

1. *Ἀρχιάδου τελευτήσαντος ἄπαιδος Λεωκράτης κατέσχε τὸν κλῆρον συγγενής τε ὢν αὐτοῦ καὶ εἰσπεποιῆσθαι λέγων ὑπὸ Ἀρχιάδου. καὶ μέχρι μέν τινος αὐτὸς κατεῖχεν, ἔπειτα τὸν υἱὸν τὸν ἑαυτοῦ Λεώστρατον εἰσποιήσας ἀνθ' αὐτοῦ τῷ Ἀρχιάδῃ ἐξίσταται τοῦ οἴκου καὶ εἰς τὸν οἰκεῖον ἀνεχώρησεν ὡς ἄδειαν δεδωκότος τούτων τοῦ νόμου. 2. ἐποίησε δὲ τὸ αὐτὸ ὁ Λεώστρατος καὶ ἀνθ' αὐτοῦ καταλιπὼν ἐν τῷ οἴκῳ*

2 Dem. l. l. § 10

2 *φησὶν F* 4 *γίγνεται* Ald | *εὐβουλίδη* S^r 5 *εὐβουλί*[δ] S^r 7 *φρα*[τρ] S^r *φράτορας* Ald 8 *φρα*[τρ] S^r *φράτορες* Ald 13 *νζ'* om DS^r 14 *ὑπόθεσις τοῦ* om *F* | *τοῦ* — 15 *λόγου* om S^r | *Ἀρχιάδου* ante *κλήρου* inser Blass 15 *λόγου* om *F* 20 *ἀντ' αὐτοῦ* FDS^r corr Ald 22 *τούτων*] *τοῦτο* FS^r Ald *τούτω D* corr Re *τούτῳ* coni May N. Phil. Rundschau 1902, 145 | *ἐποίησεν F* 23 *ἀντ' αὐτοῦ* FDS^r corr Ald

τοῦ Ἀρχιάδου παῖδα Λεωκράτην καλούμενον ἐπανῆλθεν | αὐτὸς εἰς τὴν οἰκίαν τὴν τοῦ φύσει πατρός. 3. ὁ R 1080 *μὲν δὴ Λεωκράτης ὁ τελευταῖος εἰσποιηθεὶς τῷ Ἀρχιάδῃ τέθνηκεν ἄπαις, προσελήλυθε δὲ τῷ κλήρῳ Ἀριστόδημος λέγων ἐγγύτατα τοῦ γένους εἶναι τῷ Ἀρχιάδῃ, οὗπερ ἦν ὁ κλῆρος ἐξ ἀρχῆς, καὶ δι' ἐκεῖνον τῷ Λεωκράτει τῷ τελευταίῳ τῶν εἰσποιηθέντων. 4. Λεωχάρης δὲ ὁ ἀδελφὸς τοῦ τεθνηκότος ἀμφισβητεῖ τοῦ κλήρου τὸ μὲν ὅλον ἰσχυριζόμενος ποιήσει ὡς υἱὸς ποιητὸς ὢν τοῦ Λεωκράτους, φάσκων δὲ εἶναι καὶ συγγενὴς Ἀρχιάδου. 5. ὁ δὲ ὑπὲρ Ἀριστοδήμου λέγων ἐπιδείκνυσι τὴν μὲν τοῦ γένους ἀγχιστείαν Ἀριστοδήμῳ διδοῦσαν τὸν κλῆρον, τὴν δὲ ποίησιν παράνομον οὖσαν· οὐ γὰρ ζῶν, φησίν, ὁ Λεωκράτης ἐποιήσατο παῖδα τὸν Λεωχάρη, καθάπερ οἱ νόμοι κελεύουσιν, ἀλλὰ μετὰ τὴν ἐκείνου τελευτὴν ἐπ' ἀποστερήσει τῆς οὐσίας παρὰ τοὺς νόμους ἡ εἰσποίησις γεγένηται. λέγει δὲ τὸν λόγον τοῦ Ἀριστοδήμου ὁ υἱός.*

---

6 Dem. Leoch. § 2 p. 1081, 2 9 sq. Dem. l. l. § 11 p. 1084, 1 sq. 14 Dem. l. l. § 19 p. 1086, 19; § 22 p. 1087, 16 sq.; § 24 p. 1088, 5

---

1 *λεωκρά* S^r 4 *προσελήλυθεν F* 5 *ἐγγυτάτω D* et defendit May l. l. 6 *ἐξαρχῆσ F* 7 *λεωκρά* S^r 9 *μὲν*] *δὲ FDS^r* Ald corr Wolf | *ποιῆσαι FDS^r* corr Ald 13 *παράνομον* scripsi coll. Dem. Leoch. § 22 sq. et § 63 *παραπλησίαν F DS^r* Blass *παράπλαστον* Steph. Bekker *πεπλασμένην* Wolf

15 *λεωχάρη* S^r *λεωχάρην* Dind *Λεωχάρητα* Ald 17 *γεγένηται* scripsi *γίνεται FDS^r* edd 18 *ὁ ἀριστοδήμου υἱός D*

ADDENDA ET CORRIGENDA.

P. 3 l. 23 pro 26 legas: 34 *ὑγιαίνειν*, finem *ψόγου πενίας*.

P. 14 l. 22 addas: Vide t. I p. 343.

P. 26 addas locis l. 15: ep. 18.

P. 27 adn. crit. l. 11 locus in exc. cod. Darmstad. 2773 fol. 369ᵛ laudatus *τὸ ἐξούλης — βίᾳ* exstat in argumento orationis Demosthenicae *λα´* p. 651, 2.

P. 30 l. 24 Duae *περὶ Κανδαύλου* et *περὶ Ἀλεκτρυόνος* narrationes e codice Vindobonensi philos. et philol. gr. 195, in quo cum 19 aliis foliis 85—93 continentur inscriptae *τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου Γρηγορίου τοῦ Κυπρίου μῦθοι*, cum reliquis editae sunt a Sophronio Eustratiade metropolita Leontopoleos, *Γρηγορίου τοῦ Κυπρίου ἐπιστολαὶ καὶ μῦθοι. ἐν Ἀλεξανδρείᾳ* 1910 p. 230 n. 20 et 21 ita ut nihil nisi vestigia codicis premeret. Et quominus harum duarum narrationum Gregorium Cyprium auctorem putemus obstat auctoritas Eustathii qui locum alterius (p. 50, 7—8) laudavit.

P. 38 in commentario ad l. 1 de cratera Clitiae et Ergotimi addas: H. Thiersch, Oest. Jahresh. XVI Beiblatt col. 59 sq.

P. 45 in commentario ad l. 5 post *cf.* inseras: p. 323, 12; 481, 15.

P. 47 in commentario ad l. 9 addas: p. 485, 13 sq.

P. 51 in commentario ad l. 6 sq. addas: Isocr. Hel. § 41, quem locum auctor suum in usum convertit.

P. 64 l. 17 *βασιλεῦσιν* post *ἄλλοις* inserendum coniecit I. Leopardi, Mus. Rhen. III p. 5; idem

p. 74 l. 8 *ἀνθρώπων* post *λοιπῶν*; idem

p. 75 l. 15 *εἰπεῖν* post *καὶ τὸ* coll. l. 13 et p. 77, 21; idem

p. 76 l. 1 *ἔχοντος* pro *ἐχόντων*.

P. 84 adn. crit. l. ult. post *cf.* inseras: p. 470, 5.

P. 88 l. 4 *λυθῆναι* pro *κωλυθῆναι* Leopardi l. l.

P. 91 in commentario ad l. 7 addas: 1343 post 1279.

P. 92 l. 10 *τοὺς δὲ τῆς Δήμητρος* ⟨*καρποὺς*⟩ Leopardi l. l.

P. 94 in commentario ad l. 1 sq. addas: Dem. p. 73, 4;
ib. in adn. crit. ad l. 13 post p. 71, 14 addas: 298, 16;

P. 95 l. 6 *θέλγει* pro *τελειοῖ* Leopardi l. l.

P. 101 in commentario l. 2 post 15 inseras: cf. t. VI 285, 4.

P. 124 l. 6 *ἀμύνασθαι* pro *ἀμείψασθαι* Leopardi l. l.; idem mecum concinit

p. 127 l. 1 in lectione *ἐφυλάξατο ἂν καὶ σώματος ἑνὸς ἐπρίατο*,

p. 142 l. 1 in lectione *γνοὺς*,

p. 169 l. 7 in lectione ἀδικημάτων; idem coniecit
p. 170 l. 12 κεχρημένον;
p. 174 l. 11 aut τιμήσας pro τολμήσας legendum aut ἡγεῖσθαι vel simile aliquid post τολμήσας addendum idem coniecit; idem
p. 178 l. 15 ἕνα ὑπὲρ pro ὑπὸ,
p. 179 l. 9 ἔστι pro ἔδει scribendum coniecit; idem
p. 180, 1 in lectione ἥκειν mecum concinit.
P. 209 not. 1 addas: cf. quae infra p. 447 sq. exposui.
P. 213 l. 18 comma post *B* delendum est.
P. 218 in commentario ad l. 13 addas: cf. p. 385, 12.
P. 236 l. 17 in lectione γνώμη̃ν Leopardi mecum concinit et
p. 240 l. 15 in τολμήσας;
p. 242 l. 8 νεκρῶν ut glossam delendum idem coniecit.
P. 251, 14 in commentario ad l. 14 addas: VI 199, 20;
ib. l. 15 addas: Dem. ep. 4 p. 1486, 18.
P. 269 in commentario ad l. 4 post *cf.* addas: p. 527, 19.
P. 283 l. 7 καίτοι ὅστις ἂν — ἵππον, καὶ περὶ — ἀμφισβητήσειεν coniecit Leopardi; idem
p. 334 l. 15 στρατιωτῶν pro στρατιώτας,
p. 339, 17 ἐξεπολιόρκησε pro ἐπολιόρκησε coniecit, quod in textum recipiendum duco coll t. III 93, 10; VI 28, 5; 142, 13.
P. 350 l. 8 idem in lectione δεηθέντας mecum concinit.
P. 460 l. 5 κατὰ τὰ ὑπάρχοντα αὐτοῖς idem coniecit.

Ad p. 575, 7 sq. addo Aldinam vitam quidem in fronte, argumenta orationum I—XXVI singillatim, orationum XXVII—LIX coniunctim in fine p. 274—286 praebere inscripta *Λιβανίου ὑποθέσεις εἰς τοὺς μετὰ τὸν κατὰ ἀριστογείτονος δημοσθένους λόγους.*

Simul hac occasione utor ad nonnulla de codicibus addenda:

1. Duae declamationes, πρεσβευτικὸς Μενελάου (t. V 200) et μελέτη δυσκόλου γήμαντος λάλον γυναῖκα (t. VI 511) in codice 4 monasterii Prusu Aetoliae chartaceo formae octavae saeculi XVIII, qui est e genere codicum scholasticorum, fol. 179ʳ et 229ʳ exstant teste Tente, *Νέος Ἑλληνομνήμων* t. X (*Ἀθήνησιν* 1913) p. 292.

2. Caeci filii apologia (t. VII p. 640 sq.) etiam in codice Parisino Suppl. 675 chartaceo formae folii saeculi XV miscellaneo, quem Omontius, Inv. des manuscr. du Suppl. Grec. p. 75 descripsit, fol. 239—264 exstat. Quem cum olim Minoidis Mynae fuerit simulque catalogos codicum bibliothecarum montis Athoi contineat, e codice Athoo Laurae S. Athanasii *Ω* 123 (= Ath) saeculi XIII fluxisse probabile est.